This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

STANFORD UNIVERSITY LIBRARY

D. S. Robertson

PHILOSTRATUS, FLAVIUS

FLAVII PHILOSTRATI

OPERA

AUCTIORA EDIDIT

C. L. KAYSER.

ACCEDUNT

APOLLONII EPISTOLAE,
EUSEBIUS ADVERSUS HIEROCLEM,
PHILOSTRATI JUNIORIS IMAGINES,
CALLISTRATI DESCRIPTIONES.

VOL. I.

LIPSIAE,
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXX.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

PRAEFATIO.

Post longam lustrorum seriem redeo ad Philostrati editionem, quam nunc ab honestissimo redemtore invitatus ita paro, ut sit ad usum lectorum et forma et ambitu liber priore habilior. Ad prooemia autem et notas, quas singulis scriptis auctoris illic addidi, revocans eos, qui requirunt explicationem rerum et verborum difficilium nunc affero correctionem et eorum, quae in prooemiis minus recte tractasse mihi videor et permultorum locorum in scriptis Philostrateis emendationem; denique indices aliquanto locupletiores et utiliores.

In praefatione totius operis egi olim de vita et arte Philostrati, cui dissertationi hodie non habeo quod apponam; deinde de eius stilo et sermonis proprietate. [1])

---

1) Festive singulare dicendi genus, quo Philostratus utitur a G. Bernhardio describitur in Allg. Literatur-Zeitung 1839, I, 3, 356: „*Fragen wir nach dem Standpunkte des Autors, so werden wir uns wohl hüten ihn als Gelehrten zu betrachten und mit den Ansprüchen des gelehrten Wesens zu behelligen. Philostratus kennt weder Studien und Wissenschaft der engeren Schule noch prunkt er jemals mit dem eitlen Schein der Erudition: er will als Mann der allgemeinen Weltbildung, als Zögling und Genosse der Häupter in* weltmännischer Rhetorik gehört sein

Huius partis nescio an minorem quam debuerat rationem habuerit Cobet v. cl. in conscribenda censura et Graecitatis Philostrateae et editionis meae (cf. Mnemosynam VIII, 75—80; 117—181).

Hoc priore volumine continetur Vita Apollonii (τὰ ἐς τὸν Τυανέα Ἀπολλώνιον ab ipso Philostrato liber inscriptus est) adiunctis statim epistulis Apollonii et Eusebii ἀντιρρητικῷ adversus Hieroclem, quibus antea locus in appendice erat tributus. De Apollonii persona verum decernere satis difficile ipsius Philostrati culpa est effectum, qui immerito neglecta Moeragenis gravis, ut videtur, auctoris fide maluit Damidis indocti et stupidi hominis ephemeridibus uti, quas tamen et ipsas saepe ab eo consulto reiectas esse existimandum est. Quid autem in tanta obscuritate historiae Apollonianae probabile haberi possit, nemo videtur eorum, qui nostra aetate in eam inquisiverunt, circumspectius explorasse quam E. Müller in dissertatione Vratislaviae 1861 edita.[2]) Probe ille distinguit quae scriptor ex sua

---

und man muss gestehen, dass kein Grieche so stark an die Manier eines Pariser Feuilletonisten erinnert. Nicht ohne das lebhafteste Wohlgefallen durchläuft man diesen Kreis der mannichfaltigsten, gewandtesten, fast vergötterten Sprecher“ (der Sophisten in den V. S.), „deren Persönlichkeit uns in den anschaulichsten Bildern entgegentritt, deren Wirken in den feinsten aus Schriften und noch mehr aus momentanem Wort erlesenen Zügen gegenwärtig und verständlich wird; und eine solche Kunst der Beobachtung und Auffassung gewinnt noch höheren Reiz durch den gemüthlichen Ton und den Anschein einer mühelosen, geschwätzig umherschweifenden Erzählung, welche mit der leichten Grazie des eleganten und doch nicht gespreizten Stiles hinschwebt, bisweilen gaukelt — dieser vielleicht einseitigen Blütenlese, dieser dramatischen Charakteristik verdanken wir die Anschauung des sophistischen Zeitraums, deren wir sonst entbehren müssten.“

2) Ea inscribitur: War Apollonius von Tyana ein Weiser oder ein Betrüger oder ein Schwärmer und Fanatiker? Eine

doctrina et sapientia Apollonio affingit[3]) ab ipsius viri placitis, deinde et miracula eius symbolica interpretatione ad veram rationem deducit[4]) et vaticiniis quid tribuere liceat, docet[5]); sanctum fuisse virum ac moribus hominum emendandis, religionibus deorum restaurandis summam operam dedisse non dubitat[6]), sed comparationem cum Christo, quam olim Baurium secuti[7])

---

culturhistorische Untersuchung von Dr. Eduard Müller. In Commission bei J. Max und Comp. in Breslau. 1861. 4to. 56 pgg.

3) Cf. de his disputationibus Apollonio non tribuendis, quippe quas ipse Philostratus in aliis suis libris instituit, Müllerum p. 21—24, 48—50, ibique not. 127, 130, etiam nostra in Prooemio VII, VIII.

4) Vide l. c. p. 25—29 egregie expositas narrationes de Epheso peste liberata 130, 3, de lamia Menippi convicta, 144, 12 ac similiter satyro ebrio ad sanam mentem revocato 241, 12; denique de puella, quae iam efferebatur, in vitam resuscitata 163, 26.

5) Vaticinia Apollonii tractantur l. c. 29—37. Quod est apud Philostratum 338, 10, visione quadam mirifica repraesentatam esse Ephesi degenti caedem imperatoris eodem tempore Romae perpetratam, etiam Dio Cassius LXVII, 17 narrat. Alia non tam vatem, quam sagacem et naturae rerum peritum virum produnt, ut 183, 11, 127, 1. Simultatis autem inter Apollonium et Euphratem exortae causam existimat Müller (l. c. 34) fuisse orationem, qua saepe utebatur, χρησμώδη et fastuosam, cf. 198, 11.

6) Placita Apollonii, quantum quidem ex Philostrati verbis cognosci possunt, optime explicata habes ab E. Zellero, v. cl. in Geschichte der griechischen Philosophie III, 2, p. 131—140. Idem scite monet, per Gymnorum simplicem victum (211, 19) Cynicam disciplinam describi, per Euphratis personam Stoicorum simulatam virtutem: democratiae enim studiosus non veretur humiliter benignitatem imperatoris sibi expetere, cf. 198, 21; 200, 11. Ceterum plane alium atque in Philostrati libro invenimus Euphratem apud Plinium Epp. I, 10, cf. Müller l. c. 17 et 46 sq.

7) Liber Baurii „Apollonius und Christus“ etc. editus est in Tübinger Zeitschrift für Theologie 1832 et separatim. Cf. Müller l. c. 38 et 54—56. Quae similiter narrata a Philostr. 139, 10 et ab evangelistis Matth. VIII, 8. Marc. V, 1. Luc.

a Philostrato tecte institutam esse credebamus, negat factam; ac videtur sane nil amplius affirmari posse, nisi non plane quidem ignotam fuisse huic scriptori videri evangelicam narrationem, sed aetate illa miraculorum cupidissima etiam aliunde derivari potuisse eiusmodi mythologiam.

Fabularem narrationem habendam esse hanc vitam in prooemio V. A. p. VI demonstravi, nec mutata sententia est lectis tribus particulis commentationis I. Mülleri, „qua de Philostrati in componenda memoria Apollonii Tyanensis fide quaeritur".[8]) Etiam E. Müllero (p. 47) vir doctissimus magis eximiam suam temporum, quibus vixit Apollonius, cognitionem, quam argumentorum pondus probavit, qui non offenderit erroribus in descriptione itineris Indici commissis, nec viderit Babylonem veterem, quasi adhuc incolumem Herodoteis verbis exhiberi[9]), ac fidem habeat narranti Apollonium iuvenili animo gessisse se adversus Domitianum centesimo vitae anno et ab eo propterea vexatum sic esse ut in ultimis libris legimus. Si nonnulla scriptor vere tradit, quae diligentissime collegit I. Müller, nondum

---

VIII, 26 deprehendimus de *δαιμονιζομένων* sanatione, eis etiam apud Iosephum Archaeol. VIII, 2, 3 comparare licet fabulam, quae vel propius ad Philostrateam accedit quam ad scriptores sacros. Resuscitationem autem puellae Romanae vix huc trahere licet, cum ipse Ph. dubitet, fueritne mortua, an *σπινθῆρα τῆς ψυχῆς* in ea Ap. animadverterit, quae fefellisset medicos. Nascentem Apollonium olorum chorus eodem fere modo salutat, ut Apollinem apud Callimachum h. in Del. 249; plane aliter ab angelis celebrantur Iesu natales apud Luc. II, 8 sqq.

8) Prima particula Onoldi 1858 edita est, duae posteriores Landavii 1859, 1860.

9) Cf. Herod. I, 180 frustra conatur I. Müller pro Babylone illa vetusta Seleuciam substituere. Cf. E. Müller l. c.

inde consequitur historica auctoritate eum valere debere in rebus aliunde non cognitis et parum credibilibus.

Editionem meam cito (1849) consecuta est Didotiana, quam adornavit vir amicissimus A. Westermann. Doleo non contigisse ut superstiti etiam hac repetitione gratum animum significarem, quem olim praestiti publice de meritis eius in Philostrati opera referens[10]): quo enim erat acumine et linguae Graecae peritia multa egregie emendavit[11]), quibus correctionibus nunc cum grata recordatione carissimi viri usus sum. Nonnihil contulerunt ad purgandum textum etiam L. Preller[12]), C. Scheibe[13]), E. Miller[14]) in recensionibus suis editionis Turicensis; plurima vero debeo Cobeti operae in reprehensionem et ipsius scriptoris et meae retractationis

---

10) Vide Heidelberger Jahrbücher 1849, p. 922—32.

11) Exempla potissima laudo in V. A. 20, 23 *ἀπόγραψαι*, 98, 28 *καθιερεύσαιεν*, 151, 19 *οὕτω τι ἐχειρώσατο*, 209, 28 *ὧς γε, εἶπεν, ὦ μειράκιον, καὶ πέπρακται*, 230, 1 *προσειπόντες οὖν*, 291, 32 *ἐν τοῖς ἑαυτοῦ ἄθλοις*.

12) Cf. Jenaer Litteraturzeitung 1846, p. 461 sqq. In V. A. 138, 5 *πρόρρησιν* commendantem iam anteverteram in appendice, p. 79; plura in aliis libris correxit.

13) Scheibe de mea editione egit in Zeitschrift für Alterthumswissenschaft 1847, p. 421 sqq. Recte eicit 16, 4 *ὑμῶν*, et acute proponit 75, 3 *τὸν δὲ ἔσω κηφῆνα περιτειχισάμενοι εἶρξαν*. V. S. 14, 22 requirit *εἰπεῖν* quod cum *ἱκανώτατος* iungatur, cuius correctionis me in recognitione nuper immemorem fuisse poenitet.

14) E. Miller, insigniter meritus de mea opera in Philostrato collocata etiam censuram scripsit editionis Turicensis in Journal des savants 1848, p. 616—632; 749—763, unde compluribus locis V. A. et Epp. lux accessit; maxime nunc laudo emendationem V. A. 157, 12 *ἔστιν ἡμῖν τὸ τοῦ Σοφοκλέους λέγειν* pro *ἔ. ἡ. τὸ τοῦ Σ. ἐλεγεῖον*, quod ultimum vocabulum in ed. Tur. plane sustuli, sequente Westermanno; sed verum remedium E. Miller demum adhibuit. De epistulis ab eo correctis suo loco agemus. Ex Piccoli notis, quas Miller citat 755 sq., una usus sum 239, 31.

collatae: eorum vides infra indicem.[15]) Permulta praeterea proposuit, a quibus abstinendum mihi erat, cum eis aut proprietatem sermonis Philostratei violari intellegerem aut puritatem orationis Atticae scriptori obtrudi, quam ceteri quoque eiusdem vel paulo superioris aetatis non servarunt. Exponam haec longius, non contradicendi studio, sed quia ita singulare scribendi genus, quo hic sophista utitur, commode illustratur.

Debuit v. d. certe tum verba intacta relinquere, cum defendi potest similibus exemplis apud Ph. inventis quod reprehendit. Sic 10, 17 *ἀποπέμπουσι δήπου στεφανώσαντες* postulat (117), sed legimus 22, 27 *πέμποι δ' ἂν ὑμᾶς ἐς Ἰνδούς*, 36, 7 *ἐφόδια — ὁπόσα ἐς*

---

15) Capitales diductis litteris notatae sunt: 12, 26 *ἐφ' ἑταίρας ἐκώμαζεν*, 13, 23 *ἐπέκοπτεν*, 47, 15 *οἷ στείχοιεν*, 71, 15 *εἴ τις παιδίον παραγγράψαι* (correcto genere verbo), 94, 4 *ἵν' ἐς καιρὸν τῇ γῇ ἴωσι*, 95, 29 *πάντα — ἀπνευστί τε καὶ σαφῶς εἶρεν*, ib. 30 *ὁπόθεν εἰδείη*, 102, 6 *ἄραιμι*, 111, 6 *ἐκάλει ἐπὶ ξένια*, 143, 8 *πρεσβειῶν δεόμενοι πρὸς τοὺς αὐτόθεν ἥξοντας*, 162, 2 *ὅ τι φάγοι καὶ παρ' ὅτῳ*, 184, 17 *ἐπέκοπτεν*, 197, 8 *διαβαλεῖ*, 198, 9 *τουτὶ — λοιπὸν προσειρήσει*, 229, 9 *οὔτε — ἡ νεότης ἀπελατέα τοῦ τι καὶ αὐτὴ βέλτιον ἐνθυμηθῆναι*, 240, 25 *αὐτός τε*, 243, 27 *ἐς Ταρσοὺς*, 285, 1 *φεύγοντα*, 275, 26 *αὐτός τε σύ*, 276, 11 *ἐς τὸν χρόνον*, 293, 23 *τὰ κακὰ πείθειν*, 309, 19 *κατὰ τοὺς χρόνους*, 311, 22 *οὐδεὶς ἐπὶ τὸν Λυκοῦργον ἀγὼν ἧκεν*, 314, 7 *ἤκουεν*, 329, 27 *ἐσελθεῖν*. Nonnullis locis vir optimus actum egit, cum iterum correxit, quae ipse iam in appendice p. 79 et in corrigendis p. XXV emendaveram. Sic 138, 5 *πρόρρησιν* (157), 158, 12 *ὁποθενοῦν* (130), 183, 14 *ὅσι' ἂν* (156), *οὐδὲν ἐοικότα* (145) legi debere docet, etiam orthographica, ut 113, 5 *πρῷραν* (123), 149, 27 *ναὶ τὼ Σιὼ* (125), 150, 12 *Ἀργινούσας* (ibid.). Postquam erratum meum de *ἐοικότα* in appendice p. 80 confessus eram, non poteram exspectare, denuo illud mihi exprobratum iri. Idem non sensit, a me in Apollonii epist. 62 monstrum *γάνος* pro *γᾶς* consulto et quasi animi causa relictum esse, quod tamen significatur illic addito: Fo. *ἔγκτασιν* (pro *ἔκτασιν*); ait enim propemodum turpe videri *γάνος* ab Editore retentum fuisse.

Ἰνδοὺς πέμψαι, 60, 4 Ἀπολλώνιον — πέμψαντι οἷ βούλεται χάριν ἂν γνῶναι, 83, 16 πέμπετε οὖν αὐτὸν εἰδότα ὁπόσα ἴστε, 103, 8 ζηλωτοὺς πέμπετε, ὡς οἴεσθε, 194 πέμπωμεν ἐφ' ἃ ὥρμηκεν, 230, 9 εἴ με καὶ τὴν ὑμετέραν σοφίαν εἰδότα πέμποιτε: locis 10, 17, 83, 16, 230, 9 correctionem adhibet, ceteros non tangit. at quis credat, tot locis a librariis peccatum esse? Miratur ibidem 4, 7 τῷ Νινίῳ — οὐ — δεξιῶς ἀπηγγέλλετο tam diu aequo animo a doctis lectoribus toleratum esse, quod eodem modo dictum redit in 14, 3 ὕμνος αὐτῷ τις ἐς τὴν μνημοσύνην ᾔδετο. Explet C. addens ἐς verba 11, 20 ταὐρηδὸν ὑποβλέψας αὐτόν (115), at Heroic. 305, 6 ed. Tur. legitur ταυρηδὸν ὑποβλέψας τὸν βασιλέα, 19, 26 ὥσπερ δαίμονα ἔβλεπε, 37, 13 βλέπει — ὀλίγους τῶν ἀνθρώπων, ergo praepositio non est illic „oscitanter omissa". Restituentem 17, 11 διεπυνθάνετο τοὺς ἱδρυσαμένους pro διεμάνθανε τ. ἱ. (77) poterat in eodem folio lectum 18, 26 καὶ γὰρ ἂν καὶ τὰ ἐκείνων διαμαθεῖν cohibere. Vix licet dubitare, Philostrato τί μαθὼν recte dici visum esse, nec ipsum τί παθὼν solum ubique posuisse (120), cf. quae olim ad V. Soph. p. 164 adnotavi. Lectio ἀνεστῶτα 70, 2 a v. d. spreta (159) requirente ἑστῶτα defenditur altero loco 87, 26 ἰδεῖν — ἐν αὐτῇ στάχυας ἀνεστῶτας. Non mutandum esse 71, 14 παραφθείροι in aoristum (158) docet quod statim sequitur τοὺς — τὴν φιλοσοφίαν — παραφθείροντας οὐδεὶς — νόμος — ἴσχει. Minime vidit verum Valckenaerius 82, 2 eique assentiens C. (121) κατασοφίζεσθαι τὸν νόμον pro καὶ σοφίζεσθαι τ. ν. legendum ratus, cf. 233, 9 σοφισάμενοι — οἱ Λακεδαιμόνιοι τὸ ἀπαραίτητον τῆς θυσίας ἐπὶ τῶν

τῆς καρτερίας ἀγῶνα ἤκουσιν.[16]) Perfecti liberior usus, ubi aoristum exspectaveris, non, ut a C (123), removendus est in 99, 15, ubi *ἡρπάσθαι* nunc est, non *ἁρπασθῆναι* pro vulgata ab eodem recte vituperata *ἀνηρπάσθαι*; sufficiant ex multis locis 101, 9 et 12; Her. 305, 4, 5 ed. Tur. Perperam (123) commendari 136, 2 *οἰκήσουσιν αὐτὸ βέλτιον* (pro *βελτίους*) *οὐδὲν ἢ εἰ χθὲς ἥλωσαν* docet recordatio locorum 115, 28 *βελτίους ἀποθανόντες ἐγένοντο*, 148, 26 *βελτίων ἔσῃ καὶ τοῖς ἀποθνήσκουσι ἑπόμενος*, 331, 8 *βελτίους οἱ ἐν τῷ φανερῷ ἀποθνήσκοντες*. Scribarum vitium a C (156) habetur 137, 21 *ὅτε Ἀθηναῖοι πολυανθρωπότατα πράττουσιν*, nam *πολυάνθρωπον* esse urbem, non cives; at scriptor amat Atheniensium nomen ponere pro Athenis, cf. statim *τὸ μετόπωρον εὐήλιον τοῖς Ἀθηναίοις*, 91, 30 *κατὰ τὴν Ἀθηναίων — ἄκροπολιν*, 332, 10 *Ἀθηναῖοι δὲ — οὐκ ἐλείποντο τῶν πόλεων*, praecedunt ibi *Ἦλις — Σπάρτη — Κόρινθος*. Iuvenis Lacedaemonius, qui opera rei naviculariae data Apollonii oratione ad poenitentiam

---

16) Etiam alibi huic libro Valckenaerius, quamvis plaudente Cobeto, parum felicem manum adhibuit, cf. Praef. de locis 23, 26; 146, 20; 151, 20, (ubi dicitur (129) a C. in schedis sollerter Philostrati manum ex antiquis scripturae reliquiis elicuisse *ἐπὶ τῷ τοσοῦτον ἀπολελεῖφθαι τῶν προγόνων*), 255, 8; minime arridet 221, 32 *μεγάρων ἤδη ἑκατομπέδων* pro *μεγάλων ἤδη καὶ ἑκ.* (134) nec magis 92, 5 *πρὸς τὸ σιμόν* (79) pro vera lectione *πρὸς τὸν σεισμόν*. Solum placet 261, 2 *αὔρας* pro *ὥρας*. Maxime quidem rem acu tetigisse videtur Cobeto Valckenaerius in 255, 8 restituens *Αἰνίῳ* (pro *ἀνίῳ* in p, f, l, v, s), *νεανίᾳ* autem, quod in *π* legitur, futili correctori deberi, qui in loco impedito quod in buccam venit, substituerit: immo hoc unice verum est; caedem Cotyis illi cum adulescentuli essent, iuvenili ardore abrepti commiserunt, postea demum Platonis scholis vera sapientia imbuti sunt et sic facti liberi.

vocatur tam turpis victus, lacrimasse dicitur 151, 20 *ἐπεὶ τοσοῦτον ἤκουσεν ἀπολελεῖφθαι τῶν πατέρων*: hic C (129) magnopere offendit in *ἤκουσε* a solis codd. *π* et l servato, non enim attendit ad frequentem verbi usum plane similem apud Philostratum e. g. 224, 4 *ἀναπνεῦσαι — ἑαυτόν φησιν, ἐπειδὴ ταῦτα ἤκουσεν*, 47, 15 *ἐπεὶ δὲ τὸν νοῦν τῆς ἀποδημίας ἤκουσεν*. Cum non ferendam habet idem (129) dictionem 150, 32 *προξένοις καὶ καπήλοις ἀναμιχθέντες πωλοῦσι τε καὶ πωλοῦνται* et *ὠνοῦνται* nos legere iubet, quid faciet altero loco simillimo 318, 11 *πάντα γιγνόμενος τὰ πωλούμενά τε καὶ πωλοῦντα*? vaenit autem mercator, quod *v.* cl. incredibile putat, *τόκοις ἀνοσίοις τὴν αὑτοῦ κεφαλὴν ὑποτιθείς*, quod proxime addit. Frustra (130) proponitur 155, 19 — *ὑπὸ τῶν τοῦ Φιλολάου λόγων ταραχθέντες* pro *ἀπαχθέντες*, vide paulo ante 152, 6 *Λακεδαιμονίους ἀπῆγε τοῦ μήτε θρασεῖς μήτε δειλοὺς ὀφθῆναι* et 171, 11 *ἀπήγοντο ἐς γελοίους δόξας*. Etiam simplex verbum ei (130) displicet 173, 12, ubi Vitellius, Galba, Otho *χρόνον κομιδῇ βραχὺν ἤχθησαν ἐς τὰ τῶν Ἑλλήνων πράγματα*, ut ab Homero 100, 17 *πολλοὶ τῶν μὴ πάνυ σπουδαίων ἐς ὄνομα ἤχθησαν*, multo minus convenit *ἤνθησαν*, quod in illo latere suspicatur. Eidem homines, quod vaticinatur Apollonius 174, 15 *περὶ τὰ ὅμορα τῇ Ῥώμῃ δυνηθέντες ἀπολοῦνται* h. e. opibus comparatis, C 131 vitium in virium notione opinans esse (cf. V. Soph. 213, 7 ed. Tur.) parum feliciter *δινηθέντες* substituere velit. Subtilis distinctio tolletur, si 232, 7 cum C (135) legemus *ἀφῄρησθε τοὺς θεοὺς καὶ τὸ ὁρᾶσθαι καλοὺς καὶ ὑπονοεῖσθαι* pro *καλῶς*, agitur enim de imaginatione, non de ipso

adspectu deorum, cf. 295, 21 *καί με ὁ βασιλεὺς κακῶς εἶδεν*. Num 220, 12 verbis *ἐν σμικρῷ τῆς ἡμέρας* necessario addatur *μέρει* (156), dubitari potest, eadem enim ellipsis 328, 28 invenitur; nec probabimus 240, 24 *κατακτυπηθῆναι τὰ ὦτα* (136) memores 330, 32 *κτυπεῖσθαι δοκοῦντος* (*Δημητρίου*) *τὰ ὦτα*. Amicos aut amasios philosophis cariores esse quam liberos et alios cognatos Demetrii est sententia 262, 30, *παιδικὰ* enim significari verbis *οἳ ἠμπολημένοι ἐξ ἔρωτος* et non *παῖδας* clare ostendit locus ad illum referendus in oratione Apollonii 265, 27 *τὸ δ' ὑπὲρ ξυγγενείας ἢ φίλων ἢ παιδικῶν ἀποθνήσκειν φύσις ὥρισε*, ac magnopere errat C (141) priore loco *ξυγγενείᾳ* delendum, posteriore *παίδων* (ex p.) pro *παιδικῶν* legendum arbitrans, quippe *ξυγγένεια* utrobique omnes consanguineos complectitur, neque potest ξ. a liberis distingui et interiecto *ἢ φίλων* separari; similiter filii et amasii coniunguntur a Platone Phaed. 68ᵃ. Interceptum saepe fuisse a ianitoribus Euphratem audimus 318, 14, cf. 5, 3, quo loco praedicat Ph. Apollonium *ἀμηχάνων κρείττω πολλάκις γενόμενον ἐν αὐτῷ τῷ ἀπειλῆφθαι*, multo debilius est (149) *ἀπηλάθη*. Non corrigemus C secuti (156) 328, 18 *οὐκέθ' οἷοί τ' ἀπιστεῖν ἦσαν*, multis scilicet exemplis deterrentibus, ut 168, 7, 172, 18 V. Soph. 224, 29, 234, 2, 254, 28 ed. Tur. Ab ipso scriptore esse *δίειμι* 329, 26 docet 27 sequens *διῄει*, relinquendum erat etiam *διείρων* aut *εἴρων*, improbabile videtur C. inventum *διερῶ* (160), omisso *δίειμι*.

Propria scriptori nostro est adiunctio enuntiati explicativi praecedente particula *καὶ*, ut 54, 4 *περὶ δὲ ἡλικίας τοῦ ζώου καὶ ὡς μακροβιώτατοι*, 178 *μετὰ*

— τὸ Νέρωνος βαλανεῖον καὶ ἃ ἐπ' αὐτῷ εἶπε, 147, 29 τὸ δὲ ἔργον τῶν δακτύλων καὶ τὸ μήπω διεστώς, 329, 26 διείρων ἀπὸ τῆς προρρήσεως καὶ τοῦ γυμνὸς ἐσελθεῖν, V. S. 252, 20 τὴν — ἰδέαν τῆς νόσου καὶ ὅτι τὰ νεῦρα αὐτῷ ἐπεφρίκει, ἐν ἱεροῖς βιβλίοις — φράζει; vide etiam Heroic. 309, 4 ed. Tur.: eum usum ignorans C. (140) ad verba 255, 1 ξυνῆκε μὲν τοῦ τυράννου καὶ ὅτι τοῦ Ῥηγίου ἐρῴη haec adscribit: „Importuna copula sententiam loci impedit. — Poterat dicere ξυνῆκε μὲν ὅτι τοῦ Ῥηγίου ἐρῴη ὁ τύραννος, sed maluit exquisitius et Veterum more haec formare et ita dixit: ξυνῆκε τοῦ τυράννου ὅτι ἐρῴη. Perdidit omnia levis Graeculus qui καὶ stulte inseruit.“ Nimirum is Graeculus ipse est Philostratus. Similiter cum grata quadam neglegentia idem inserit particulam δὲ, vehementer propterea a C. vituperatus (140) ut 45, 8 καὶ πενταπήχεις δὲ ἑτέρους et 250, 29 τοῦ δὲ πέρυσι μὲν ἐωνῆσθαι τὸν ἀγρόν, πεντακισχιλίων δὲ καὶ μυρίων φήσαντος, cf. similem locum V. S. 70, 6. Praemittitur index rei, de qua locuturus est scriptor absolute posito casu nominativo 23, 26 ὁ δὲ τῆς λεαίνης τόκος αἱ λέαιναι μηνῶν μὲν κυΐσκουσιν ἕξ, τρὶς δὲ ἀποτίκτουσιν κτέ. frustra Valckenaerius et eum secutus C. 119 illa prima verba glossema habuerunt; redit enim eadem dicendi forma 67, 2 οἱ δὲ τοῦ ἱεροῦ τοῖχοι πυρσαῖς λίθοις ὑπαστράπτει χρυσὸς κτέ. cf. etiam V. S. 23, 24 et Ner. 337, 12 ed. Tur. Cum apponit Philostratus nomini peculiari generalius, ut 116, 1 τὴν γλαῦκα τὴν ὄρνιν, et 142, 20 ἡ Οἴτη τὸ ὄρος, a ludimagistro profectum utrumque putat C. 176, cui non his solum locis suum reddendum esset, sed compluribus quoque

aliis, ut 44, 32 *τὸν δὲ ὄρνιν τὸν ἀετόν*, 54, 23 *τὸν Ἄτλαντα τὸ ὄρος*. V. S. 239, 8 ed. T. *ἐν τῇ Ἴδῃ τῷ ὄρει*, Her. 288, 31 *ἐν Κῷ τῇ νήσῳ*. Requirit C. (171) nomen dei 93, 11 ante *τοῦ Ἀμυκλαίου*, sic necessitatem sibi imponens etiam 230, 23 Venerem et Iunonem inferciendi, ubi nunc est *τὸν Δία που λέγεις — τὸν ἐν τῇ Ὀλυμπίᾳ καὶ τὸ τῆς Ἀθηνᾶς ἕδος καὶ τὸ τῆς Κνιδίας τε καὶ τὸ τῆς Ἀργείας κτέ.* Adde V. S. 82, 24. Consulto iunxisse Philostratum 107, 3 *οἱ θεοί τε καὶ σοφοὶ ἄνδρες*, nec ei placuisse, quod C. 123 desiderat *οἱ θεῖοί τε καὶ σ. ἀ.* liquet ex verbis 97, 15: *πάλιν — ἤρετο, τίνας αὐτοὺς ἡγοῖντο, ὁ δὲ θεοὺς εἶπεν, ἐπερομένου δὲ αὐτοῦ διὰ τί, „ὅτι" ἔφη „ἀγαθοί ἐσμεν ἄνθρωποι.*

Iam hoc paradoxologiae exemplum est ab hoc scriptore saepe quaesitae. Addam plura a Cobeto non intellecta. Sic 191, 5 legimus *νέος μὲν τυραννεύσας οὔπω κακός, ἦν μιαιφόνος παρὰ τὴν τυραννίδα καὶ ὠμὸς καὶ ἀσελγὴς δόξῃ*: omnia in iuvene tyranno excusantur; iure igitur Boissonade ad Theophylactum Simocattam p. 256 Olearianam mutationem *ἦν μὴ μιαιφόνος — δόξῃ* reiecit; contra C. 131 „abesse sensit (negandi particulam) Olearius quoque: sed surdo narravit fabulam quamquam nunc certe verissima monens". Non attendit Cob. 141 ad distinctionem *φόβου* et *δέους*, quam Philostratus 262, 18, 265, 23, 268, 32 facit: primo loco quaerit Apollonius *τί δοκῶ σοι λέγων ἢ τί πράττων εὖ θήσεσθαι τὸν ἐμαυτοῦ φόβον*; respondet Demetrius *μὴ παίζων — μηδέ, ἃ δέδιας, φοβεῖσθαι λέγων, εἰ γὰρ φοβερὰ ἡγοῦ ταῦτα, κἂν ᾤχου ἀποδρὰς τὸν ὑπὲρ αὐτῶν λόγον.* Mortem ille non timet, sed eum, ne quid in amicos peccet, solli-

citum habet cura; Demetrius autem non placide fert amici hilaritatem et simulationem pavoris, malit eum revera anxium de sua salute esse et effugium aliquod circumspicere vel neglecta amicorum defensione, quos prodere veretur. Haec sunt ἃ δέδιεν Ap. sed „sententia clamat ἃ μὴ δέδιας verum esse, sensit — Olearius et addidit, Kayserus de novo abiecit sententiae securus". Vide alius loci argutam sententiam: 170, 4 dicitur Nero κακῶς — οὕτως ὑποκρινόμενος τὴν ἑαυτοῦ τέχνην, ὡς μὴ μαστιγώσεσθαι νομίζειν πρὸς τούτων, ὧν αὐτὸς ἄρχειν τέτακται. eam obtusiorem reddidit C. 77 scribendo ὡς μεμαστιγώσεσθαι νομίζειν, ne id quidem videns sic Neronem, qui Eleos non formidet, tamen flagris se caesum iri ab illis putare. immo hoc in imperatore ridiculum erat, quod sperabat saltem se non punitum iri a ludorum iudicibus, suo imperio subiectis. Ad idem genus rettulerim 139, 28, ubi δαιμονιζόμενος quidam ὑπεκρίνετο ἄρα τῷ δαίμονι καὶ ἐδόκει παροινεῖν ἃ ἐπαρῴνει τότε, h. e. non ipse agebat quae videbatur agere, videbatur enim sui arbitrii esse, cum daemon eum pro lubitu suo vexaret. Perit lusus verborum, si recipias scripturam a C. 157 commendatum ἐπαρῳνεῖτο. Possit aliquis mirari, quod in Spartanorum legatis 146, 19 Λακωνικὸν — οὐδὲν — ἐφαίνετο, ἀλλ' ἁβρότερον αὐτῶν εἶχον, ac Valckenario locus propterea correctione ἁ. Λυδῶν ἐ. indigere visus est, isque Cobeto iudice (124) „rem acu tetigit". Tamen nil mutandum; nimirum illi, cum iam pridem a veterum disciplina degenerassent (cf. Lucian. D. Mort. I, 4), quo tempore Apollonius Olympiam venit, etiam longius in mollitie progressi ac semetipsis luxuriosiores exstitisse videri poterant. Iam Bent-

leio displicuit Ixion, qui 252, 1 τροχῷ εἰκασμένος δι' οὐρανοῦ κνάμπτεται, incidit in coniecturam ἠκισμένος, qua recepta C. elapsam praepositionem ἐν ante τροχῷ revocat. Sic deletur imaginis novitas, Ixion enim rotae astrictus ipse rotae fit similis.

Ut talia improbat C. ita etiam orationis liberiorem conformationem ad exprimendos affectus adhibitam 287, 14 sq. respuit: „ἀπολογῶμαι ὑπὲρ αὐτοῦ" ἔφη „τι ἤ" — „μὴ ἀπολογοῦ" εἶπεν „ἀδικῶν γὰρ εἴληπται, ἀλλ' οὐχ ὡς αὐτὸς ἀδικεῖς ξυνειδὼς ἐκείνῳ ταῦτα, τοῦτό με ἀναδίδασκε". itaque inducit (146) Domitianum non iracunde Apollonii verba interrumpentem scribens ἢ μή; nec confuse ipsum loquentem οὐχ ὡς αὐτὸς ἀδικεῖς, restituitur ei usitatus sermo ὡς οὐκ αὐτὸς ἀδικεῖς, sed πάθος ipsum perit; eius violentia minuitur etiam 191, 4, ubi pro ὡς τὸ μεθύειν, ὡς τὸ ἐρᾶν C. (131) mavult ὡς τ. μ. καὶ τὸ ἐρᾶν legere, sed praestat servare ἀσύνδετον et hic et 150, 30 περινοστοῦσι, ζητοῦσι, quod componere possumus compluribus apud Demosthenem exemplis, cf. Vömel ad or. π. στεφ. § 94, apud Philostr. Heroic. 283, 20 ed. Tur. Etiam repetitionem eiusdem verbi in responsione, quae Cobeto (144) displicet 277, 11 „ξυνίης οὖν" ἔφη „ὦ Δάμι, ὅτι — ἀνοήτως ἔχει"; „ξυνίημι, τί δ' οὐ μέλλω"; εἶπε ut vividiorem et quia post interiecta ὅτι — ἔχει vix deesse potest verbum, non removebimus. Severius agit C. adversus synonymorum coniunctionem, 25, 16 σαγηνευθῆναι καὶ ἁλῶναι πάντας, quar scriptor euphoniae causa admisisse videtur, delens (11 καὶ ἁλῶναι; temporum non fert permutationem, cu 81, 9 δοκεῖς postulat pro δόξεις (142) et 299, : ἐρῶ pro λέγω (148), utrobique tamen ἠθικώτερον e

quod legimus. Metaphorae eleganti 280, 23 *στήσασθαι πλοῦτον ἔφεδρον τῇ βασιλείᾳ* multum splendoris detrahit scribendo *κτήσασθαι* (124).

Nec magis egent correctione alii loci, ut 24, 23, si cum 340, 10 compares, non assentieris *ἴωμεν εὐξάμενοι* (pro *εὐξόμενοι*) *τοῖς θεοῖς* reponenti, nec si 301, 10 mecum *διαβαλοῦσι* scripseris, cum illo (118) lectionem codd. deteriorum 301, 30 *ἀκροασαμένοις* (pro *ἀκροασομένοις*) probabis. Paulo ante 300, 8 Domitiano de pueri immolatione interroganti Apollonium hic respondet *εὐφήμει, — εἰ μὲν γὰρ προῆλθον τῆς οἰκίας, ἐγενόμην ἐν ἀγρῷ, εἰ δὲ τοῦτο, καὶ ἔθυσα, εἰ δὲ ἔθυσα, καὶ ἔφαγον. λεγόντων δὲ αὐτὰ οἱ πίστεως ἄξιοι.* Scilicet domo non egressus est, quod pluribus verbis demonstrat in oratione 321, 1 sqq., hic indicat condicionali quidem, sed satis perspicua dicendi forma: Cobeto tamen (181) adeo „ambigua sunt et obscura, ut intellegi non possint“, quare suspicatur „partem sententiae propter *ὁμοιοτέλευτον* excidisse in hunc fere modum supplendam: *καὶ ἔφαγον. (ἐγὼ δὲ οὐ προῆλθον τῆς οἰκίας· οὐκοῦν οὔτε ἐν ἀγρῷ ἐγενόμην οὔτε ἔθυσα οὔτε ἔφαγον.) λεγόντων δὲ ταῦτα κτέ.*“ Vix quisquam concedet, eo supplemento opus esse. Idem contenderim de correctione *δείλην πρωΐαν* 100, 23 pro *δ. πρώτην* (125), de *ἐπεκτήναντο* 109, 20 pro *ἐπεσημήναντο* (179), de *ἐκβιασθῆναι* 147, 13 pro *ἐκβιβασθῆναι* (125), de *ψυχὴν ἠσκημένων* 218, 23, ubi optime habet *ψυχὴν ἐσκεμμένων* (134), de *ἀξιώτερα* 247, 28 pro *ἀξιώσεται* (139). Memorabilior est mutatio a v. cl. 147 proposita 297, 24 *εἰ — ὁπόσα — ἀπαιτεῖ ἡ δίκη, ξυγχωρεῖ μοι λέγειν, οὐκ ἂν φθάνοι διαμετρηθεὶς ὅδε ὁ Θύμβρις*, pro *οὐδὲ ὁ Θ.*

at, si οὐκ ἂν φ. δ. ὁ Θ. erit = prius Tiberis in clepsydram consumetur, quam ego ad finem orationis perveniam, οὐδὲ ὁ Θ. acrior tantum eiusdem affirmationis est pronuntiatio. Eius facundiae timore commotus accusator clamat 299, 4 ἤδη μέτρει, βασιλεῦ, ὕδωρ, εἰ γὰρ ξυγχωρήσεις αὐτῷ μῆκος λόγων, ἀπάγξει ἡμᾶς. C. (158) offendit vehementer in isto ἀπάγξει et cogitat „de magicis artibus et delinimentis et incantamentis, quibus potens homo artificiose oratione omnes deliniret. Quid igitur rescribendum est? Nempe θέλξει ἡμᾶς.“ Plane adversatur huic invento μῆκος λόγων, quod per superlationem quidem, sed tamen non inepte suffocare dicitur auditores.

Alibi corrigenda sanare C. conatur non idoneo remedio. Reprehendendum erat 167, 3 χαλκοῦν ἵδρυνται καὶ ἔννουν ὥσπερ χρησμῷ ἐφίστανται, itaque (130) tollit καί, quod aptiorem locum post ἔννουν inveniet; 210, 12 nil lucramur mutatione ἀποστείχειν pro καταστείχειν, sententia requirit ἐς ἤθη στείχειν, cf. 209, 14. Aegre persuaserit C. (134) nobis, quod nunc legitur 248, 3 ὁ μέν τις, ὁ δ' οὔ natum esse ex ὁ μὲν τό, ὁ δὲ τὸ, ipsi autem sero intelleximus addendum esse in seqq. τοῦτο post ταὐτό. Sanum est 240, 2 κατακόπτοντες — αὐτοὺς ποιοῦνται ἀγοράν, nec cum C. (135) legemus π. βοράν, sed ἐλεφάντων πράσεως facile corruptum ex ἐ. βρώσεως. Pro ἔλεγε δὲ ταῦτα — ξυγγελῶν 276, 2 commendatur ab illo (143) ἐγγελῶν, quod minus Philostratum sapit, quam ξὺν γέλωτι, cf. 168, 31 τοὺς δὲ βελτίστους Ἕλληνας οὐ ξὺν ὅλῳ γέλωτι φοιτᾶν ἐς τὰς πανηγύρεις; et 302, 24 ἀκούειν ξὺν γέλωτι τὸ πείσεσθαί τι ὑπ' αὐτῶν. Obiter correctio fit (154) θαρρεῖν τε κελεύσαντες 331,

19; ad sententiam praestat παραινέσαντες, etiam ad litteram paulo proprius est vulgatae πείσαντες.

Quod minus probatis vocabulis et formis utatur, C. in hoc scriptore saepe vituperat; iniquius id fit, si eadem apud superiores quoque, ut Dionysium Halicarnassensem, Plutarchum, Lucianum, quin iam apud Aristotelem deprehenduntur. Lectoribus non ingratam fore spero earum recensionem, in qua, ut supra, ordinem paginarum sequar. Legitur 8, 24 et alibi διέφθορα vi passiva (cf. C. 164), ita apud Lucianum quoque Soloecista 3; in 15, 11 τυπτήσας τὸν ἑαυτοῦ δοῦλον scribit Ph. auctore Aristotele Pol. II 9 (58, 10) νόμος δ' — τοὺς μεθύοντας, ἂν τυπτήσωσι, πλείω ζημίαν ἀποτίνειν τῶν νηφόντων damnatum a C. 165. Cum 14, 12 scribit τὸν βίον ὅλων πέντε ἐτῶν ἀσκηθέντα, Lucianum sequitur improbante C. 170 περὶ τῶν ἐπὶ μισθῷ συνόντων 17 πέντε οὐδ' ὅλων ἡμερῶν ὄψεσθε αὐτὸν ἐνταῦθά που τὰ ὅμοια ἡμῖν ποτνιώμενον. Formam ἠγγέλην 31, 14 a C. 172 βαρβαρώτερον quam ἠγγέλον habitam aliquoties apud Dionysium invenias, ut Archaeol. XI, 23 (2216). Usurpanti ἵζήσας 51, 20 (de quo vide C. 173), certe Dio Cassius in culpae societatem venit L, 2 ἐπὶ δίφρου ἀρχικοῦ ἵζήσας, praeterea ἵζάνω Homericum (Od. ω 209) et Sapphicum saepe habet. Cum Buttmanno Ausf. Gr. II, 101 καταδαρθέντες 78, 27 tenebimus adversus C. (121); Philostratus fortasse etiam Pindarici ἐριπέντι (Ol. II, 47) meminerat. Magistrum alloquens διδάξῃ medio utitur Apollonius 95, 31, nil novi hoc post Lucianum Rhet. didasc. 13, Gall. 26. Cronosol. 12, itaque is quoque in Graeculorum numero habebitur, qui „discrimen hoc tam perspicuum et ex ipso Grae-

citatis ingenio natum neque sentiebant neque didicerant" ut ait C. 173. Sic 96, 19 λουομένων legimus et apud Luc. πρὸς ἀπαίδευτον 23; C. formam scribae, non Philostrati errorem statuit 165. Gravibus verbis castigatur 112, 16 κυομένοις (cf. C. 175), pro qua forma nunc κυουμένοις reposuimus, illam excusabimus tamen Aeliani exemplo, cuius in Var. Hist. V, 18 ἔκυε Hercher reliquit; incerta sunt in Luciano Ver. Hist. I, 27 κύουσι, Dial. Meretr. II, 1 κύω, Tox. 15, med. κύειν. „Male scripsit, si C. 173 audis, Philostratus 114, 24 ἐξηγόρευσεν ὁ δαίμων pro ἐξεῖπεν, non peius tamen quam Luc. Dial. Deor. 16, 2 φοβηθεῖσα μὴ ὁ νεανίσκος ἐξαγορεύσῃ τὸ αἶσχος αὐτῆς, quin Aristoteles similiter peccat Polit. 1336[b], 9 ἀπηγορευμένα admittens pro ἀπειρημένα. Nescio, cur Cobeto 174 inepte dictum videatur 127, 9 ἀνοήτως εἶχον τοῦ πάθους, cui simile est Luc. ὄνος 44 τῆς φωνῆς ἀνόητος ὤν. Verba 140, 17 ἐς τὰ τοῦ Ἀπολλωνίου ἤθη ἀπεδύσατο compone cum Luc. Anach. 1 ἀποδυσάμενοι λίπα ἠλείψαντο, cf. C. 176. Notione levitatis praeditum invenimus εὐκόλως — ἐγκωμιάζων 149, 14 et 106, 15 componitur τῶν ἀνόητων τε καὶ εὐκόλων reiectum ut plane abhorrens ab antiquo Graecitatis usu a C. 179. Nostro praeit in eo vitio iam Plutarchus π. τ. ἀκούειν 46[c] οἱ εὐκόλως καὶ ὀλιγώρως τὸ κακῶς ἀκούειν φέροντες οὐ καλὴν διδόασιν ἀπόδειξιν ἀνδρείας τὴν ἀναισχυντίαν. Non obediemus Cobeto iubente 157, 1 reponere ναυαγίᾳ τὴν μητέρα ἀπέκτεινε collato Luciano δὶς κατηγ. 21 ὥσπερ ἐκ ναυαγίου λιμένι προσνέοντα, atque adeo ipso Ph. epp. 3[…] = 49 ἐμπρόθεσμον ἐκεῖνο τὸ ναυάγιον, quos loc[…] cum aliis Lobeck adhibuit Phrynicho 519. Damnat[…]

(159) formae *ᾔεσαν*, quae saepius nobis occurrit, ut 160, 13 *ξυνῄεσαν οἱ ἄνθρωποι ἐς ταῦτα* subvenit iterum Aristoteles Rhet. 1385, 12 *ὡς ᾔεσαν διὰ τῶν πυλῶν*. Ad *ἀπελθεῖν* solo genetivo iunctum 169, 27 (*ἀπελθὼν τοῦ θεάτρου*) citare licet Lucian. *περὶ τῶν ἐπὶ μισθῷ συνόντων* 30 *ἀπελθὼν τοῦ δείπνου*, ne solum hunc scriptorem ita loqui existimes, quod quidem C. 169 videtur docere; idem accidit de verbo *φρονεῖν* = superbire, quod 107, 18 similiter usurpatur atque ab auctore encomii Demosthenis Lucianeis adiecti, 4 *σὺ μὲν φρονεῖς Ὅμηρον ἐπαινέσας*. Ne 220, 19 *πάλαι* tollamus iunctum cum *τὸ ἀρχαῖον*, quasi emblema sit hominis, „qui ne intellexit quidem id quod voluit explicare“ (C. 134) prohibere possunt loci ut Lysiae VI, 51 *ἱέρειαι καὶ ἱερεῖς στάντες κατηράσαντο — κατὰ τὸ νόμιμον τὸ παλαιὸν καὶ ἀρχαῖον*; ne ridiculum, ut C. 144, habeamus 237, 8 *ξὺν τῷ αὐτῷ ἐπανελθεῖν τρίβωνι* impediet illud Xenophontis Anab. IV, 5, 33 *παῖδας σὺν ταῖς βαρβαρικαῖς στολαῖς*; *φανερός* pro *ἐπίσημος*, ut 258, 3 est apud Lucian Nigr. 64. 277, 23 licet fortasse Platonicis locis uti Critia 112[d] *τούτῳ δὴ κατῴκουν τῷ σχήματι* et Legg. 732[e] *ὁ κάλλιστος βίος τῷ σχήματι κρατεῖ πρὸς εὐδοξίαν* ad tuendam syntaxin *ἀφελέσθαι σε νόμου σχήματι* (= *προφάσει*) *τὰ κτηθέντα*, ubi C. 144 cum quadam veri similitudine *ἐν νόμου σχήματι* coniecit. Quod contendit C. 143 *ἱερὰ* nusquam esse victimas, semper *ἱερεῖα* (ad 274, 19), refutari videtur altero loco 339, 5 *κύλικος κειμένης περὶ τὰ ἱερά*, et Dionysii Halicarn. Arch. X, 2 (1987); displicet eidem (177) cum dicuntur 303, 14 delatores *ἐπὶ ξευγῶν ἐς τὴν ἀγορὰν ἐκκυκλ*[illegible] quocum conferemus Plut. *πῶς ἄν τις αἰσθοιτ*[illegible]

προκόπτοντος ἐν ἀρετῇ 80ª εἰ λαβόντες (recens docti) εὐθὺς εἰς ἀγορὰν ἢ νέων διατριβὴν — ἐκκυκλήσουσιν. Quam lectionem ex π, s restituimus 311, 23 οὐδεὶς ἐπὶ τὸν Λυκοῦργον ἀγὼν ἧκεν — παρὰ Λακεδαιμονίοις ὡς ἀθανατίζοντα, ea non solum ex Herodoto IV, 93 αἱρέει Γέτας τοὺς ἀθανατίζοντας fidem accipit, sed etiam ex Aristotele Eth. Nic. X, 7, p. 1177ᵇ, 31 οὐ χρὴ δὲ κατὰ τοὺς παραινοῦντας ἀνθρώπινα φρονεῖν ἄνθρωπον ὄντα οὐδὲ θνητὰ τὸν θνητόν, ἀλλ' ἐφ' ὅσον ἐνδέχεται ἀθανατίζειν καὶ πάντα ποιεῖν πρὸς τὸ ζῆν κατὰ τὸ κράτιστον τῶν ἐν αὑτῷ. Contra ἀθανατιῶντα Olearianum commentum est, de quo C. (148) pronuntiat „reperta vera lectio est, sed inconsulto abiecta" ipse inconsulto probans verbum nusquam lectum, ac si legeretur, non eo, quem hic locus postulat, sensu interpretandum; ut enim θανατᾶν s. θανατιᾶν est mori cupere, ita ἀθανατιᾶν esset nolle mori. Reliquorum codd. lectionem ἀθάνατα ζῶντα ex vera leviter corruptam esse plane patet. In exitu orationis Apollonianae 325, 16 malit C. (150) legi μειράκιον ἱκανῶς ἦσθα καὶ οὔπω τοσοῦτος, sed iam Eusebius adv. Hierocl. 75, 26 citat οὔπω οὗτος.

Praeter haec exempla sophista nonnullas voces ex poetarum usu sibi indulsit, ut 96, 24 et alibi ἔπληξα ex notissimis Homeri versibus duxit, nec cunctabimur formam a C. (140) plane abiectam 251, 1 ἐκεῖνος μὲν τροχῷ εἰκασμένος — κνάμπτεται et 263, 3 εἴ τις — ἐπὶ τροχοῦ κνάμπτοιτο tueri Homericis γναμπτοῖς ἀγκίστροισιν. Adversus illum 199, 31 στρατιωτικοῦ βίου pro στρατιώτου β. requirentem nescio an Aeschyleum στρατιῶτιν ἀρωγὴν (Ag. 48) liceat adhiber

Stilum poeticum refert 153, 8 *ὡς λέων εἷς οὗτος γένοιτο τῶν ὑποζυγίων ποτὲ τῇ Ῥέᾳ*, quem non debebat ad pedestrem C. deducere (130) correctione sua *ὑποζυγέντων*, cf. Theogn. 125, 6. Eiusdem versus parum recordabatur v. cl. cum haec scribebat 173: „est in vicinia (ubi 67, 18 reprehenditur Ph. scribens *ὑπερχαίρω — ἐπειδὴ οὕτω περὶ ἐμοῦ οἴει* pro *ἐ. ο. π. ἐ. γιγνώσκεις*)“ locus, in quo emendando mihi ipse nondum satisfacere potui p. 78 (67, 23) *μακάριε τοῦ θησαυροῦ, εἰ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύῃ τοὺς φίλους*. Nihili est *ἀντερύῃ*, quod solum mendosum esse videtur. Sententia postulat „anteponis, praefers“: itaque suspicor *ἀνθαιρεῖ* rescribendum esse, quod apud Atticos eo sensu usurpari non solet, — sed apud sequiores solet, quorum *συνήθειαν* etiam in hoc verbo Ph. videtur secutus.“ Immo ipsius Theognidis 77 *συνήθειαν* secutus est, dicentis *πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι ἄξιος*, quae verba iam in Notis olim indicavi sed surdo. —

Pauca tantum ex aliorum scriptorum usu vel tueri, vel excusare non contigit, ut *προπίνω* = commendo 105, 32; *ἀναβιωθεῖσα* pro *ἀναβιοῦσα* 164, 8; *αἰνίττειν* inaudito verbi genere 220, 26; *ἐπωνυμίαν ἤρηκε* (quo vix melius est *ἐπωνυμίαν εὕρηκε* apud Photium) 239, 27; *λήσῃ* = latebis 268, 19. Vide Cobet de his p. 179, 176, 135, 142. Non sum ausus ea corrigere, ut ne *ταῖν χεροῖν* quidem, quod sine ulla varietate invenitur 162, 20, 251, 1, 335, 18, etsi C. 170 affirmat diu post Philostrati aetatem vitiosum hoc genus natum esse; revocavi *ᾔεσαν* ab illo proscriptum 159 vel eo loco, ubi codd. *ξυνῇσαν* praebent, 206, 17; nec ξυνει

scripsi pro *ξυνίης*, quamvis eiusdem sententia damnato 144.[17])

Nolui scilicet ipsum scriptorem emendare veritus criticam artem amplius quam in vitiis codicum exercere, qui fines saepissime migrandi erant si praeceptis viri clarissimi obsequi vellem. In superioribus demonstravi, quae servanda censerem, quae remedio indigere existimo, adnotatio critica complectitur. Multas olim in margine notatas coniecturas nunc in ordinem recepi; quae novae meae ibi leguntur, stellula * distinxi. Westermanni assensionem meis lectionibus tributam sola litera

---

17) Pauca hic addenda sunt: analogiam verborum, quae Madvig in Gr. Synt. § 178 not. cum infinitivo aoristi iungi sensu futurae actionis docet (exemplum sit Eur. Or. 1527 *μῶρος, εἰ δοκεῖς με τλῆναι σὴν καθαιμάξαι δέρην*) secutus sum in retinendo eodem tempore 287, 19 *ᾤετο λαμπρῶν ἀκροάσασθαι* secundum π, v; liceat etiam Eusebium Hist. eccl. I, 7, 8 (53, ed. Lämmer) citare, ubi legitur *οἰόμενος — συναπολαῦσαι*. Audacius scripsi 102, 13 *ὑπουργῆσαι — ὑπεσχόμην* pro *ὑπούργησα* in ea forma ratus inesse vestigium infinitivi aoristi et respondentes inter se spei ac promissi notiones eandem admittere temporis inde pendentis rationem. Infinitivum futuri *ἄν* additum ne apud Philostratum quidem 63, 7 *οὐ γὰρ ἂν πρὸς τὴν Ἰνδικὴν πᾶσαν ξυμφρονοῦσαν παρατάξεσθαί ποτε αὐτόν* habere posse Cobeto 142 non facile quis credet, cui certissimis exemplis eam syntaxin Thucydideam esse L. Herbst persuaserit, cf. dissertationem scholasticam Hamburgi 1867 editam: über *ἄν* beim Futur im Thukydides, maxime p. 30 sqq. Eam particulam plerumque post *γὰρ* collocari recte monet C. 142, sed non semper eum ordinem servari ostendit locus 141, 21 *οὐδὲ γὰρ τῆς Ὠρειθυίας ἐραστὴς ἄν ποτε ὁ Βορέας ἐγένετο*, quare excusabor 118, 26 *καὶ γὰρ κέρδος ἂν εἴη* scribens pro *καὶ γὰρ ἂν κ. ἑ.* quod autem 141 reprehendor ob coniecturam *οὐδ' ἀποθάνοιμ' ἂν*, quia solum *οὐδ' ἂν ἀποθάνοιμι* in soluta oratione dicere liceat, subvenit mihi Philostratus ipse, apud quem est, ut uno loco defungar, Her. 294, 9 ed. Tur. *καὶ Μάρωνα δὲ τὸν Εὐάνθους ἀδικοίης ἄν*. Ridenti Cobeto 172 quod legitur 67, 18 *ὑπερχαίρω, ἐπειδὴ οὕτω περὶ ἐμοῦ οἴει* minus adstipulabimur comparatis locis 106, 21 et V. S. 51, 12, ubi verbum sentiendi notionem habet.

initialis significat, plene nomen scripsi propriam eius correctionem aut sententiam referens.

Codicum (C.) notas omnes ex editione Turicensi (t) repetii consulens ita lectoribus, qui illa carerent. Sunt autem hi:

Melior familia (1).

π Parisinus 1801.[18]) e. Escorialensis. μ. Marcianus Cl. XI, 29. p. Parisinus 1696. u. Urbinas 110. ϱ. Vaticanus 956.

Deterior familia (2).

f. Laurentianus LXIX, 33. fb. Laurentianus LXIX, 27. ψ. Palatinus 329. v. Vratislaviensis. Vaticanus 1016. s. Schellershemianus. fc. Laurentianus LXIX, 26. l. Lugdunensis 73. μa. Marcianus 391. μb. Marcianus 392.

Excerpta: h. Palatinus 129. d. Darmstadinus. φ. Laurentianus LXXIV, 12.

Epistularum Apollonii codices: μ. Mazarinaeus 87. λ. Lugdunensis 73. p. Parisinus 1428. π. Parisinus 3047. d. Dorvillianus.

Ab aliis scriptoribus citata: *E*. Eusebio adversus Hieroclem (p. est Parisinus 174, π. Parisinus 451). Φ. Photio. Σ. Suida. Θ. Thoma Magistro.

Editiones (E.) sunt a. Aldina 1502, m. Morelliana 1608, o. Oleariana 1709, t. Turicensis 1844.

Scripsi Heidelbergae X die mensis Oct. MDCCCLXX.

---

18) Praestantiae huius libri, qui excellit inter ceteros codices 'velut inter ignes luna minores' Cobet nil detrahit obloquens nobis p. 79, 129, 140, 143. — Notavi libros, quibus totis usus sum, diductis literis.

ADNOTATIO CRITICA.

1. IN APOLLONII VITAM.

I.

1, 6. *θυσίας* scr. *θῦσαι* ς. 3, 7. *ὗε* scr. *ὗοι.* ς. ib. 26. *ὅ τι ἁμαρτάνοιτο* scr. *. *ὅ τι ἂν πράττοιτο.* ς. 4, 7. *ἀπήγγελτο* velit Cobet. 117, sed cf. 14, 4. 8, 13. *δὴ* scr. *. *δὲ* ς. 10, 26. *Σαρδῴων* scr. *Σαρδόνων.* ς. 12, 26. *ἐφ' ἑταίρας ἐκώμαζεν.* Cobet. *ἐφ' ἑταίραις ἐ.* ς. 13, 23. *ἐπέκοπτεν* Cobet. *ἐπέσκωπτεν* ς. 16, 4. *αὐτὴν αὐτῶν μόνων.* 2. (*αὐτῶν* 1). *αὐτὴν αὐτῶν ὑμῶν μόνων.* 1, Westermann et t (incl. *αὐτῶν*). *αὐτῶν αὐτὴν μόνων.* o. 18, 22. *Ὑρκάνιοι* C, *Ὑλόβιοι* (ex Strab. XV p. 713) Rhoerius ad Porph. de abst. p. 358, Westermann. 19, 17. *ἧκον* scr. *. *ἄγον* ς. 20, 5. *ἀμελῶς εἶπεν* scr., W. *εἶπεν.* ς. cf. Heroic. 295, 70 ed. Tur. ib. 23. *ἀπόγραψαι.* Westermann, Cobet. *ἀπογράψαι.* ς. 21, 12. *διὰ τῶν βαρβάρων τούτων πορευομένοις* scr. *. *διὰ τῶν βαρβάρων τούτων.* ς. cf. 21, 19. 24, 29. *τῶν ἠθῶν* postulat Cobet. cf. 156, 23. — 26, 5. *ἡμέρας ὁδόν* scr. *. *ἡμέρας* ς. 121, 19. — 27, 3. *πορθμεύων ἢ πορφυρεύων* incl. cum o, Cobet. 32, 29. *καὶ δὴ ἐκέλευσε* scr. *καὶ διεκέλευσε* ς. (*καὶ ἐκέλευσε* 2, E, Westermann). 38, 8. *καί που καὶ* scr. *. *καὶ ὅπου καί.* ς. 34, 13. *οἰκῆσαι ἂν ἤρας;* scr. *. ib. 15. corrige *ὁπόση* *. 36, 17. *ὅτ' ἔφευγε*, 2, E, Westermann. *ὅτ' ἔφυγε.* 1, t. *ὁ Ῥηγῖνος* scr. *. *Ῥήγιον* ς. 37, 23. *φιλονίκως* Spengel, W. *φιλονείκως* ς. 39, 23. *καὶ* incl. *. antea 20 dedit Westermann *ναὶ μήτε σῖτα* male. 42, 29. *βαδίσαι δὲ δεῖ.* *. *βαδίσαι δὲ.* ς.

II.

43, 26. *Ἀρμενίαν* 1, W. *Ἀρμενίων* 2, E, t. 47, 15. *οἷ στείχοιεν.* Cobet. *οὗ στείχοιεν.* ς. ib. 22. *τοὺς Ἰνδοὺς* incl. *. 49, 17. *ᾠδοποίηται.* C, W. *ᾠδοπεποίηται* E. 51, 14. corrige *ἀφ' οὗ* cum Westermanno. 53, 3. *ψελλιζομένῳ ἐς τὰ πολεμικὰ ἐοικώς* scr. *. *ψελλιζόμενος ὡς τὸ εἰκός.* ς. ib. 10. *ὑπὸ ἀνθρώπῳ.* C, W. *ὑπὸ ἄνθρωπον.* E, t. 57, 31. *ἐκκειμένῃ τῇ γλώττῃ* scr. W. *ἐκείνῃ τῇ γλ.* ς. 58, 1. corrige *οὔθ' ἡ φύσις* cum Westermanno. ib. 29. *δεῖ* scr. *. *ἔδει* ς. 60, 15. *αὐτοῦ Οὐαρδάνου* scr. *. *αὐτὸν Οὐαρδάνου* ς. 61, 23. *ξυμβαλέσθαι* scr. *. *ξυμβάλλεσθαι* ς. 63, 14 fo: *ὀγκώσει* *. 65, 15. *μήτε γραφίδος μήτε ὀργάνου.* Westermann. *μητὲ γρ. μηδὲ ὀργ.* ς. 71, 15. *παρεγγράφοι* scr. *. *παρεγγράψοιτο* 1, o. *παραγράψαιτο* 2, a, m. *παρεγγράφοιτο.* t, W. 75, 3. *τὸν δὲ ἔσω κηφῆνα πέριξ τὸ τεῖχος ἔκλησαν* scr. *. *τὸν δὲ ἐ. κ. περὶ τὸ τεῖχος εἶρξαν.* ς. (*εἶλξαν* Pierson, Cobet, *ἧγξαν* Westermann.) ib. 15. *κεῖνται μὲν* scr. W. *κεῖνται μέντοι* ς. 76, 8. corrige *ἐπῆλθεν ὕμνος.* *. ib. 22. *ᾧ ἐνεκάθευδον* scr. *ᾧ ἐκάθευδον* ς. *ἐν ᾧ ἐκάθευδον* Westermann. 77, 5. *δηλοῦται αὐτῷ* scr. *. *δηλοῦται* ς. 78, 29. *ἀνακουφιζόμενοι αὐτοῦ* scr. *. *ἀνακουφιζόμενοι αὐτοί.* ς. 79, 6. *οὐκ ἂν ὑποκρίνοιντο* scr. *. *οὐκ ἂν ὑποκρίναιντο* 2, W. (qui *οὐδ' ἂν ὑ.* nescio qua causa). *οὐκ ἂν ὑποκρίνωνται.* 1. 80, 7. *ἔχειν ἡγοῖντο* scr. *. *ἡγοῖντο.* ς.

III.

85, 22. *ὁπόσα.* Φ, h. *ὅσα* ς. ib. 32. *τὸ τούτῳ μεθύειν* scr., W. *τούτῳ μεθύειν* ς. 86, 3. *λευκῷ* scr. *λευκά* ς. 88, 24. *οἱ δὲ ὑπὸ τὰς ὑπωρείας* scr. *καὶ τοὺς ὑπὸ τὰς ὑπωρείας.* ς. 92, 10. *καθ' ὅ τι βούλωνται* velit Westermann. 93, 11. *ὁπόσα ὧδε ἀρχαῖα* 2. *ὁπόσα δὲ ἀρχαῖα.* ς. ib. 30. *πράττοντας* scr., W. *πράττοντες.* ς. 94, 5. *ἴωσι.* Cobet. *ὦσι* ς. ib. 27. *ἡ δὲ πιμελὴ* Jacobs, W. *ἡ πιμελή.* ς. ib. *οἷα ἔλαιον ἀπ' αὐτοῦ λείβεται* scr., W. *οἷα ἔλαιον ἀπ' αὐτοῦ λείβεσθαι* ς. 95, 29. *εἶρεν* Cobet. *εἴρηκεν* ς. ib. 30. *εἰδείη* Cobet. *ᾔδει* ς. 98, 8. *ᾄδονται* scr., W. *ᾄδοιντο* ς. ib. 25. *καὶ γάρ τι καὶ φάσμα* p, f, v, l, W.

φάσμα. π, t. ib. 28. χερσὶ πράξαντας Spengel, W. χωρὶς πράξαντας. ς. (χωρὶς om. p.) ib. καθιέρευσαν scr. *. καθιερεύσαιεν Westermann. καθιερεύσαμεν. ς (t). 99, 15. ἡρπάσθαι scr. *. ἁρπασθῆναι Cobet. ἀνηρπάσθαι ς. (cf. Praef. p. X.) 100, 15. μήθ' ἡ σοφία. Westermann ex f. μηδ' ἡ σοφία. ς (t). 102, 6. ἄραιμι Cobet. ἄροιμι ς. ib. 13. ὑπουργῆσαι ὑπεσχόμην (tutius erat ὑπουργήσειν ὑ. sed vide Dionys. VI, 42.) scr. *. ὑπούργησα. ς. 104, 18. εἶπον Westermann. εἶπε ς. 105, 10. μάλιστα ἀσμένως W. ex π, s, E. μάλα ἀσμένως p, f, l, t. ib. 12. ὑπ' αὐτοῖς W. ex π, 2. ἐπ' αὐτοῖς. Euseb. o, t. (ὑπ' αὐτοῦ p; eratne ὑπ' αὐτοὺς?). 109, 6. δοῦλος εἶναι scr., W. δοῦλος μὲν ς. ib. 15. τὰ Ξέρξου scr. *. Ξέρξου C. praeter p, E, W.: Ξέρξην. ib. 16. ἡγοίμην ἂν αὐτὸν ἀξίως δοξασθῆναι scr. *. ἡγοῦμαι ἂν αὐτὸν ἀξίως δοξασθέντα ς (ἂν incl. Westermann). 110, 18. ξυμβόλου scr. ξυμβούλου ς. 111, 6. ἐπὶ ξένια. Cobet. ἐπὶ ξενίᾳ. ς. 112, 14. ὁ ἐν αὐτῷ νοῦς scr. ὅθεν αὐτῷ νοῦς ς (κἄνδοθεν αὐτῷ νοῦς Westermann). ib. 16. κυουμένοις s, l, Cobet. κυομένοις ς. 115, 24. τὸν λαγὼν scr. *. τῷ λαγῷ. ς. ib. 31. ὡς δὲ μηδὲ ἐς ἐπιθυμίαν ποτὲ οἴνου κατασταῖεν, εἴ σοι πάλιν παιδίον γένοιτο scr. *. ὡς μηδὲ — κατασταῖεν, εἰ δέ σοι — γένοιτο ς. 116, 13. ἢ incl. *. 186, 26. καὶ γὰρ κέρδος ἂν εἴη scr. (καὶ γὰρ ἂν κέρδος εἴη malint Scheibe, Cobet.) καὶ γὰρ κέρδος εἴη. ς. ib. 30. τι λέγεσθαι. scr. λέγεσθαι ς. 125, 15. excidit θαμὰ ante ἐπιστρεφόμενος *, cf. 154, 12, II, 8, 18. — 122, 1. τοῖς ἑτέροις σοφοῖς scr. σοφοῖς ἑτέροις ς. ib. 25. τὸ τοῦ κογχυλίου μέγεθος καὶ incl.; om. o, qui καὶ servat. ib. 30. Πήγαλα corr. C. Müller ad Geogr. min. p. 339. Πάγαλα o. Σελευκείᾳ corrige ex appendice ed. Tur. cum W.

IV.

126, 21. ἐπὶ τοῦτο scr. *. ἐπὶ τούτῳ. ς. 128, 8. aliquid excidisse ante ὄντος significavi; ib. 21. ad ἐς πάντ[α] requiritur ἥκοντα *. 129, 11. ἐξεπονεῖτό σφισι scr. *. ἐξεπονεῖτο. 130, 1. Ἀσφάλειος f, v, l, Φ, Cobet. Ἀσφάλιος ς ib. 18. πλείστους scr., W. πλείους ς. ib. 24. ὁ καταμύει[ν]

δοκῶν scr. *. *καταμύειν δοκῶν* ϛ. ib. *τῳ ἐκ Μολ.* velit Westermann. 131, 25. *τιμᾶν ἐνόμιζεν* scr. *τιμῶν ἐνόμιζεν* ϛ. 133, 17. *ἐπεγέγραπτο* scr. cf. 50, 6; *ὑπογέγραπτο.* ϛ. ib. 29. *ἔς τε τὸν Ἀπόλλωνα* scr. ut Preller l. c. 466, *εἰς τὸν Ἀπ.* C. plerique (*ἧς τὸν* v, o). olim *ἔς τε Ἀπ.* scr.; W. 134, 3. *καὶ γὰρ δὴ καὶ* scr. *. *καὶ γὰρ δὴ* ϛ. ib. 23. *δίει* p, Cobet. *δίεις* ϛ. 135, 2. excidit *τῆς* *. ib. 9. *ἐξήλλαττε* scr. *ἐξηλλάττετο* ϛ. 136, 2. *βέλτιον* malit Cobet, sed cf. 115, 28; 331, 8, Heroic. 312, 19 ed. Tur. ib. 7. *ἐρωτήσων* add. cf. 300, 28. ib. 16. *ἔτι φοιτῶσιν* 2, *Φ*, E, W. *ἐπιφοιτῶσιν* 1, t. 137, 2. *πέμπτον δ' ἠρόμην* p. *πέμπτον ἠρόμην.* ϛ, W. ib. 27. *ἠσκοῦντο* scr., W. *ἤσκηντο* ϛ. 138, 5. *μετὰ πρόρρησιν* scr. in append., W. ut Preller, Cobet. *μετὰ πρόσρησιν* ϛ. 140, 20. *ἀκροασομένους* ex v, l, scr. in append., W. *ἀκροασόμενος.* ϛ. 141, 11. *ὅπλα θήσεσθαι* Hamaker, Cobet. *ὅπλα στήσεσθαι.* ϛ. 143, 8. *αὐτόθεν* Cobet. *αὐτόθι* ϛ. 146, 20. *ἁβρότερον Λυδῶν* Valckenaer ad Callimachi fragmentum 233. cf. Praef. n. 16. 147, 9. *ξυμβεβηκώς.* 2, E, W. *ξυμβεβληκώς.* 1, t. ib. 19. *ἡγοῦνται* scr. *. *ἡγεῖται.* ϛ. ib. 31. *τῶν* incl. *. 148, 4. *τίνας Ἠλείους.* 1, s. *τίνας τοὺς Ἠλείους.* ϛ. 149, 11. *οὐκ ἄρ' οἴει* scr., W. *οὐκ ἂν οἴει* ϛ. ib. 27. *ναὶ τὼ Σιώ.* scr. in append., W. *νὴ τὼ Σιὼ* ϛ. 156, 18. *περίει.* Cobet. *περίεις* ϛ (*παρίης* 1). 151, 6. *τὸν ἑτέρων* scr. in append. ex 2, W. *τῶν ἑτέρων* 1, t. ib. 19. *οὕτω τι ἐχειρώσατο* Westermann. *οὕτω διεχειρώσατο* ϛ. 152, 9. *δηλῶσαι* scr. *. *δηλώσει.* ϛ. 153, 31. *Μ. ὁ Βουλσίνιος* Nieuwland apud Hamakerum Lect. Philostr. p. 113 proposuit, quod videtur probare Cobet l. c. 137 sqq. at probe distinguendum esse Musonium Tyrrhenum (271, 30) ab hoc Babylonio, qui in Nerone (ed. Tur. 337, 1 sqq.) cum Menecrate colloquitur, monui olim in ed. Tur. p. 187, ubi lapsus tamen sum in citando loco 92, 27 ad Babylonium, non ad Tyrrhenum spectante. 156, 13. *προθείην* scr. *. *προσθείην* ϛ (*προσθείη.* 2). *ἀνδρείας μελέτας* scr., W. (*ἀνδρίας*). *ἀνδρὶ τάς.* ϛ. 157, 12. *ἔστιν ἡμῖν τὸ τοῦ Σοφοκλέους λέγειν* E. Miller l. c. 753. *ἔστιν ἡμῖν τ. τ. Σ. ἐλεγεῖον* C. (*ἰαμβεῖον* E, quod delevi in ed. Tur., ut W.). ib. 30. *ὡς ἐπὶ κῶμον* scr. *.

ἐπὶ κῶμον ς. 158, 12. ὑποθενοῦν scr. in append., W. ὁπόθεν γοῦν. ς. 159, 27. καὶ incl. *. 161, 1. τοῦ μὴ ἀποθανεῖν scr. μὴ ἀποθανεῖν ς. 162, 2. παρ' ὅτῳ Cobet. παρ' ὅτου ς. ib. 32. ἐπί τε τὸ θεοὺς γιγνώσκειν ἐπί τε τὸ ἀ. ξυνιέναι scr. *. ἐπί τε τῷ θ. γ. ἐπί τε τῷ ἀ. ξυνιέναι ς. ἀνθρώπων scr., W. ἀνδρῶν. ς, t. ib. 6. corrige ἀποσκοπῶν *. 165, 6. Σωκράτης ὁ Ἀθηναῖος scr. *. Σωκράτης Ἀθηναῖος ς.

V.

166, 23. ἀνισοῖ scr. ἄνεισι ς. 167, 10. Ἀθηναίῳ scr., W. Ἀθηναίων ς. ib. 13. ἔννουν καὶ ὥσπερ χρησμῷ ἐφιστάντα scr. *. καὶ ἔννουν ὥσπερ χ. ἐ. ς. ib. 26. κανταῦθα scr. in append. καὶ ταῦτα ς. ib. 29. ὡς εἴκασται ex p Westermann. 168, 11. ἐπεγράψατο scr. *. ἐγράψατο ς. ib. 30. ἡγώμεθα scr., W. ἡγούμεθα ς. (t) 169, 9. ἅ γε Westermann male. 170, 20. κακῶν Ἰλιάδες Jacobs, Westermann. 171, 15. Ἴπολα π. Ἴσπολα C. cett. Westermann. 174, 5. πρὸς ἑαυτάς scr., W. πρὸς αὐτάς. ς. (t) ib. ὁ δὲ scr. in append., W. οἱ δὲ ς. ib. 16. ἀποβαλόντες scr. *. μεταβαλόντες ς. 175, 20. ὃν ὥς ἐστι ψευδὴς πᾶς οἶδεν, αὐτὸ τὸ μὴ π. ἀ. ἐ. ἀληθεύει ex 2, E Westermann, non recte neglecta lectione cod. π. ὅς ἐστι ψευδὴς πᾶς οἶδεν ὅτι αὐτὸ κτέ. 178, 28. ἐπευφημῆσαι π. cf. 260, 23. ἀνευφημῆσαι o, W. ib. 30. λυπῶ σε φάναι scr. *. olim λυπῶ σε εἰπεῖν, ut W. λυπῶ σε ἄν. ς. 179, 5. ἐπ' Αἰγύπτου. s, a, m. ἐπ' Αἴγυπτον ς. ib. 8. corrige πράττοιτο. 180, 7. τούτου scr. in append., W. τούτους. ς. 183, 14. ὅσι' ἂν πράττοιτε scr. in append., W. ὅσια πράττοιτε ς. 184, 17. ἐπέκοπτε Cobet. ἐπέσκωπτε ς. 185, 3. ἐπ' ἀλλήλους. 2. ἐπ' ἀλλήλοις. 1, t, W. ib. ἃ ἔμελλε scr. *. ἃ μέλλει. ς. 186, 28. ξύμμετρον οὖν, ἔφη scr. ξύμμετρον οὖν, εἶπε. ς. 188, 31. πράττουσι πράττειν scr. *. πράττουσι ς. 189, 17. δόκει Jacobs, Westermann. 190, 8. τυράννων ex 1, f, v, s Westermann. reliqui tamen τυραννίδων ex l, fc, E, cf. 190, 32, 192, 25, 28, 30. 191, 14. τυραννησείοντι scr. * nunc malim τυραννευσείοντι. τυραννεύοντι ς. ib. 29. οὐκ ἂν ηὔξατο scr. *. οὐκ ἂν εὔ

ξαιτο. ϛ. cf. 319, 29. — 194, 19. ἐκπεπολεμῆσθαι. C, E. ἐκπεπολεμῶσθαι t, W. 196, 17. ὁποθενδὴ scr. in append., W. ὁπόθεν δὴ ϛ. 197, 8. διαβαλεῖ Cobet. διαβάλλει ϛ. 197, 26 omisi lacunae signum: post τοὺς μὲν — ὁμοφώνων requiritur contrarium a τοὺς δὲ incipiens. ib. ὅθεν δὲ scr. ὅθεν δή. ϛ. 198, 9. προσειρήσει Cobet. προσειρήσεται. ϛ. 199, 31. στρατιωτικοῦ velit Cobet. 203, 2. corrige Διοσκορίδην, ut est in appendice, W.

VI.

204, 19. τῶν Ἰνδῶν f, v, l. τῷ Ἰνδῷ ϛ (t, W.). 250, 30 excidisse videtur τὸ τέμενος. *. 206, 17. ξυνῄεσαν scr. ξυνῆσαν. C. 207, 2. ἀλλ' εἰπέ, ὅπως scr. *. ἀλλ' ὅπως. ϛ (ἀλλὰ πῶς Westermann). ib. 15. ἐν ἀνθρωπείοις scr. ἀνθρωπείοις ϛ. ib. 25. φυλάξοιτο. Σ. φυλάξαιτο ϛ. 208, 22. φθεγξομένου scr., W. φθεγξαμένου. ϛ. 209, 6. δι' ὅ τι scr. *. ὅτι C., t, W. ὅτῳ E. ib. 13. δεῖ δὲ scr. δεῖν δὲ. ϛ. ib. 27. ὥς γε, εἶπεν, ὦ μειράκιον καὶ πέπρακται. Westermann (qui proposuit διαπέπρακται). ὥς γε εἶπε τὸ μειράκιόν τι πέπρακται. C. unde olim conieci ὥς γε εἶπε τῷ μειρακίῳ τι π. 210, 6. ὃν ἂν — εὕροις scr. *. ὃν ἂν — εὕρῃς. ϛ. ib. 12. ἐς ἤθη στείχειν scr. *. καταστείχειν ϛ. cf. 209, 14. ib. 32. ἀφιλοτιμότερον ψ, o. φιλοτιμότερον ϛ (t, W.). 211, 11. ὀχλεῖν velit E. Müller l. c. pag. 53. 212, 1. τῦφον; ὃν οὔπω dedi. τῦφον [ὃν] οὔπω Westermann, cui in ὃν latere εἶπεν videtur. τῦφον, ἔφη, ὃν οὔπω. o. 214, 15. ἀδίκων. fo. excidit ἔργων. *. 215, 22. τι incl. *. ib. 32. ἀτιμάζων ἀλήθειαν scr. ἀτιμάζων εὐτέλειαν ϛ, etiam W., sine causa dubitans „hoc an proxime sequens εὐτέλειαν corruptum sit". 217, 7. παραστήσασα p, u. περιστήσασα ϛ (t, W.). ib. 30. ἂν ἕλοιτο scr., W. ἕλοιτο ϛ. 218, 30. ποῖον W. ex 2. ib. 31. deest lacunae signum: τοῦτο excidit post ταὐτὸν *. 221, 10. καὶ ante τὰς om. p, 2, W. 222, 24. ἀριθμήσας scr., W. ἀριθμῆσαι ϛ. 223, 31. ἀσπάζονται W. ex 2. — 225, 7. διαπαῦσαι δὲ ὁ Θ. ζητῶν scr. *. διαπαύσας δὲ ὁ Θ. ϛ. 226, 18. excidit responsum Thespesionis. *. 228, 6. μᾶλλον αὐτὸ[illegible]

ἢ scr. *. μᾶλλον ἢ αὐτὸς. ϛ. 229, 9. τοῦ τι — ἐνθυμηθῆναι. Cobet. τουτὶ — ἐνθυμηθῆναι. ϛ. (τουτουὶ Westermann.) 230, 1. προσειπόντες οὖν. Westermann. προσειπόν τε γοῦν. ϛ. 232, 1. καὶ ὁρίζειν malit Westermann. ib. 18. ἐλευθέριοι scr. ἐλεύθεροι ϛ. 234, 11. ἂν — ἐδείκνυε. Cobet. ἐδείκνυε. ϛ. 235, 32. ἀνελλιπέστερον scr. in append., W. ἐλλιπέστερον. ϛ (t). 236, 20. ὁ τί πράττων scr. in append., W. ὅ τι πράττων ϛ. 239, 1. συσκευασόμενος scr. *. συσκευαζόμενος ϛ. ib. 27. εὕρηκε Φ. probante Cobeto. ib. 31. πιστεύοντες οἶμαι τῷ καὶ αὖθις θηράσειν. Piccolos. π. ὁ. τὸ — θηράσειν. ϛ. 240, 3. ἐλεφάντων πράσεως scr. *. ἐλεφάντων βρώσεως ϛ. ib. 25. αὐτός τε. Cobet. αὐτός γε ϛ. 241, 26. χρόνον corrige mecum (in append.) et W. 242, 29. περὶ τὸ στέρνον αὐτῷ scr. περὶ τὸ στ. αὐτό. ϛ. 243, 27. ἐς Ταρσούς. Cobet. ἐπ' Ἄργους. ϛ. 244, 14. ᾄσεται scr. ἀείσεται. ϛ. ib. 29. τὸν ἀγαθὸν ἄρχοντα. scr. τὸν ἀγαθόν. ϛ. 245, 3. ξυμπέμπει Bentley. ξυμφέμπειν ϛ. ib. 10. γεγράψεται scr. γέγραπται ϛ. 250, 1. καὶ ὥς ταὐτό scr., W. καὶ ταὐτό ϛ. ib. 6. δεινόν σε velit Westermann. 252, 14. Ἑλλησποντίους non potest carere adiecto participio ut πιεζόμενους. *.

VII.

255, 1. φεύγοντα Cobet. φυγόντα ϛ. ib. 20. λέγοιτο μὲν ἂν Jacobs. λέγοιτο μὲν. ϛ. 260, 9. ὅτι ὡρμήκοι scr., W. ὅτι ὡρμήκει ϛ. 261, 1. ὑποψαλλούσης αὐτούς 2, Φ, W. ὑποψαλλούσης αὐτοῖς. 1, ϛ. αὔρας Valckenaer. ὥρας ϛ. 264, 21. corrige ἐγίγνωσκον ἄν. 266, 10. ἀποθάνοιμ' ἂν scr. ἀποθάνοιμι ϛ. 267, 13. ὡς ὀρθῶς εἰρημένοις scr. *. ὀρθῶς εἰρημένοις. ϛ. 264, 4. τὴν ἀπολλῦσαν αὐτοὺς νόσον scr. τὴν ἀπολλῦσαν αὐτοὺς ϛ (W. „quod de suo addidit ex Eurip. Orest. 395 Kayser, ut non necessarium delendum censui.“ at est plane necessarium). ib. 14. ὀλίσθῃ. Cobet, cf. 126, 15. ὀλισθήσῃ ϛ. ib. 24. πιθανὰς τῷ φόβῳ. p. πιθανὰς τοῦ φόβου. ϛ, W., qui πιθανὸς cum εὐδαίμων, θαυμάσιος aliis genetivo iunctis adiectivis non recte comparat. 270, 31. κοινωνῆσαί σε scr. *. κοινωνῆσαι. ϛ.

273, 7. excidit nonnihil post μεμνῆσθαι. *. ib. 24. δεῖν excidit *. 274, 1. εἰ φύγοιμι scr., W. εἰ φύγω ς. ib. 11. τῶν ἱερῶν. π, cf. 339, 4. τῶν ἱερείων restituunt Westermann, Cobet. ib. 20. τὴν ἐς αὐτὸν sc. τὴν ἐς αὐτὰ ς. 275, 4. μηδ' ἂν εἰ scr. *. μηδ' ἂν. ς. ib. 25. αὐτός τε σὺ. Cobet. αὐτός γε σὺ. ς. Ἐφεσίων πόλις. scr. *. Ἔφεσος πόλις ς. 276, 2. ξὺν γέλωτι scr. *. ξυγγελῶν. ς. cf. 302, 25. ib. 11. ἐς τὸν χρόνον. Cobet. 277, 11. τάφους κινήσας. Spengel, W. τάφους ἐκίνησας. ς (t). 278, 6. ἢ ὑπερορῶντας αὐτῶν διὰ τὴν ἰσχὺν τοῦ πλούτου incl. *. ib. 31. ἀπολυόμενον scr., W. ἀπολυόμενος. 280, 10. καὶ incl. Cobet. ib. 14. φησιν εἶναι εὕρημα scr. φησιν εὕρημα οὖσαν ς. incl. οὖσαν. 281, 2. οὐδὲν ἐοικότα π, 2, W. οὐδὲν ἀπεοικότα p, u, o, t. 281, 29. δῆμοι ἀσελγεῖς scr. δῆμοι τ' ἀσελγεῖς. 282, 7. γλώττης δὲ Westermann. 284, 27. εἰπεῖν coni. Westermann. εἶπε ς (t). 288, 2. ὡς χρηστοί τέ εἰσι λέγεις ex p, 2, E scr.; olim λέγεις om. cum π, quo iracundia tyranni melius exprimitur. 289, 3. δὴ incl., W. 290, 2. πρὸς τῷ ἀλγοῦντι scr. in append., W. πρὸς τὸ ἀλγοῦν. ς. ib. 11. corrige λιποθυμῆσαι. 291, 23. τὰ κακὰ πείθειν. Cobet. τὸ κακὰ πείθειν. ς. ib. 30. πολὺς ῥέων Taylor ad Demosth. π. στεφ. 272 ed. R. ῥέων ς. cf. II, 3, 12. — ib. 32. ἐν τοῖς ἑαυτοῦ ἄθλοις. Westermann. ἐν τοῖς ἑαυτοῦ λόγοις. ς. 292, 26. αὐτῶν τῆς τέχνης scr. *. αὐτῆς ς. 293, 1. καὶ ἐπὶ θύρας scr. κἀπὶ θύραις. ς. ib. 3. εὐτυχήματα scr. *. χρήματα ς. (adnotat W.: „non puto sanum esse χρήματα, verum quod apponitur τὰ δ' ἄτοπα altero loco τὰ μὲν χρηματοποιία vel χρηστὰ vel eiusmodi quid postulat.") ib. 31. ἐλευθέριον δεσμωτήριον scr. ex 276, 6 sic etiam 294, 3. ἐλευθερίῳ δεσμωτηρίῳ pro ἐλεύθερον δ. — ἐλευθέρῳ δ. 295, 16. corrige ἔφη. ib. 29. οὕτως ἐλευθέρα scr. τούτοις ἐλευθέρα. ς. 296, 9. ὅν γε scr. ὅ γε. ς. ib. 14. δι' αὐτὸ γάρ που. scr. δι' αὐτὸ γάρ πω. ς

VIII.

298, 23. ἐπεδόθη. ex p, 2 scr. olim ἀπεδόθη ex π, W. 301, 10. διαβαλοῦσιν scr., W. διαβάλλουσιν. ς. 303, 16.

γάμοι incl. *. καὶ μυριάδων velit W, ut t in append. 304, 18. οὐκ ἀνεπιτηδείων scr. *. οὐκ ἐπιτηδείων ϛ. (olim οὐκ incl., ut W.) ib. 28. τεράτευσαι scr. ψεύσασθαι ϛ. 305, 28. σοφὰς scr. *. σοφούς ϛ. 306, 1. ἔστι δέ τι scr. *. ἔστι τι ϛ. ib. 8. θυομένων scr. θεωμένων ϛ. cf. 274, 13, 316, 9. ib. γὰρ incl., olim om. (t). 309, 19. κατὰ τοὺς χρόνους Cobet. κατὰ χρόνους. ϛ. ib. 20. ἐς incl. Cobet. 310, 18. adde ἡ ante φορά. ib. 22. εἶναι excidisse videtur post μύειν. *. 311, 22. ἧκεν add. Cobet. 313, 2. γὰρ. incl. ib. τὸ σώζεσθαι scr. *. τοῦ σώζεσθαι. ϛ. ib. 21. τῆς ὥρας πέρα πνεύσαντας scr. * τῆς ὥρας ὑπερπνεύσαντας ϛ. 314, 7. ἤκουσεν Cobet. ἤκουεν ϛ. 316, 8. ἂν incl. ib. 32. μηδὲ — ξυνῆψε scr. μηδ' ἂν — ξυνῆψε. 317, 5. τυραννησείοντας Abresch. τυραννεύσοντας ϛ. (fo: τυραννευσείοντας hic et 191, 4 τυραννευσείοντι legendum.) 318, 30. corrige ηὖχθαι. *. 319, 30. πολυλήϊος scr. πολλὴ ϛ. καὶ ποώδης ἡ Ἀρκαδία scr. ἡ Ἀρκαδία ϛ. 321, 21. ἀπολέσαι scr. ἀπολεῖσθαι ϛ. 323, 3. προϊσταμένων αὐτῆς scr. *. παρισταμένων αὐτοῖς. 326, 21. πάντας Bentley. πάντα ϛ (W.). 327, 1. ἀλλ' incl. 329, 27. ἐσελθεῖν. Cobet. ἐπελθεῖν ϛ. 330, 16. excidit τὴν φύσιν. * cf. 292, 19. — 331, 1. ἐπικεῖσθαι p, f, l. ἐπικείσεσθαι ϛ (t, W.). ib. 19. παραινέσαντες scr. * (κελεύσαντες Cobet). πείσαντες ϛ. 332, 31. κροτῶν scr. ἐρωτῶν ϛ. 334, 8. ἐπ' αὐτῆς scr. * ἐπ' αὐτοῖς ϛ. 335, 10. ἐπὶ Βοιωτίας Jacobs. ἐπ' Ἀρκαδίας ϛ. 336, 11. τὴν ἀρτιωτάτην scr. τὴν ἀρετήν τε C, unde τὴν ἀρίστην τε o, W. 341, 16. ἀκέραιος ὢν — καὶ ἄρτιος scr. cf. II, 28, 27.

2. IN EPISTULAS APOLLONII.

p. 345, 10. μαθήσει incl. 346, 29. γράψαιο scr. *. γράψαις ϛ. 347, 12. ἔστιν οὐκ ἀδύνατος scr. ἔστιν ἀδύνατος ϛ (t). οὐκ ἔστιν ἀδύνατος o. 348, 12. ἢ ὑμῶν ἂν πρὸς τίσιν scr. *. ἢ ὑμῖν ἀλλήλοις τισὶν ϛ (t). 350, 6. τοὺς θείους * scr. τοὺς θεούς. ϛ. 350, 11 ἐγκαλύπτου ἕκαστος λ. 351, 20. δυσθετήσωσιν scr. *. δυστυχήσωσιν. ϛ (t). 351, 21. fo: καὶ εὔχεσθε γίνεσθαι *. 354, 15. ὡς εἰμί scr. ὡς

εἴην ς. ib. om. ὡς ς. ib. 23. λόγου scr. λόγῳ ς. καὶ παθῶν scr. παθῶν ς. 355, 16. φίλοις ἂν εἴη scr. ex λ. φίλῳ παντί ς (t). ib. 28. πρεπωδέστερον ἂν εἴη scr. πρεπωδέστερον εἴη. ς (εἴη om. λ). 356, 16. ὁ ἐμός ς. excidit οἰκέτης *. 357, 17. οὐ μᾶλλον λ. μᾶλλον ς (t). 358, 2. οἱ συνόντες scr. * (etsi propius erat οἱ δόντες). οἱ ἰδόντες ς. ib. 26. εἰ δ' ἡ μὲν scr. εἰ δ' ἡμῖν. ς. ib. 32. τῷ πρεσβυτάτῳ μὲν γὰρ σοὶ scr. * requiritur enim personae significatio, σοι deest ς. ib. γόνος scr. *. γάμος ς, ineptum de homine viduo. 359, 12. Ἅλυν. λ. τὸν Ἅλυν ς. τὸ δὲ μεῖζον· κλαίεταί τις scr. τότε δὲ κλαίεταί τις. ς. 361, 11. οὐ βουλήσεται ἀπεύχεσθαι scr. *. οὐ βουλήσεται. ς. ib. τοὺς ἀθλίους. scr. τοὺς αἰτίους. ς. ib. 19. τάχιον ἢ Spengel. τάχιον ς. ib. 24. εἴποι ἂν scr. εἶπεν ἂν ς. 362, 15. οὔτε γὰρ ἂν λαθεῖν δ. scr. in t, quod nunc malim. οὔτε γὰρ λαθεῖν δ. codd. ib. 26. τᾶν δεδομενᾶν τιμᾶν scr. *. τὰν δεδομέναν τιμὰν. ς. ib. 32. καὶ γάνος μ. cf. Praef. VIII. n. 15. 363, 1. ἔγκτασιν scr. ἔκτασιν μ (t). ib. ἑστάκαμεν scr. ἡστάκαμεν. μ (t). ib. 9. καὶ λεπτὰς scr. λεπτάς. ς. ib. 18. τἄλλ' ὑμεῖς scr. *. ἀλλ' ὑμεῖς. ς. ib. 23. τὸ γὰρ ἱερὸν. scr. *. τὸ γὰρ. ς. μυχός ἐστιν scr. *. τύχης ἐστίν. ς. οὐδὲ Μεγαρεύς γε, λῷον δ' ὄνομα scr. * (fo. praestat γε delere). οὐδὲ Μεγαρεὺς γελοῖον ὄνομα. ς. παροικίσων velit Spengel. 364, 9. ἄνδρα πρόκριτον scr. *. ἄνδρα πρό . . . . . . μ. ἄνδρα. a. ὑμεῖς. o. ἡμεῖς C. δύο incl. ib. 30. τῶν παρ' οἷς scr. *. παρ' οἷς. ς. 365, 15. καλῶς abesse velit Cobet (Mn. VI, 373).

3. IN EUSEBIUM ADVERSUS HIEROCLEM.

369, 7. fo: ἐπανίστασθαι, cf. 372, 26. *. ib. 10. ἂν τύχοι scr. *. τύχοι ς. 371, 9. τούτοιν παραπλήσιοι scr. *. τούτων π. ς. 372, 3. πρὸ μυρίων ὅσων ἐτῶν scr. πρὸ μυρίων ὅσων. ς. ib. καὶ incl. *. 373, 21. τῆς αὐτῆς scr. αὐτῆς. ς. ib. 24. συγκαταλέγειν scr. cf. 394, 13. καταλέγειν ς. 374, 6. θεσμοὶ scr. θεσμοὺς. ς. ib. 11. μεταθείη τις ἂν scr. *. μεταθείη. ς. ib. 14. τῶν ἐπέκεινα ἐπιβαίνειν scr. *. τῶν ἐ. βαίνειν ς. ib. ἐγκαταδύσεται scr. καταδύσεται. ς. [illegible]

ἐκ τοῦ ὕψους scr. *. *τοῦ ὕψους*. ϛ. 375, 11. *τῶν ἐπιόντων* scr. *. *τῶν ὄντων*. ϛ. ib. 23. *τῶν ἐπιτάδε* scr. *. *τῶν ἐπὶ τὰ τῇδε*. ϛ. ib. 28. add. *ἐν* *. ib. *κινήσειε δῆτ' ἂν* scr. *κινήσειε δῆτα*. ϛ. 376, 7. *τίνα* scr. *τί* ϛ. ib. 20. *καθ' ὃν χρόνον* scr. *καθ' ὃν* ϛ. ib. 25. excidit *παρειλήφαμεν*. 377. *οἷα ὄντα τοσοῦτον* scr. *. *οἷα τὸν τοσοῦτον* ϛ. 379, 5. *θεάματι* scr. *. *μαθήματι*. ϛ. 380, 5. *φοίτησιν εἰς διαλέξεις θεῶν* scr. *. *φοίτησιν θεῶν* ϛ. ib. 7. *ὡς ἀπὸ Πυθαγόρου μαθὼν* scr. *. *ὡς ὑπὸ Πυθαγόρου* ϛ. ib. 32. *περὶ τοῦ σκηπτοῦ* scr. *, olim *περὶ τοὺς σκηπτούς*. 382, 10. *ὥσπερ τι παράδοξον* incl. *. ib. 32. *ὁ τὰ κατὰ διάνοιαν* scr. *ὁ τὰ κατὰ διανοίας* Holstein, seq. o. *ὁ διάνοιαν* t. 383, 22. *εἰκὸς* add. o. ib. 32. *ἀφείλοντο* scr. *. *ἀφεῖλον*. ϛ. 385, 10. *ἐν ταῖς κεφαλαῖς* scr. *ἐπὶ τῆς κεφαλῆς* ϛ. ib. 17. *Διονύσου Λιμναίου* scr. *Διονύσου Δηλίου* ϛ. ib. 20. *φιλοσοφικῷ* scr. *. *φιλοσοφικῶς*. ϛ. ib. 22. *χρυσέοις* E. *χρυσείοις* C. 386, 9. excidisse videtur *τοὺς πρότερον*. 387. *Ἡλίῳ*. π. *τῷ Ἡλίῳ* ϛ (t). ib. 18. requiritur *φθονοῦντα*. ib. 22. *ἐς τὴν φιάλην*. scr. *. *τὴν φιάλην*. ϛ. ib. 24. *καὶ ἐπεδίδου*. scr. *ἐπεδίδου*. ϛ. ib. 32. incl. *ἑκάστου*. 388, 4. fo: *καὶ τῶν Πυγμαίων καὶ μακροκεφάλων*. ib. 20. *παραδόξως δὴ ἱερὰν ἐς ἐσθῆτα* scr. *. *π. δι' ἐρέας ἐς ἐ.* C. (t). *π. δι' ἱερέας ἐς ἐ.* E. 390, 19. *λοιμοῦ ἐν Ἐφέσῳ* scr. *. *λοιμοῦ* ϛ. ib. 25. *τρίτον δ' αὐτοῦ θαῦμα* scr. *. *τ. δ' αὐτῷ θ.* ϛ. ib. 32. *ἂν* incl. *. 391, 23. *πῶς οὐκ ἂν* scr. *. *οὐκ ἄν*. ϛ. 392, 9. *καὶ σπουδῆς* scr. *. *τὰ σπουδῆς* ϛ. ib. 11. *εἰ ἀφίκετο* scr. *εἰ ἀφίκοιτο*. ϛ. 393, 23. *πολλῆς ἂν* scr. *πολλῆς* ϛ. 394, 15. *λέγων* scr. *. *λέγειν* ϛ. ib. 16. *γράφει καὶ ὡς Ἀθ.* coniunxi, antea post *γράφει* plena fuit interpunctio. ib. 18. fo: *μυῆσαι*. 395, 13. *σοφίζεσθαι δὴ τὰ* scr. *σοφ. τὰ δὴ* ϛ. 396, 6. *διεξηγήμασι* scr. *. *διηγήμασι*. ϛ. 398, 4. *τῆς* incl. *. ib. *εἰ γὰρ οὖν*. p. *εἰ γάρ*. ϛ (t). *παρ' αὐτοῖς πάσῃ φιλοσοφίᾳ* scr. *παρὰ τοῖς πάσῃ φιλ.* ϛ. ib. 32. *οὐδὲ περιέργον ἂν δόξειεν* scr. *οὐκ ἀπερίεργον δόξειεν*. ϛ. 399, 28. *εἴγ' ἔμπνους* scr. *εἴτ' ἔμπνους*. ϛ. 401, 11. *εἶτα* incl. 402, 13. excidit *φησὶ*. ib. 32. *ἵ δή μοι δ.* scr. *ὅθεν μοι δ.* ϛ. 403, 6. *ἐλευθέριον* scr. *ἐλεύθερον*. ϛ. 404, 4. fo: *παρασχών*. 405, 1. *ἀναβιῴη* scr. *ἀναβιῶναι* ϛ. ib. 6. *δ'*

incl. ib. 15. ὑπ' αὐτῶν scr. ἀπ' αὐτῶν. ς. 406, 3. τῆς μέθης scr. *. antea τῆς λήθης (t). τῆς ἀληθείας. ς. cf. 411, 22. ib. 406, 12. καὶ ὡς. scr. καὶ. ς. ib. 22. ἁπάσης ἂν scr. ἁπάσης. ς. 407, 1. καὶ γόητας. delevi uncos. ib. 20. τί τοιοῦτον scr. poteram etiam τί τηλικοῦτον. τηλικοῦτον ς. 408, 2. ἐν Λίνδῳ παρελθόντα scr. ἐν Λίνδῳ ς. ib. 8. fo: τινα βοὴν ᾀδουσῶν secundum 342, 21. ib. 10. φήσας ἐπελθεῖν πλείστην. scr. *. (olim πλείστην ἑαυτὸν ἐπελθεῖν.) ἑαυτὸν ἐπελθόντος ς. ib. 30. τίς αἱρεῖ λόγος. scr. τίς αἱροῖτο λόγος. ς. 409, 14. καὶ ἔμπαλιν. scr. ὡς ἔμπαλιν ς. 410, 14. εἰ πέπρωτο scr. πέρωτο. ς. ib. 21. σὲ αὐτὸν scr. *. σεαυτὸν ς. 411, 17. ἀποδεδειγμένων scr. ἀναδεδειγμένων. ς. 412, 14. τῷ scr. *. τῶν ς. ib. 15. interpunxi post οὗτος.

CORRIGENDA.

16, 32 ἐπεὶ. 37, 2 τι et 3 φέροιτο, 45, 14 αὑτόν, 89, 15 ἀναιδὲς, 120, 4 λίθον, 167, 13 ἔννουν, 209, 25 ἐς, 260, 15 Δικαιαρχίαν, 330, 8 Δημήτριε, 343, 25 ἦ, 356, 1 κρείττονος. 377, 5 ὑφηγητήν. Commatis signum adde 33, 18; 67, 18; 92, 11; 244, 18; 293, 12; dele 39, 13; 76, 20; 210, 14; 304, 27; 346, 7. pone; (pro,) 212, 10, 262, 7. Elapsus est acc. ~ 36, 4; elapsa litera η in μὴ 145, 28; ἅ in ἄρτι 224, 26.

ΦΙΛΟΣΤΡΑΤΟΥ

ΤΑ ΕΣ ΤΟΝ ΤΥΑΝΕΑ ΑΠΟΛΛΩΝΙΟΝ.

Α΄.

Ol. K.

1 Οἱ τὸν Σάμιον Πυθαγόραν ἐπαινοῦντες τάδε I
ἐπ᾽ αὐτῷ φασιν· ὡς Ἴων μὲν οὔπω εἴη, γένοιτο δὲ
ἐν Τροίᾳ ποτὲ Εὔφορβος, ἀναβιοίη τε ἀποθανών,
ἀποθάνοι δέ, ὡς ᾠδαὶ Ὁμήρου, ἐσθῆτά τε τὴν ἀπὸ
θνησειδίων παραιτοῖτο καὶ καθαρεύοι βρώσεως, ὁπόση
ἐμψύχων, καὶ θυσίας· μὴ γὰρ αἱμάττειν τοὺς βω-
μούς, ἀλλὰ ἡ μελιττοῦτα καὶ ὁ λιβανωτὸς καὶ τὸ ἐφυ-
2 μνῆσαι, φοιτᾶν ταῦτα τοῖς θεοῖς παρὰ τοῦ ἀνδρὸς
τούτου, γιγνώσκειν τε, ὡς ἀσπάζοιντο τὰ τοιαῦτα οἱ
θεοὶ μᾶλλον ἢ τὰς ἑκατόμβας καὶ τὴν μάχαιραν ἐπὶ
τοῦ κανοῦ· ξυνεῖναι γὰρ δὴ τοῖς θεοῖς καὶ μανθά-
νειν παρ᾽ αὐτῶν, ὅπη τοῖς ἀνθρώποις χαίρουσι καὶ
ὅπη ἄχθονται, περί τε φύσεως ἐκεῖθεν λέγειν· τοὺς
μὲν γὰρ ἄλλους τεκμαίρεσθαι τοῦ θείου καὶ δόξας
ἀνομοίους ἀλλήλαις περὶ αὐτοῦ δοξάζειν, ἑαυτῷ δὲ
τόν τε Ἀπόλλω ἥκειν ὁμολογοῦντα, ὡς αὐτὸς εἴη,
ξυνεῖναι δὲ καὶ μὴ ὁμολογοῦντας τὴν Ἀθηνᾶν καὶ
τὰς Μούσας καὶ θεοὺς ἑτέρους, ὧν τὰ εἴδη καὶ τὰ
ὀνόματα οὔπω τοὺς ἀνθρώπους γιγνώσκειν.

τι ἀποφήναιτο ὁ Πυθαγόρας, νόμον τοῦτο οἱ ὁμιληταὶ ἡγοῦντο καὶ ἐτίμων αὐτὸν ὡς ἐκ Διὸς ἥκοντα, καὶ ἡ σιωπὴ δὲ ὑπὲρ τοῦ θείου σφίσιν ἐπήσκητο· πολλὰ γὰρ θεῖά τε καὶ ἀπόρρητα ἤκουον, ὧν κρατεῖν χαλεπὸν ἦν μὴ πρῶτον μαθοῦσιν, ὅτι καὶ τὸ σιωπᾶν λόγος. καὶ μὴν καὶ τὸν Ἀκραγαντῖνον Ἐμπεδοκλέα βαδίσαι φασὶ τὴν σοφίαν ταύτην. τὸ γὰρ

χαίρετ᾽, ἐγὼ δ᾽ ὔμμιν θεὸς ἄμβροτος, οὐκέτι θνητός
καὶ 3
ἤδη γάρ ποτ᾽ ἐγὼ γενόμην κόρη τε κόρος τε

2 καὶ ὁ ἐν Ὀλυμπίᾳ βοῦς, ὃν λέγεται πέμμα ποιησάμενος θῦσαι, τὰ Πυθαγόρου ἐπαινοῦντος εἴη ἄν. καὶ πλείω ἕτερα περὶ τῶν τὸν Πυθαγόρου τρόπον φιλοσοφησάντων ἱστοροῦσιν, ὧν οὐ προσήκει με νῦν ἅπτεσθαι σπεύδοντα ἐπὶ τὸν λόγον, ὃν ἀποτελέσαι
II προὐθέμην· ἀδελφὰ γὰρ τούτοις ἐπιτηδεύσαντα Ἀπολλώνιον καὶ θειότερον ἢ ὁ Πυθαγόρας τῇ σοφίᾳ προσελθόντα τυραννίδων τε ὑπεράραντα καὶ γενόμενον κατὰ χρόνους οὔτ᾽ ἀρχαίους οὔτ᾽ αὖ νέους οὔπω οἱ ἄνθρωποι γιγνώσκουσιν ἀπὸ τῆς ἀληθινῆς σοφίας, ἣν φιλοσόφως τε καὶ ὑγιῶς ἐπήσκησεν, ἀλλ᾽ ὁ μὲν τό, ὁ δὲ τὸ ἐπαινεῖ τοῦ ἀνδρός, οἱ δέ, ἐπειδὴ μάγοις Βαβυλωνίων καὶ Ἰνδῶν Βραχμᾶσι καὶ τοῖς ἐν Αἰγύπτῳ Γυμνοῖς συνεγένετο, μάγον ἡγοῦνται αὐτὸν καὶ διαβάλλουσιν ὡς βιαίως σοφόν, κακῶς γιγνώσκοντες· Ἐμπεδοκλῆς τε γὰρ καὶ Πυθαγόρας αὐτὸς καὶ Δημόκριτος ὁμιλήσαντες μάγοις καὶ πολλὰ δαιμόνια εἰπόντες οὔπω ὑπήχθησαν τῇ τέχνῃ, Πλάτων τε βαδίσας ἐς Αἴγυπτον καὶ πολλὰ τῶν ἐκεῖ προ- 4
φητῶν τε καὶ ἱερέων ἐγκαταμίξας τοῖς ἑαυτοῦ λόγοις καὶ καθάπερ ζωγράφος ἐσκιαγραφημένοις ἐπιβαλὼν χρώματα οὔπω μαγεύειν ἔδοξε καίτοι πλεῖστα ἀν-

θρώπων φθονηθεὶς ἐπὶ σοφίᾳ. οὐδὲ γὰρ τὸ προαισθέσθαι πολλὰ καὶ προγνῶναι διαβάλλοι ἂν τὸν Ἀπολλώνιον ἐς τὴν σοφίαν ταύτην, ἢ διαβεβλήσεταί γε καὶ Σωκράτης ἐφ᾽ οἷς παρὰ τοῦ δαιμονίου προεγίγνωσκε καὶ Ἀναξαγόρας ἐφ᾽ οἷς προὔλεγε· καίτοι τίς οὐκ οἶδε τὸν Ἀναξαγόραν Ὀλυμπίασι μέν, ὁπότε ἥκιστα ὗε, παρελθόντα ὑπὸ κωδίῳ ἐς τὸ στάδιον ἐπὶ προρρήσει ὄμβρου οἰκίαν τε, ὡς πεσεῖται, προειπόντα μὴ ψεύσασθαι, πεσεῖν γάρ, νύκτα τε ὡς ἐξ ἡμέρας ἔσται καὶ ὡς λίθοι περὶ Αἰγὸς ποταμοὺς τοῦ οὐρανοῦ ἐκδοθήσονται, προαναφωνήσαντα ἀληθεῦσαι; καὶ σοφίᾳ ταῦτα τοῦ Ἀναξαγόρου προστιθέντες ἀφαιροῦνται τὸν Ἀπολλώνιον τὸ κατὰ σοφίαν προγιγνώσκειν καί φασιν, ὡς μάγῳ τέχνῃ ταῦτ᾽ ἔπραττεν. δοκεῖ οὖν μοι μὴ περιιδεῖν τὴν τῶν πολλῶν ἄγνοιαν, ἀλλ᾽ ἐξακριβῶσαι τὸν ἄνδρα τοῖς τε χρόνοις, καθ᾽ οὓς εἶπέ τι ἢ ἔπραξε, τοῖς τε τῆς σοφίας τρόποις, ὑφ᾽ ὧν ἔψαυσε τοῦ δαιμόνιός τε καὶ θεῖος νομισθῆναι. ξυνείλεκται δέ μοι τὰ μὲν ἐκ πόλεων, ὁπόσαι αὐτοῦ ἤρων, τὰ δὲ ἐξ ἱερῶν, ὁπόσα ὑπ᾽ αὐτοῦ ἐπανήχθη παραλελυμένα τοὺς θεσμοὺς ἤδη, τὰ δὲ ἐξ ὧν εἶπον ἕτεροι περὶ αὐτοῦ, τὰ δὲ ἐκ τῶν ἐκείνου ἐπιστολῶν. ἐπέστελλε δὲ βασιλεῦσι σοφισταῖς
5 φιλοσόφοις Ἠλείοις Δελφοῖς Ἰνδοῖς Αἰγυπτίοις ὑπὲρ θεῶν ὑπὲρ ἐθῶν ὑπὲρ ἠθῶν ὑπὲρ νόμων, παρ᾽ οἷς ὅ τι ἁμαρτάνοιτο, ἐπηνώρθου. τὰ δὲ ἀκριβέστερα ὧδε συνελεξάμην·
II ἐγένετο Δάμις ἀνὴρ οὐκ ἄσοφος τὴν ἀρχαίαν ποτὲ οἰκῶν Νῖνον· οὗτος τῷ Ἀπολλωνίῳ προσφιλοσοφήσας ἀποδημίας τε αὐτοῦ ἀναγέγραφεν, ὧν κοινωνῆσαι καὶ αὐτός φησι, καὶ γνώμας καὶ λόγους καὶ ὁπόσα ἐς πρόγνωσιν εἶπε. καὶ προσήκων τις τῷ Δάμιδι τὰς δέλτους τῶν ὑπομνη-

μάτων τούτων οὔπω γιγνωσκομένας ἐς γνῶσιν ἤγαγεν Ἰουλίᾳ τῇ βασιλίδι. μετέχοντι δέ μοι τοῦ περὶ αὐτὴν κύκλου — καὶ γὰρ τοὺς ῥητορικοὺς πάντας λόγους ἐπῄνει καὶ ἠσπάζετο — μεταγράψαι τε προσέταξε τὰς διατριβὰς ταύτας καὶ τῆς ἀπαγγελίας αὐτῶν ἐπιμεληθῆναι, τῷ γὰρ Νινίῳ σαφῶς μέν, οὐ μὴν δεξιῶς γε ἀπηγγέλλετο. ἐνέτυχον δὲ καὶ Μαξίμου τοῦ Αἰγιέως βιβλίῳ ξυνειληφότι τὰ ἐν Αἰγαῖς Ἀπολλωνίου πάντα, καὶ διαθῆκαι δὲ τῷ Ἀπολλωνίῳ γεγράφαται, παρ' ὧν ὑπάρχει μαθεῖν, ὡς ὑποθειάζων τὴν φιλοσοφίαν ἐγένετο. οὐ γὰρ Μοιραγένει γε 6 προσεκτέον βιβλία μὲν ξυνθέντι ἐς Ἀπολλώνιον τέτταρα, πολλὰ δὲ τῶν περὶ τὸν ἄνδρα ἀγνοήσαντι. ὡς μὲν οὖν ξυνήγαγον ταῦτα διεσπασμένα καὶ ὡς ἐπεμελήθην τοῦ ξυνθεῖναι αὐτά, εἴρηκα, ἐχέτω δὲ ὁ λόγος τῷ τε ἀνδρὶ τιμήν, ἐς ὃν ξυγγέγραπται, τοῖς τε φιλομαθεστέροις ὠφέλειαν· ἦ γὰρ ἂν μάθοιεν, ἃ μήπω γιγνώσκουσιν.

IV Ἀπολλωνίῳ τοίνυν πατρὶς μὲν ἦν Τύανα πόλις Ἑλλὰς ἐν τῷ Καππαδοκῶν ἔθνει, πατὴρ δὲ ὁμώνυμος, γένος ἀρχαῖον καὶ τῶν οἰκιστῶν ἀνημμένον, πλοῦτος ὑπὲρ τοὺς ἐκεῖ, τὸ δὲ ἔθνος βαθύ. κυούσῃ δὲ αὐτὸν τῇ μητρὶ φάσμα ἦλθεν Αἰγυπτίου δαίμονος ὁ Πρωτεὺς ὁ παρὰ τῷ Ὁμήρῳ ἐξαλλάττων· ἡ δὲ οὐδὲν δείσασα ἤρετο αὐτόν, τί ἀποκυήσοι· ὁ δὲ „ἐμέ“ εἶπε. „σὺ δὲ τίς;“ εἰπούσης „Πρωτεὺς“ ἔφη „ὁ Αἰγύπτιος θεός“. ὅστις μὲν δὴ τὴν σοφίαν ὁ Πρωτεὺς ἐγένετο, τί ἂν ἐξηγοίμην τοῖς γε ἀκούουσι τῶν ποιητῶν, ὡς ποικίλος τε ἦν καὶ ἄλλοτε ἄλλος καὶ κρείττων τοῦ ἁλῶναι, γιγνώσκειν τε ὡς ἐδόκει καὶ προγιγνώσκειν πάντα; καὶ μεμνῆσθαι χρὴ τοῦ Πρωτέως, μάλιστα ἐπειδὰν προϊὼν ὁ λόγος δεικνύῃ τὸν

ἄνδρα πλείω μὲν ἢ ὁ Πρωτεὺς προγνόντα, πολλῶν
δὲ ἀπόρων τε καὶ ἀμηχάνων κρείττω γενόμενον ἐν
αὐτῷ μάλιστα τῷ ἀπειλῆφθαι. τεχθῆναι δὲ ἐν λει- V
μῶνι λέγεται, πρὸς ᾧ νῦν τὸ ἱερὸν αὐτῷ ἐκπεπόνη-
ται. καὶ μηδὲ ὁ τρόπος ἀγνοείσθω, ὃν ἀπετέχθη·
ἀγούσῃ γὰρ τῇ μητρὶ τόκου ὥραν ὄναρ ἐγένετο βα-
7 δίσαι ἐς τὸν λειμῶνα καὶ ἄνθη κεῖραι, καὶ δῆτα ἀφι-
κομένη αἱ μὲν δμωαὶ προσεῖχον τοῖς ἄνθεσιν ἐσκε-
δασμέναι κατὰ τὸν λειμῶνα, αὐτὴ δὲ ἐς ὕπνον
ἀπήχθη κλιθεῖσα ἐν τῇ πόᾳ. κύκνοι τοίνυν, οὓς ὁ
λειμὼν ἔβοσκε, χορὸν ἐστήσαντο περὶ αὐτὴν καθεύ-
δουσαν, καὶ τὰς πτέρυγας, ὥσπερ εἰώθασιν, ἄραντες
ἀθρόον ἤχησαν, καὶ γάρ τι καὶ ζεφύρου ἦν ἐν τῷ
λειμῶνι, ἡ δὲ ἐξέθορέ τε ὑπὸ τῆς ᾠδῆς καὶ ἀπέτε-
κεν, ἱκανὴ δὲ πᾶσα ἔκπληξις μαιεύσασθαι καὶ πρὸ
τῆς ὥρας. οἱ δὲ ἐγχώριοί φασιν, ὡς ὁμοῦ τε τίκτοιτο
καὶ σκηπτὸς ἐν τῇ γῇ πεσεῖσθαι δοκῶν ἐμμετεωρι-
σθείη τῷ αἰθέρι καὶ ἀφανισθείη ἄνω, τό, οἶμαι, ἐκ-
φανὲς καὶ ὑπὲρ πάντα τὰ ἐν τῇ γῇ καὶ τὸ ἀγχοῦ
θεῶν καὶ ὁπόσα ὅδε ὁ ἀνὴρ ἐγένετο, φαίνοντες οἱ
θεοὶ καὶ προσημαίνοντες. ἔστι δέ τι περὶ Τύανα VI
ὕδωρ Ὁρκίου Διός, ὥς φασι, καλοῦσι δὲ αὐτὸ Ἀσβα-
μαῖον, οὗ πηγὴ ἀναδίδοται ψυχρά, παφλάζει δέ,
ὥσπερ ὁ θερμαινόμενος λέβης. τοῦτο εὐόρκοις μὲν
ἵλεών τε καὶ ἡδὺ ὕδωρ, ἐπιόρκοις δὲ παρὰ πόδας ἡ 4
δίκη· ἀποσκήπτει γὰρ καὶ ἐς ὀφθαλμοὺς καὶ ἐς χεῖ-
ρας καὶ ἐς πόδας, καὶ ὑδέροις ἁλίσκονται καὶ φθόαις,
καὶ οὐδ' ἀπελθεῖν δυνατόν, ἀλλ' αὐτόθι ἔχονται
καὶ ὀλοφύρονται πρὸς τῷ ὕδατι ὁμολογοῦντες ἃ ἐπι-
ώρκησαν· οἱ μὲν δὴ ἐγχώριοί φασι παῖδα τοῦ Διὸς
τὸν Ἀπολλώνιον γεγονέναι, ὁ δ' ἀνὴρ Ἀπολλωνίου
ἑαυτὸν καλεῖ.

VII Προϊὼν δὲ ἐς ἡλικίαν, ἐν ᾗ γράμματα, μνήμης τε ἰσχὺν ἐδήλου καὶ μελέτης κράτος, καὶ ἡ γλῶττα 8 Ἀττικῶς εἶχεν, οὐδ' ἀπήχθη τὴν φωνὴν ὑπὸ τοῦ ἔθνους, ὀφθαλμοί τε πάντες ἐς αὐτὸν ἐφέροντο, καὶ γὰρ περίβλεπτος ἦν τὴν ὥραν. γεγονότα δὲ αὐτὸν ἔτη τεσσαρεσκαίδεκα ἄγει ἐς Ταρσοὺς ὁ πατὴρ παρ' Εὐθύδημον τὸν ἐκ Φοινίκης. ὁ δὲ Εὐθύδημος ῥήτωρ τε ἀγαθὸς ἦν καὶ ἐπαίδευε τοῦτον, ὁ δὲ τοῦ μὲν διδασκάλου εἴχετο, τὸ δὲ τῆς πόλεως ἦθος ἄτοπόν τε ἡγεῖτο καὶ οὐ χρηστὸν ἐμφιλοσοφῆσαι, τρυφῆς τε γὰρ οὐδαμοῦ μᾶλλον ἅπτονται σκωπτόλαι τε καὶ ὑβρισταὶ πάντες καὶ δεδώκασι τῇ ὀθόνῃ μᾶλλον ἢ τῇ σοφίᾳ Ἀθηναῖοι, ποταμός τε αὐτοὺς διαρρεῖ Κύδνος, ᾧ παρακάθηνται, καθάπερ τῶν ὀρνίθων οἱ ὑγροί. τό τοι „παύσασθε μεθύοντες τῷ ὕδατι" Ἀπολλωνίῳ πρὸς αὐτοὺς ἐν ἐπιστολῇ εἴρηται. μεθίστησιν οὖν τὸν διδάσκαλον δεηθεὶς τοῦ πατρὸς ἐς Αἰγὰς τὰς πλησίον, ἐν αἷς ἡσυχία τε πρόσφορος τῷ φιλοσοφήσοντι καὶ σπουδαὶ νεανικώτεραι καὶ ἱερὸν Ἀσκληπιοῦ καὶ ὁ Ἀσκληπιὸς αὐτὸς ἐπίδηλος τοῖς ἀνθρώποις. ἐνταῦθα ξυνεφιλοσόφουν μὲν αὐτῷ Πλατώνειοί τε καὶ Χρυσίππειοι καὶ οἱ ἀπὸ τοῦ περιπάτου, διήκουε δὲ καὶ τῶν Ἐπικούρου λόγων, οὐδὲ γὰρ τούτους ἀπεσπούδαζε, τοὺς δέ γε Πυθαγορείους ἀρ- 9
ρήτῳ τινὶ σοφίᾳ ξυνέλαβε· διδάσκαλος μὲν γὰρ ἦν αὐτῷ τῶν Πυθαγόρου λόγων οὐ πάνυ σπουδαῖος, οὐδὲ ἐνεργῷ τῇ φιλοσοφίᾳ χρώμενος, γαστρός τε γὰρ ἥττων ἦν καὶ ἀφροδισίων καὶ κατὰ τὸν Ἐπίκουρον ἐσχημάτιστο· ἦν δὲ οὗτος Εὔξενος ὁ ἐξ Ἡρακλείας τοῦ Πόντου, τὰς δὲ Πυθαγόρου δόξας ἐγίγνωσκεν, ὥσπερ οἱ ὄρνιθες ἃ μανθάνουσι παρὰ τῶν ἀνθρώπων, τὸ γὰρ „χαῖρε" καὶ τὸ „εὖ πρᾶττε" καὶ τὸ

„Ζεὺς ἵλεως“ καὶ τὰ τοιαῦτα οἱ ὄρνιθες εὔχονται οὔτε εἰδότες ὅ τι λέγουσιν οὔτε διακείμενοι πρὸς τοὺς ἀνθρώπους, ἀλλὰ ἐρρυθμισμένοι τὴν γλῶτταν· ὁ δέ, ὥσπερ οἱ νέοι τῶν ἀετῶν ἐν ἁπαλῷ μὲν τῷ πτερῷ παραπέτονται τοῖς γειναμένοις αὐτοὺς μελετώμενοι ὑπ᾽ αὐτῶν τὴν πτῆσιν, ἐπειδὰν δὲ αἴρεσθαι δυνηθῶσιν, ὑπερπέτονται τοὺς γονέας ἄλλως τε κἂν λίχνους αἴσθωνται καὶ κνίσης ἕνεκα πρὸς τῇ γῇ πετομένους, οὕτω καὶ ὁ Ἀπολλώνιος προσεῖχέ τε τῷ Εὐξένῳ παῖς ἔτι καὶ ἤγετο ὑπ᾽ αὐτοῦ βαίνων ἐπὶ τοῦ λόγου, προελθὼν δὲ ἐς ἔτος δέκατον καὶ ἕκτον ὥρμησεν ἐπὶ τὸν τοῦ Πυθαγόρου βίον, πτερωθεὶς ἐπ᾽ αὐτὸν ὑπό τινος κρείττονος. οὐ μὴν τόν γε Εὔξενον ἐπαύσατο ἀγαπῶν, ἀλλ᾽ ἐξαιτήσας αὐτῷ προάστειον παρὰ τοῦ πατρός, ἐν ᾧ κῆποί τε ἁπαλοὶ ἦσαν καὶ πηγαί, „σὺ μὲν ζῆθι τὸν σεαυτοῦ τρόπον“ ἔφη „ἐγὼ δὲ τὸν Πυθαγόρου ζήσομαι“. ἡγουμένου VIII
δὲ αὐτὸν τοῦ Εὐξένου μεγάλης διανοίας ἅπτεσθαι καὶ ἐρομένου, ὁπόθεν ἄρξοιτο „ὅθεν περ οἱ ἰατροί“, ἔφη „καὶ γὰρ ἐκεῖνοι καθαίροντες τὰς γαστέρας τοὺς μὲν οὐδὲ νοσεῖν ἐῶσι, τοὺς δὲ ἰῶνται.“ καὶ εἰπὼν τοῦτο τὰς μὲν ἐμψύχους βρώσεις ὡς οὔτε καθαρὰς καὶ τὸν νοῦν παχυνούσας παρῃτήσατο, τραγήματα δὲ καὶ λάχανα ἐσιτεῖτο, καθαρὰ εἶναι φάσκων, ὁπόσα ἡ γῆ αὐτὴ δίδωσι, καὶ τὸν οἶνον καθαρὸν μὲν ἔφασκεν εἶναι πῶμα ἐκ φυτοῦ οὕτως ἡμέρου τοῖς ἀνθρώποις ἥκοντα, ἐναντιοῦσθαι δὲ τῇ τοῦ νοῦ συστάσει διαθολοῦντα τὸν ἐν τῇ ψυχῇ αἰθέρα. μετὰ δὲ τὴν κάθαρσιν τῆς γαστρὸς τοιαύτην γενομένην ἀνυποδησίαν τε ποιεῖται κόσμημα καὶ λίνου ἐσθῆτα ἀμπίσχεται παραιτησάμενος τὴν ἀπὸ τῶν ζῴων, ἀνῆκέ τε τὴν κόμην καὶ ἐν τῷ ἱερῷ ἔζη. ἐκπεπληγμένων

δὲ αὐτὸν τῶν περὶ τὸ ἱερὸν καὶ τοῦ Ἀσκληπιοῦ ποτε πρὸς τὸν ἱερέα φήσαντος, ὡς χαίροι θεραπεύων τοὺς νοσοῦντας ὑπὸ Ἀπολλωνίῳ μάρτυρι, ξυνῄεσαν ἐς τὰς Αἰγὰς ἐφ' ἱστορίᾳ Κίλικές τε αὐτοὶ καὶ οἱ πέριξ, ὅ τε Κιλίκιος λόγος π ο ῖ τ ρ έ χ ε ι ς; ἦ ἐ π ὶ τ ὸ ν ἔ φ η β ο ν; ἐπ' ἐκείνῳ τε ἐλέγετο καὶ παροιμιώδη τιμὴν ἔσχεν.

IX Ἄξιον δὲ μηδὲ τὰ ἐν τῷ ἱερῷ παρελθεῖν βίον γε ἀφηγούμενον ἀνδρός, ὃς καὶ τοῖς θεοῖς ἦν ἐν λόγῳ· μειράκιον γὰρ δὴ Ἀσσύριον παρὰ τὸν Ἀσκληπιὸν ἧκον ἐτρύφα νοσοῦν καὶ ἐν πότοις ἔζη, μᾶλλον δὲ ἀπέθνησκεν· ὑδέρῳ δὲ ἄρα εἴχετο καὶ μέθῃ χαῖρον αὐχμοῦ ἠμέλει. ἠμελεῖτο δὴ ὑπὸ τοῦ Ἀσκληπιοῦ διὰ ταῦτα καὶ οὐδὲ ὄναρ αὐτῷ ἐφοίτα. ἐπιμεμφομένῳ δὲ ταῦτα ἐπιστὰς ὁ θεὸς „εἰ Ἀπολλωνίῳ“ ἔφη „διαλέγοιο, ῥᾴων ἔσῃ“. προσελθὼν οὖν τῷ Ἀπολλωνίῳ „τί ἂν“ ἔφη „τῆς σῆς σοφίας ἐγὼ ἀπολαύσαιμι; κελεύει γάρ με ὁ Ἀσκληπιὸς συνεῖναί σοι.“ „ὃ“ ἦ δ' ὅς „ἔσται σοι πρὸς τὰ παρόντα πολλοῦ ἄξιον· ὑγιείας γάρ που δέῃ;“ „νὴ Δί'“ εἶπεν „ἥν 11
γε ὁ Ἀσκληπιὸς ἐπαγγέλλεται μέν, οὐ δίδωσι δέ.“ „εὐφήμει“, ἔφη „τοῖς γὰρ βουλομένοις δίδωσι, σὺ δὲ ἐναντία τῇ νόσῳ πράττεις, τρυφῇ γὰρ διδοὺς ὀψοφαγίαν ἐπεσάγεις ὑγροῖς καὶ διεφθορόσι τοῖς σπλάγχνοις καὶ ὕδατι ἐπαντλεῖς πηλόν.“ ταυτὶ μὲν σαφέστερα, οἶμαι, τῆς Ἡρακλείτου σοφίας ἐχρησμῴδει· ὁ μὲν γὰρ δεῖσθαι ἔφη τοῦ ποιήσοντος ἐξ ἐπομβρίας αὐχμόν, ἐσελθόντος αὐτὸν τουτουὶ τοῦ πάθους, οὐκ εὐξύνετά που λέγων, οὐδὲ δῆλα, ὁ δ' ἤγαγεν ἐς ὑγίειαν τὸ μειράκιον τὰ σοφὰ σαφῶς ἑρμηνεύσας.

X ἰδὼν δὲ ἀθρόον ποτὲ ἐν τῷ βωμῷ αἷμα καὶ διακείμενα ἐπὶ τοῦ βωμοῦ τὰ ἱερὰ τεθυμένους τε βοῦς

Αἰγυπτίους καὶ σῦς μεγάλους, καὶ τὰ μὲν δέροντας αὐτούς, τὰ δὲ κόπτοντας, χρυσίδας τε ἀνακειμένας δύο καὶ λίθους ἐν αὐταῖς τῶν ἰνδικωτάτων καὶ θαυμασίων, προσελθὼν τῷ ἱερεῖ „τί ταῦτα;“ ἔφη „λαμπρῶς γάρ τις χαρίζεται τῷ θεῷ“. ὁ δὲ „θαυμάσῃ“ ἔφη „μᾶλλον, ὅτι μήτε ἱκετεύσας ποτὲ ἐνταῦθα μήτε διατρίψας, ὃν οἱ ἄλλοι χρόνον, μήτε ὑγιάνας πω παρὰ τοῦ θεοῦ, μηδ' ἅπερ αἰτήσων ἦλθεν ἔχων, χθὲς γὰρ δὴ ἀφιγμένῳ ἔοικεν, ὁ δ' οὕτως ἀφθόνως θύει. φησὶ δὲ πλείω μὲν θύσειν, πλείω δὲ ἀναθήσειν, εἰ πρόσοιτο αὐτὸν ὁ Ἀσκληπιός. ἔστι δὲ τῶν πλουσιωτάτων· κέκτηται γοῦν ἐν Κιλικίᾳ βίον πλείω 6
ἢ Κίλικες ὁμοῦ πάντες· ἱκετεύει δὲ τὸν θεὸν ἀποδοῦναί οἱ τὸν ἕτερον τῶν ὀφθαλμῶν ἐξερρυηκότα.“ ὁ δὲ Ἀπολλώνιος, ὥσπερ γεγηρακὼς εἰώθει, τοὺς ὀφθαλμοὺς ἐς τὴν γῆν στήσας „τί δὲ ὄνομα αὐτῷ;“ ἤρετο. ἐπεὶ δὲ ἤκουσε „δοκεῖ μοι,“ ἔφη „ὦ ἱερεῦ, τὸν ἄνθρωπον τοῦτον μὴ προσδέχεσθαι τῷ ἱερῷ, μιαρὸς γάρ τις ἥκει καὶ κεχρημένος οὐκ ἐπὶ χρηστοῖς τῷ πάθει, καὶ αὐτὸ δὲ τὸ πρὶν εὑρέσθαί τι παρὰ τοῦ θεοῦ πολυτελῶς θύειν οὐ θύοντός ἐστιν, ἀλλ' ἑαυτὸν παραιτουμένου σχετλίων τε καὶ χαλεπῶν ἔργων.“ ταῦτα μὲν ὁ Ἀπολλώνιος. ὁ δ' Ἀσκληπιὸς ἐπιστὰς νύκτωρ τῷ ἱερεῖ „ἀπίτω“ ἔφη „ὁ δεῖνα τὰ ἑαυτοῦ ἔχων, ἄξιος γὰρ μηδὲ τὸν ἕτερον τῶν ὀφθαλμῶν ἔχειν.“ ἀναμανθάνων οὖν ὁ ἱερεὺς τὸν ἄνθρωπον,
12 γυνὴ μὲν τῷ Κίλικι τούτῳ ἐγεγόνει θυγατέρα ἔχουσα προτέρων γάμων, ὁ δὲ ἤρα τῆς κόρης καὶ ἀκολάστως εἶχε ξυνῆν τε οὐδ' ὡς λαθεῖν· ἐπιστᾶσα γὰρ ἡ μήτηρ τῇ εὐνῇ τῆς μὲν ἄμφω, τοῦ δὲ τὸν ἕτερον τῶν
ὀφθαλμῶν ἐξέκοψεν ἐναράξασα τὰς περόνας. τό XI
γε μὴν θύοντας ἢ ἀνατιθέντας μὴ ὑπερβάλλειν τὸ

μέτριον ὧδε αὐτῷ ἐφιλοσοφεῖτο· πλειόνων γάρ ποτε ξυνεληλυθότων ἐς τὸ ἱερὸν ἄρτι ἐξεληλαμένου τοῦ Κίλικος ἤρετο τὸν ἱερέα οὑτωσί· „ἆρα“ ἔφη „οἱ θεοὶ δίκαιοι;“ „δικαιότατοι μὲν οὖν“ εἶπε. „τί δέ· ξυνετοί;“ „καὶ τί“ ἔφη „ξυνετώτερον τοῦ θείου;“ „τὰ δὲ τῶν ἀνθρώπων ἴσασιν, ἢ ἄπειροι αὐτῶν εἰσι;“ „καὶ μὴν τοῦτ'“ ἔφη „πλεονεκτοῦσι μάλιστα οἱ θεοὶ τῶν ἀνθρώπων, ὅτι οἱ μὲν ὑπ' ἀσθενείας οὐδὲ τὰ ἑαυτῶν ἴσασι, τοῖς δὲ γιγνώσκειν ὑπάρχει τὰ ἐκείνων τε καὶ τὰ αὑτῶν.“ „πάντα“ ἔφη „ἄριστα, ὦ ἱερεῦ, καὶ ἀληθέστατα. ἐπεὶ τοίνυν πάντα γιγνώσκουσι, δοκεῖ μοι τὸν ἥκοντα ἐς θεοῦ καὶ χρηστὰ ἑαυτῷ ξυνειδότα τοιάνδε εὐχὴν εὔχεσθαι· ὦ θεοί, δοίητέ μοι τὰ ὀφειλόμενα· ὀφείλεται γάρ που, ὦ ἱερεῦ, τοῖς μὲν ὁσίοις τὰ ἀγαθά, τοῖς δὲ φαύλοις τἀναντία, καὶ οἱ θεοὶ οὖν εὖ ποιοῦντες, ὃν μὲν ἂν ὑγιᾶ τε καὶ ἄτρωτον κακίας εὕρωσι, πέμπουσι δήπου στεφανώσαντες οὐ χρυσοῖς στεφάνοις, ἀλλ' ἀγαθοῖς πᾶσιν, ὃν δ' ἂν κατεστιγμένον ἴδωσι καὶ διεφθορότα, καταλείπουσι τῇ δίκῃ, τοσοῦτον αὐτοῖς ἐπιμηνίσαντες, ὅσον ἐτόλμησαν καὶ ἱερὰ ἐσφοιτᾶν μὴ καθαροὶ ὄντες.“ καὶ ἅμα ἐς τὸν Ἀσκληπιὸν βλέψας „φιλοσοφεῖς,“ ἔφη „ὦ Ἀσκληπιέ, τὴν ἄρρητόν τε καὶ συγγενῆ σαυτῷ φιλοσοφίαν μὴ συγχωρῶν τοῖς φαύλοις δεῦρο ἥκειν, μηδ' ἂν πάντα σοι τὰ ἀπὸ Ἰνδῶν καὶ Σαρδῴων ξυμφέρωσιν· οὐ γὰρ τιμῶντες τὸ θεῖον 13
θύουσι ταῦτα καὶ ἀνάπτουσιν, ἀλλ' ὠνούμενοι τὴν δίκην, ἣν οὐ ξυγχωρεῖτε αὐτοῖς δικαιότατοι ὄντες.“ πολλὰ τοιαῦτα ἐν τῷ ἱερῷ ἐφιλοσόφει ἐν ἐφήβῳ ἔτι.

XII κἀκεῖνα τῆς ἐν Αἰγαῖς διατριβῆς· Κιλίκων ἦρχεν ὑβριστὴς ἄνθρωπος καὶ κακὸς τὰ ἐρωτικά· ἐς τοῦτον ἦλθε λόγος τῆς τοῦ Ἀπολλωνίου ὥρας, ὁ δὲ

ἐρρῶσθαι φράσας οἷς ἔπραττεν, ἐν Ταρσοῖς δὲ ἄρα
ἀγορὰν ἦγεν, ἐξωρμήθη ἐς τὰς Αἰγὰς νοσεῖν τε ἑαυ-
τὸν φήσας καὶ τοῦ Ἀσκληπιοῦ δεῖσθαι, καὶ προσελ-
θὼν τῷ Ἀπολλωνίῳ βαδίζοντι ἰδίᾳ „σύστησόν με“
ἔφη „τῷ θεῷ“. ὁ δὲ ὑπολαβὼν „καὶ τί σοι δεῖ τοῦ
συστήσοντος“, εἶπεν „εἰ χρηστὸς εἶ; τοὺς γὰρ σπου-
δαίους οἱ θεοὶ καὶ ἄνευ τῶν προξενούντων ἀσπά-
ζονται.“ „ὅτι νὴ Δί᾽,“ ἔφη „Ἀπολλώνιε, σὲ μὲν ὁ
θεὸς πεποίηται ξένον, ἐμὲ δὲ οὔπω“. „ἀλλὰ κἀμοῦ“
ἔφη „καλοκαγαθία προὐξένησεν, ᾗ χρώμενος, ὡς
δυνατὸν νέῳ, θεράπων τέ εἰμι τοῦ Ἀσκληπιοῦ καὶ
ἑταῖρος· εἰ δὲ καὶ σοὶ καλοκαγαθίας μέλει, χώρει
θαρρῶν παρὰ τὸν θεὸν καὶ εὔχου, ὅ τι ἐθέλεις.“
„νὴ Δί᾽,“ „εἶπεν „ἣν σοί γε προτέρῳ εὔξωμαι.“
„καὶ τί“ ἔφη „ἐμοὶ εὔξῃ;“ „ὃ“ ἦ δ᾽ ὅς „εὔχεσθαι
δεῖ τοῖς καλοῖς· εὐχόμεθα δὲ αὐτοῖς κοινωνεῖν τοῦ
κάλλους καὶ μὴ φθονεῖν τῆς ὥρας.“ ἔλεγε δὲ ταῦτα 7
ὑποθρύπτων ἑαυτὸν καὶ τοὺς ὀφθαλμοὺς ὑγραίνων
14 καὶ τί γὰρ οὐχ ἑλίττων τῶν οὕτως ἀσελγῶν τε καὶ
ἐπιρρήτων; ὁ δὲ ταυρηδὸν ὑποβλέψας αὐτὸν „μαίνῃ“,
ἔφη „ὦ κάθαρμα.“ τοῦ δ᾽ οὐ μόνον πρὸς ὀργὴν
ταῦτα ἀκούσαντος, ἀλλὰ καὶ ἀπειλήσαντος, ὡς ἀπο-
κόψοι αὐτοῦ τὴν κεφαλήν, καταγελάσας ὁ Ἀπολλώ-
νιος „ὦ ἡ δεῖνα ἡμέρα“ ἀνεβόησε· τρίτη δὲ ἄρα ἦν
ἀπ᾽ ἐκείνης, ἐν ᾗ δήμιοι κατὰ τὴν ὁδὸν ἀπέκτειναν
τὸν ὑβριστὴν ἐκεῖνον, ὡς ξὺν Ἀρχελάῳ τῷ Καππα-
δοκίας βασιλεῖ νεώτερα ἐπὶ Ῥωμαίους πράττοντα.
ταῦτα καὶ πολλὰ τοιαῦτα Μαξίμῳ τῷ Αἰγιεῖ ξυγγέ-
γραπται, ἠξιώθη δὲ καὶ βασιλείων ἐπιστολῶν οὗτος
εὐδοκιμῶν τὴν φωνήν.

Ἐπεὶ δὲ τεθνεῶτα τὸν πατέρα ἤκουσεν, ἔδραμεν
ἐς τὰ Τύανα, κἀκεῖνον μὲν ταῖς ἑαυτοῦ χερσὶν ἔθαψε

πρὸς τῷ τῆς μητρὸς σήματι, ἐτεθνήκει δὲ κἀκείνη οὐ πάλαι, τὴν δὲ οὐσίαν λαμπρὰν οὖσαν διέλαχε πρὸς τὸν ἀδελφὸν ἀκόλαστόν τε καὶ φιλοπότην ὄντα. καὶ τῷ μὲν τρίτον τε καὶ εἰκοστὸν ἦν ἔτος καὶ ἡλικία οἵα μὴ ἐπιτροπεύεσθαι, ὁ δ' αὖ εἴκοσι γεγόνει καὶ οἱ νόμοι αὐτὸν ὑπεῖχον τοῖς ἐπιτρόποις. διατρίψας οὖν ἐν Αἰγαῖς πάλιν καὶ τὸ ἱερὸν Λύκειόν τε ἀποφήνας καὶ Ἀκαδημίαν, φιλοσοφίας γὰρ ἠχὼ πάσης ἐν αὐτῷ ἦν, ἐπανῆλθεν ἐς τὰ Τύανα ἀνὴρ ἤδη καὶ κύριος τῶν ἑαυτοῦ, εἰπόντος δὲ πρὸς αὐτόν τινος, ὡς σωφρονίσαι τὸν ἀδελφὸν προσήκοι αὐτῷ καὶ μεταβαλεῖν τοῦ τρόπου, „τουτὶ μὲν θρασὺ“ ἔφη „δόξει, πρεσβύτερον γὰρ νέος πῶς ἂν σωφρονίζοιμι; ὡς δέ μοι δυνατόν, ἰάσομαι αὐτὸν τουτωνὶ τῶν παθῶν·“ δίδωσι δὴ αὐτῷ τὴν ἡμίσειαν τῆς ἑαυτοῦ μοίρας, τὸν μὲν πλειόνων δεῖσθαι φήσας, ἑαυτὸν δὲ ὀλίγων, ἐφιστὰς δὲ αὐτὸν καὶ σοφῶς ὑπαγόμενος ἐς τὸ σωφρονίζοντι πείθεσθαι „ὁ μὲν πατὴρ“ ἔφη „μεθέστηκεν, ὃς ἐπαίδευέ τε ἡμᾶς καὶ ἐνουθέτει, λοιπὸς δὲ σὺ ἐμοὶ καὶ σοὶ δήπου ἐγώ· εἴτ' οὖν ἐγώ τι ἁμαρτάνοιμι, σύμβουλος γίγνου καὶ ἰῶ τἀμά, εἴτ' αὐτός τι ἁμαρτάνοις, ἀνέχου διδάσκοντος.“ κἀκεῖνον μέν, ὥσπερ οἱ καταψῶντες τοὺς δυσηνίους τε καὶ μὴ εὐαγώγους τῶν ἵππων, ἐς πειθὼ ἤγαγε καὶ μετερρύθμισε τῶν ἁμαρτημάτων πολλῶν ὄντων, καὶ γὰρ κύβων ἥττητο καὶ οἴνου καὶ ἐφ' ἑταίρας ἐκώμαζεν ἐπαιρούσης αὐτὸν κόμης, ἣν καὶ βαφαῖς ἤσκει, σοβῶν τε καὶ ἄνω βαίνων. ἐπεὶ δὲ καὶ τὰ πρὸς τὸν ἀδελφὸν αὐτῷ εὖ εἶχεν, ἐπὶ τοὺς ἄλλους ἤδη συγγενεῖς ἐτράπετο καὶ τοὺς δεομένους σφῶν ἀνεκτήσατο τῇ λοιπῇ οὐσίᾳ μικρὰ ἑαυτῷ ὑπολιπόμενος, ὅτε δὴ τὸν μὲν Κλαζομένιον Ἀναξαγόραν ἀγέλαις τε καὶ

μήλοις τὰ ἑαυτοῦ ἀνέντα προβάτοις ἔφη μᾶλλον ἢ
ἀνθρώποις φιλοσοφῆσαι, τὸν δὲ Θηβαῖον Κράτητα
καταποντώσαντα τὴν οὐσίαν οὔτε ἀνθρώποις γενέ-
σθαι ἐπιτήδειον οὔτε προβάτοις. εὐδοκιμήσαντος δὲ
τοῦ Πυθαγόρου ἐπὶ τῷ λόγῳ, ὃν ἔλεγε περὶ τοῦ μὴ
δεῖν παρ' ἄλλην ἰέναι γυναῖκα ἢ τὴν ἑαυτοῦ, τουτὶ
μὲν ἑτέροις ἔφη ὑπὸ Πυθαγόρου προειρῆσθαι, αὐτὸς
δὲ μήτ' ἂν γῆμαι μήτ' ἂν ἐς ὁμιλίαν ἀφικέσθαι ποτὲ
16 ἀφροδισίων, ὑπερβαλλόμενος καὶ τὸ τοῦ Σοφοκλέους·
ὁ μὲν γὰρ λυττῶντα ἔφη καὶ ἄγριον δεσπότην ἀπο-
φυγεῖν ἐς γῆρας ἐλθών, ὁ δ' ὑπ' ἀρετῆς τε καὶ σω-
φροσύνης οὐδ' ἐν μειρακίῳ ἡττήθη τούτου, ἀλλὰ καὶ 8
νέος ὢν καὶ τὸ σῶμα ἐρρωμένος ἐκράτει τε καὶ λυτ-
τῶντος ἐδέσποζεν. ἀλλ' ὅμως συκοφαντοῦσί τινες
ἐπὶ ἀφροδισίοις αὐτόν, ὡς διαμαρτίᾳ ἐρωτικῇ χρη-
σάμενον καὶ διὰ τοῦτο ἀπενιαυτίσαντα ἐς τὸ Σκυ-
θῶν ἔθνος, ὃς οὔτε ἐφοίτησέ ποτε ἐς Σκύθας οὔτε
ἐς ἐρωτικὰ πάθη ἀπηνέχθη· οὔκουν οὐδὲ Εὐφράτης
ποτὲ ἐσυκοφάντησεν ἐπὶ ἀφροδισίοις τὸν ἄνδρα,
καίτοι ψευδῆ γράμματα κατ' αὐτοῦ ξυνθείς, ὡς ἐν
τοῖς περὶ Εὐφράτου λόγοις δείξομεν, διεφέρετο δὲ
πρὸς τὸν Ἀπολλώνιον, ἐπειδὴ πάνθ' ὑπὲρ χρημά-
των αὐτὸν πράττοντα ἐπέκοπτεν οὗτος καὶ ἀπῆγε
τοῦ χρηματίζεσθαί τε καὶ τὴν σοφίαν καπηλεύειν.
ἀλλὰ ταῦτα μὲν ἐς τοὺς αὐτῶν χρόνους ἀναβεβλή-
σθω μοι.

Ἐρομένου δέ ποτε τὸν Ἀπολλώνιον τοῦ Εὐξέ- XIV
νου, τί δῆτα οὐ ξυγγράφοι καίτοι γενναίως δοξάζων
καὶ ἀπαγγελίᾳ χρώμενος δοκίμῳ καὶ ἐγηγερμένῃ
„ὅτι“ ἔφη „οὔπω ἐσιώπησα.“ καὶ ἐνθένδε ἀρξάμε-
νος σιωπᾶν ᾠήθη δεῖν, καὶ τὴν μὲν φωνὴν κατεῖχεν,
οἱ δ' ὀφθαλμοὶ καὶ ὁ νοῦς πλεῖστα μὲν ἀνεγίγνωσκον,

πλεῖστα δὲ ἐς μνήμην ἀνελέγοντο· τό τοι μνημονικὸν ἑκατοντούτης γενόμενος καὶ ὑπὲρ τὸν Σιμωνίδην ἔρρωτο, καὶ ὕμνος αὐτῷ τις ἐς τὴν μνημοσύνην ᾔδετο, ἐν ᾧ πάντα μὲν ὑπὸ τοῦ χρόνου μαραίνεσθαί 17
φησιν, αὐτόν γε μὴν τὸν χρόνον ἀγήρω τε καὶ ἀθάνατον παρὰ τῆς μνημοσύνης εἶναι. οὐ μὴν ἄχαρις τά γε ἐς ξυνουσίας ἦν παρ᾽ ὃν ἐσιώπα χρόνον, ἀλλὰ πρὸς τὰ λεγόμενα καὶ οἱ ὀφθαλμοί τι ἐπεσήμαινον καὶ ἡ χεὶρ καὶ τὸ τῆς κεφαλῆς νεῦμα, οὐδὲ ἀμειδὴς ἢ σκυθρωπὸς ἐφαίνετο, τὸ γὰρ φιλέταιρόν τε καὶ τὸ εὔμενὲς εἶχε. τοῦτον ἐπιπονώτατον αὐτῷ φησι γενέσθαι τὸν βίον ὅλων πέντε ἐτῶν ἀσκηθέντα, πολλὰ μὲν γὰρ εἰπεῖν ἔχοντα μὴ εἰπεῖν, πολλὰ δὲ πρὸς ὀργὴν ἀκούσαντα μὴ ἀκοῦσαι, πολλοῖς δ᾽ ἐπιπλῆξαι προαχθέντα τέτλαθι δὴ κραδίη τε καὶ γλῶττα πρὸς ἑαυτὸν φάναι, λόγων τε προσκρουσάντων αὐτῷ
XV παρεῖναι τὰς ἐλέγξεις τότε. διέτριψέ τε τοὺς τῆς σιωπῆς χρόνους τὸν μὲν ἐν Παμφύλοις, τὸν δὲ ἐν Κιλικίᾳ, καὶ βαδίζων δι᾽ οὕτω τρυφώντων ἐθνῶν οὐδαμοῦ ἐφθέγξατο, οὐδ᾽ ὑπήχθη γρύξαι. ὁπότε μὴν στασιαζούσῃ πόλει ἐντύχοι, πολλαὶ δὲ ἐστασίαζον ὑπὲρ θεαμάτων οὐ σπουδαίων, παρελθὼν ἂν καὶ δείξας ἑαυτὸν καί τι καὶ μελλούσης ἐπιπλήξεως τῇ χειρὶ καὶ τῷ προσώπῳ ἐνδειξάμενος ἐξῄρητ᾽ ἂν ἀταξία πᾶσα καὶ ὥσπερ ἐν μυστηρίοις ἐσιώπων. καὶ τὸ μὲν τοὺς ὀρχηστῶν τε καὶ ἵππων ἕνεκα στασιάζειν ὡρμηκότας ἀνασχεῖν οὔπω μέγα, οἱ γὰρ ὑπὲρ τοιούτων ἀτακτοῦντες, ἂν πρὸς ἄνδρα ἴδωσιν, ἐρυθριῶσί τε καὶ αὑτῶν ἐπιλαμβάνονται καὶ ῥᾷστα δὴ ἐς νοῦν ἥκουσι, λιμῷ δὲ πεπιεσμένην πόλιν οὐ ῥάδιον εὐηνίῳ καὶ πιθανῷ λόγῳ μεταδιδάξαι καὶ ὀργῆς παῦσαι. ἀλλ᾽ Ἀπολλωνίῳ καὶ ἡ σιωπὴ πρὸς τοὺς οὕτω δια- 18

κειμένους ἤρκει. ἀφίκετο μὲν γὰρ ἐς Ἄσπενδον τὴν
Παμφύλων — πρὸς Εὐρυμέδοντι δὲ οἰκεῖται ποταμῷ
ἡ πόλις αὕτη, τρίτη τῶν ἐκεῖ — ὄροβοι δ᾽ ὤνιοι καὶ
τὰ ἐς βρῶσιν ἀναγκαῖα διέβοσκεν αὐτούς, τὸν γὰρ 9
σῖτον οἱ δυνατοὶ ξυγκλείσαντες εἶχον, ἵν᾽ ἐκκαπη-
λευθείη τῆς χώρας. ἀνηρέθιστο δὴ ἐπὶ τὸν ἄρχοντα
ἡλικία πᾶσα καὶ πυρὸς ἐπ᾽ αὐτὸν ἥπτοντο καίτοι
προσκείμενον τοῖς βασιλείοις ἀνδριᾶσιν, οἳ καὶ τοῦ
Διὸς τοῦ ἐν Ὀλυμπίᾳ φοβερώτεροι ἦσαν τότε καὶ
ἀσυλότεροι, Τιβερίου γε ὄντες, ἐφ᾽ οὗ λέγεταί τις
ἀσεβῆσαι δόξαι τυπτήσας τὸν ἑαυτοῦ δοῦλον φέροντα
δραχμὴν ἀργυρᾶν νενομισμένην ἐς Τιβέριον. προσ-
ελθὼν οὖν τῷ ἄρχοντι ἤρετο αὐτὸν τῇ χειρί, ὅ τι εἴη
τοῦτο, τοῦ δὲ ἀδικεῖν μὲν οὐδὲν φήσαντος, ἀδικεῖ-
σθαι δὲ μετὰ τοῦ δήμου, λόγου δ᾽ εἰ μὴ τύχοι, ξυν-
απολεῖσθαι τῷ δήμῳ, μετεστράφη τε εἰς τοὺς περι-
εστηκότας ὁ Ἀπολλώνιος καὶ ἔνευσεν ὡς χρὴ ἀκοῦ-
σαι, οἱ δὲ οὐ μόνον ἐσιώπησαν ὑπ᾽ ἐκπλήξεως τῆς
πρὸς αὐτόν, ἀλλὰ καὶ τὸ πῦρ ἔθεντο ἐπὶ τῶν βωμῶν
τῶν αὐτόθι. ἀναθαρρήσας οὖν ὁ ἄρχων „ὁ δεῖνα“
ἔφη „καὶ ὁ δεῖνα“ πλείους εἰπὼν „τοῦ λιμοῦ τοῦ
καθεστηκότος αἴτιοι, τὸν γὰρ σῖτον ἀπολαβόντες φυ-
λάττουσι κατ᾽ ἄλλος ἄλλο τῆς χώρας.“ διακελευο-
μένων δὲ τῶν Ἀσπενδίων ἀλλήλοις ἐπὶ τοὺς ἀγροὺς
φοιτᾶν, ἀνένευσεν ὁ Ἀπολλώνιος μὴ πράττειν τοῦτο,
μετακαλεῖν δὲ μᾶλλον τοὺς ἐν τῇ αἰτίᾳ καὶ παρ᾽
ἑκόντων εὑρέσθαι τὸν σῖτον. ἀφικομένων δὲ μικροῦ
μὲν ἐδέησε καὶ φωνὴν ἐπ᾽ αὐτοὺς ῥῆξαι, παθών τι
πρὸς τὰ τῶν πολλῶν δάκρυα — καὶ [illegible] παιδία
19 ξυνερρυήκει καὶ γύναια, καὶ ὠλοφύρο[illegible]
κότες, ὡς αὐτίκα δὴ ἀποθανούμενο[illegible]
δὲ τὸ τῆς σιωπῆς δόγμα γράφει ἐς γρ[illegible]

πληξιν καὶ δίδωσιν ἀναγνῶναι τῷ ἄρχοντι· ἡ δὲ ἐπίπληξις ὧδε εἶχεν· „Ἀπολλώνιος σιτοκαπήλοις Ἀσπενδίων. ἡ γῆ πάντων μήτηρ, δικαία γάρ, ὑμεῖς δὲ ἄδικοι ὄντες πεποίησθε αὐτὴν αὑτῶν μόνων μητέρα, καὶ εἰ μὴ παύσεσθε, οὐκ ἐάσω ὑμᾶς ἐπ' αὐτῆς ἑστάναι.“ ταῦτα δείσαντες ἐνέπλησαν τὴν ἀγορὰν σίτου καὶ ἀνεβίω ἡ πόλις.

XVI Ἐπεφοίτησε καὶ Ἀντιοχείᾳ τῇ μεγάλῃ πεπαυμένος τοῦ σιωπᾶν, καὶ παρῆλθεν ἐς τὸ ἱερὸν τοῦ Δαφναίου Ἀπόλλωνος, ᾧ περιάπτουσιν Ἀσσύριοι τὸν μῦθον τὸν Ἀρκάδα· τὴν γὰρ τοῦ Λάδωνος Δάφνην ἐκεῖ μεταφῦναι λέγουσι καὶ ποταμὸς αὐτοῖς ῥεῖ Λάδων, καὶ φυτὸν τιμᾶται παρ' αὐτοῖς δάφνης, τοῦτο δὴ τὸ ἀντὶ τῆς παρθένου, κυπαρίττων τε ὕψη ἀμήχανα περιέστηκε κύκλῳ τὸ ἱερὸν καὶ πηγὰς ἐκδίδωσιν ὁ χῶρος ἀφθόνους τε καὶ ἠρεμούσας, αἷς τὸν Ἀπόλλω φασὶ ῥαίνεσθαι. ἐνταῦθα κυπαρίττου τι ἔρνος ἡ γῆ ἀναδέδωκεν ἐπὶ Κυπαρίττῳ φασὶν ἐφήβῳ Ἀσσυρίῳ, καὶ πιστοῦται τὴν μεταβολὴν ἡ ὥρα τοῦ φυτοῦ. καὶ ἴσως νεανικώτερον ἅπτεσθαι δοκῶ τοῦ λόγου διαμυθολογῶν τὰ τοιαῦτα· ἀλλ' οὐχ ὑπὲρ μυθολογίας ταῦτα. τί δέ μοι ὁ λόγος βούλεται; ὁ Ἀπολλώνιος ἰδὼν τὸ ἱερὸν χαρίεν μέν, σπουδὴν δ' ἐν αὐτῷ οὐδεμίαν, ἀλλ' ἀνθρώπους ἡμιβαρβάρους καὶ ἀμούσους „Ἄπολλον,“ ἔφη „μετάβαλε τοὺς ἀφώνους ἐς δένδρα, ἵνα κἂν ὡς κυπάριττοι ἠχῶσιν.“ τὰς δὲ πηγὰς ἐπισκεψάμενος, ὡς γαλήνην ἄγουσι καὶ κελαρύζει σφῶν οὐδεμία, „ἡ ἀφωνία“ εἶπεν „ἡ ἐν- 10
ταῦθα οὐδὲ ταῖς πηγαῖς ξυγχωρεῖ φθέγγεσθαι.“ πρὸς δὲ τὸν Λάδωνα ἰδὼν „οὐχ ἡ θυγάτηρ“ ἔφη „σοὶ μόνη μετέβαλεν, ἀλλὰ καὶ σὺ τῷ δόξαι βάρβαρος ἐξ Ἕλληνός τε καὶ Ἀρκάδος.“ Ἐπεὶ δὲ ἔγνω διαλέγε-

σθαι, τὰ μὲν ὁμιλούμενα τῶν χωρίων καὶ ἀτακτοῦντα παρῃτεῖτο φήσας οὐκ ἀνθρώπων ἑαυτῷ δεῖν, ἀλλ' ἀνδρῶν, τὰ δὲ σεμνότερα ἐσεφοίτα καὶ ᾤκει τῶν ἱερῶν τὰ μὴ κληιστά. ἡλίου μὲν δὴ ἀνίσχοντος ἐφ' ἑαυτοῦ τινα ἔπραττεν, ἃ μόνοις ἐποίει δῆλα τοῖς ἐτῶν τεττάρων σιωπᾶν γεγυμνασμένοις, τὸν δὲ μετὰ ταῦτα καιρόν, εἰ μὲν Ἑλλὰς ἡ πόλις εἴη καὶ τὰ ἱερὰ γνώ-
ριμα, ξυγκαλῶν ἂν τοὺς ἱερέας ἐφιλοσόφει περὶ τῶν 10
θεῶν καὶ διωρθοῦτο αὐτούς, εἴ που τῶν νομιζομένων ἐξαλλάττοιεν, εἰ δὲ βάρβαρά τε καὶ ἰδιότροπα εἴη, διεμάνθανε τοὺς ἱδρυσαμένους αὐτὰ καὶ ἐφ' ὅτῳ ἱδρύθη, πυθόμενός τε, ὅπῃ θεραπεύεται ταῦτα καὶ ὑποθέμενος, εἴ τι σοφώτερον τοῦ δρωμένου ἐνθυμηθείη, μετῄει ἐπὶ τοὺς ὁμιλητὰς καὶ ἐκέλευεν ἐρωτᾶν, ἃ βούλονται. ἔφασκε γὰρ χρῆναι τοὺς οὕτω φιλοσοφοῦντας ἠοῦς μὲν ἀρχομένης ξυνεῖναι θεοῖς, προϊούσης δὲ περὶ θεῶν, τὸν δὲ μετὰ ταῦτα καιρὸν ἀνθρωπείων πέρι τὰς ξυνουσίας ποιεῖσθαι. εἰπὼν δ' ἂν πρὸς τοὺς ἑταίρους, ὁπόσα ἠρώτων, καὶ ἱκανῶς τῆς τοιαύτης ξυνουσίας ἔχων ἐπὶ τὴν διάλεξιν ἀνίστατο λοιπὸν τὴν ἐς πάντας, οὐ πρὸ μεσημβρίας, ἀλλ' ὁπότε μάλιστα ἡ ἡμέρα ἑστήκοι. καὶ διαλεχθεὶς ἂν ὡς ἀπαρκεῖν ᾤετο, ἠλείφετό τε καὶ τριψάμενος ἵει ἑαυτὸν ἐς ὕδωρ ψυχρὸν γῆρας ἀνθρώπων καλῶν τὰ βαλανεῖα· τῆς γοῦν Ἀντιοχείας ἀποκλεισθείσης ἐς αὐτὰ ἐπὶ μεγάλοις ἁμαρτήμασιν „ἔδωκεν ὑμῖν" ἔφη
21 „ὁ βασιλεὺς κακοῖς οὖσι βιῶναι πλείονα ἔτη." Ἐφεσίων δὲ βουλομένων καταλιθῶσαι τὸν ἄρχοντα ἐπὶ τῷ μὴ ἐκπυροῦν τὰ βαλανεῖα „ὑμεῖς μὲν τὸν ἄρχοντα" ἔφη „αἰτιᾶσθε, ἐπειδὴ πονηρῶς λοῦσθε, ἐγὼ δὲ ὑμᾶς, ὅτι λοῦσθε." λόγων [illegible] οὐ διθυραμβώδη καὶ φλεγμα[illegible]

μασιν, οὐδ' αὖ κατεγλωττισμένην καὶ ὑπεραττικίζουσαν, ἀηδὲς γὰρ τὸ ὑπὲρ τὴν μετρίαν Ἀτθίδα ἡγεῖτο, οὐδὲ λεπτολογίᾳ ἐδίδου, οὐδὲ διῆγε τοὺς λόγους, οὐδὲ εἰρωνευομένου τις ἤκουσεν ἢ περιπατοῦντος ἐς τοὺς ἀκροωμένους, ἀλλ' ὥσπερ ἐκ τρίποδος ὅτε διαλέγοιτο „οἶδα" ἔλεγε καὶ „δοκεῖ μοι" καὶ „ποῖ φέ- 22
ρεσθε;" καὶ „χρὴ εἰδέναι." καὶ αἱ δόξαι βραχεῖαι καὶ ἀδαμάντινοι κύριά τε ὀνόματα καὶ προσπεφυκότα τοῖς πράγμασι, καὶ τὰ λεγόμενα ἠχὼ εἶχεν, ὥσπερ ἀπὸ σκήπτρου θεμιστευόμενα. ἐρομένου δὲ αὐτὸν τῶν στενολεσχούντων τινός, ὅτου ἕνεκα οὐ ζητοίη, „ὅτι" ἔφη „μειράκιον ὢν ἐζήτησα, νῦν δὲ οὐ χρὴ ζητεῖν, ἀλλὰ διδάσκειν ἃ εὕρηκα." „πῶς οὖν, Ἀπολλώνιε, διαλέξεται ὁ σοφός;" πάλιν ἐπερομένου αὐτὸν „ὡς νομοθέτης," ἔφη „δεῖ γὰρ τὸν νομοθέτην, ἃ πέπεικεν ἑαυτόν, ταῦτα ἐπιτάγματα ἐς τοὺς πολλοὺς ποιεῖσθαι." ὧδε αὐτῷ τὰ ἐν Ἀντιοχείᾳ ἐσπουδάζετο καὶ ἐπέστρεφεν ἐς ἑαυτὸν ἀνθρώπους ἀμουσοτάτους.

XVIII Μετὰ δὲ ταῦτα λογισμὸν ἑαυτῷ διδοὺς ἀποδημίας μείζονος, ἐνθυμεῖται τὸ Ἰνδικὸν ἔθνος καὶ τοὺς ἐν αὐτῷ σοφούς, οἳ λέγονται Βραχμᾶνές τε καὶ Ὑρκάνιοι εἶναι, προσήκειν φήσας νέῳ ἀνδρὶ ἀποδημεῖν τε καὶ ὑπερορίῳ αἴρεσθαι. εὕρημα δὲ τοὺς μάγους ἐποιεῖτο, οἳ Βαβυλῶνα καὶ Σοῦσα οἰκοῦσι, καὶ γὰρ ἂν καὶ τὰ ἐκείνων διαμαθεῖν ὁδῷ χρώμενος. καὶ πρὸς τοὺς ὁμιλητὰς ἑπτὰ ὄντας ἀνέφηνε τὴν γνώμην. πειρωμένων δὲ αὐτῶν ξυμβουλεύειν ἕτερα, εἴ πη ἀφελχθείη τῆς ὁρμῆς ταύτης, „ἐγὼ μὲν θεοὺς" ἔφη „συμβούλους πεποίημαι καὶ τὰ δεδογμένα εἴρηκα, ὑμῶν δὲ βάσανον ἐποιούμην, εἰ πρὸς ἅπερ ἐγὼ ἔρρωσθε· ἐπεὶ τοίνυν μαλακῶς ἔχετε, ὑμεῖς μὲν 23

ὑγιαίνετε“ ἔφη „καὶ φιλοσοφεῖτε· ἐμοὶ δὲ βαδιστέα, οἷ σοφία τε καὶ δαίμων με ἄγει.“ ταῦτα εἰπὼν ἐξελαύνει τῆς Ἀντιοχείας μετὰ δυοῖν θεραπόντοιν, οἵπερ 11
αὐτῷ πατρικὼ ἤστην, ὁ μὲν ἐς τάχος γράφων, ὁ δὲ ἐς κάλλος. καὶ ἀφικνεῖται ἐς τὴν ἀρχαίαν Νῖνον, ἐν XIX
ᾗ ἄγαλμα ἵδρυται τρόπον βάρβαρον, ἔστι δὲ ἄρα Ἰὼ ἡ Ἰνάχου καὶ κέρατα τῶν κροτάφων ἐκκρούει μικρὰ καὶ οἷον μέλλοντα. ἐνταῦθα διατρίβοντι καὶ πλείω ξυνιέντι περὶ τοῦ ἀγάλματος ἢ οἱ ἱερεῖς καὶ προφῆται, προσεφοίτησε Δάμις ὁ Νίνιος, ὃν καταρχὰς ἔφην ξυναποδημῆσαί οἱ καὶ ξυνέμπορον γενέσθαι τῆς σοφίας πάσης καὶ πολλὰ τοῦ ἀνδρὸς διασώσασθαι, ὃς ἀγασθεὶς αὐτὸν καὶ ζηλώσας τῆς ὁδοῦ „ἴωμεν,“ ἔφη „Ἀπολλώνιε, σὺ μὲν θεῷ ἑπόμενος, ἐγὼ δὲ σοί, καὶ γάρ με καὶ πολλοῦ ἄξιον εὕροις ἄν· εἰ μὲν ἄλλο τι οὐκ οἶδα, τὸ δ᾽ οὖν ἐς Βαβυλῶνα ἧκον, πόλεις τε, ὁπόσαι εἰσίν, οἶδα ἀνελθὼν οὐ πάλαι καὶ κώμας, ἐν αἷς πολλὰ ἀγαθά, καὶ μὴν καὶ τὰς φωνὰς τῶν βαρβάρων, ὁπόσαι εἰσίν, εἰσὶ δὲ ἄλλη μὲν Ἀρμενίων, ἄλλη δὲ Μήδων τε καὶ Περσῶν, ἄλλη δὲ Καδουσίων, μεταλαμβάνω δὲ πάσας.“ „ἐγὼ δέ,“ εἶπεν „ὦ ἑταῖρε, πασῶν ξυνίημι, μαθὼν μηδεμίαν.“ θαυμάσαντος δὲ τοῦ Νινίου „μὴ θαυμάσῃς,“ εἶπεν „εἰ πάσας οἶδα φωνὰς ἀνθρώπων· οἶδα γὰρ δὴ καὶ ὅσα σιωπῶσιν ἄνθρωποι.“ ὁ μὲν δὴ Ἀσσύριος προσηύξατο αὐτόν, ὡς ταῦτα ἤκουσε, καὶ ὥσπερ δαίμονα ἔβλεπε, συνῆν τε αὐτῷ ἐπιδιδοὺς τὴν σοφίαν καὶ ὅ τι μάθοι μνημονεύων. φωνὴ δὲ ἦν τῷ Ἀσσυρίῳ ξυμμέτρως πράττουσα, τὸ γὰρ λογοειδὲς οὐκ εἶχεν, ἅτε παιδευθεὶς ἐν βαρβάροις, διατριβὴν δὲ ἀναγράψαι καὶ συνουσίαν καὶ ὅ τι ἤκουσεν ἢ εἶδεν ἀνατυ-
24 πῶσαι καὶ ὑπόμνημα τῶν τοιούτων ξυνθεῖναι σφόδρα

ἱκανὸς ἦν καὶ ἐπετήδευε τοῦτο ἄριστα ἀνθρώπων. ἡ γοῦν δέλτος ἡ τῶν ἐκφατνισμάτων τοιοῦτον τῷ Δάμιδι νοῦν εἶχεν· ὁ Δάμις ἐβούλετο μηδὲν τῶν Ἀπολλωνίου ἀγνοεῖσθαι, ἀλλ' εἴ τι καὶ παρεφθέγξατο ἢ (ἀμελῶς) εἶπεν, ἀναγεγράφθαι καὶ τοῦτο, καὶ ἄξιόν γε εἰπεῖν, ἃ καὶ πρὸς τὸν μεμψάμενον τὴν διατριβὴν ταύτην ἀπεφθέγξατο· διασύροντος γὰρ αὐτὸν ἀνθρώπου ῥαθύμου τε καὶ βασκάνου καὶ τὰ μὲν ἄλλα ὀρθῶς ἀναγράφειν φήσαντος, ὁπόσαι γνῶμαί τέ εἰσι καὶ δόξαι τοῦ ἀνδρός, ταυτὶ δὲ τὰ οὕτω μικρὰ ξυλλεγόμενον παραπλήσιόν που τοῖς κυσὶ πράττειν τοῖς σιτουμένοις τὰ ἐκπίπτοντα τῆς δαιτός, ὑπολαβὼν ὁ Δάμις „εἰ δαῖτες“ ἔφη „θεῶν εἰσι καὶ σιτοῦνται θεοί, πάντως που καὶ θεράποντες αὐτοῖς εἰσιν, οἷς μέλει τοῦ μηδὲ τὰ πίπτοντα τῆς ἀμβροσίας ἀπόλλυσθαι.“

Τοιοῦδε μὲν ἑταίρου καὶ ἐραστοῦ ἔτυχεν, ᾧ τὸ
XX πολὺ τοῦ βίου συνεπορεύθη. παριόντας δὲ αὐτοὺς ἐς τὴν μέσην τῶν ποταμῶν ὁ τελώνης ὁ ἐπιβεβλημένος τῷ Ζεύγματι πρὸς τὸ πινάκιον ἦγε καὶ ἠρώτα, ὅ τι ἀπάγοιεν, ὁ δὲ Ἀπολλώνιος „ἀπάγω“ ἔφη „σωφροσύνην δικαιοσύνην ἀρετὴν ἐγκράτειαν ἀνδρείαν ἄσκησιν,“ πολλὰ καὶ οὕτω θήλεα εἴρας ὀνόματα. ὁ δ' ἤδη βλέπων τὸ ἑαυτοῦ κέρδος „ἀπόγραψαι οὖν“ ἔφη „τὰς δούλας“. ὁ δὲ „οὐκ ἔξεστιν,“ εἶπεν „οὐ γὰρ δούλας ἀπάγω ταύτας, ἀλλὰ δεσποίνας.“ τὴν δὲ τῶν ποταμῶν μέσην ὁ Τίγρις ἀποφαίνει καὶ ὁ Εὐφράτης ῥέοντες μὲν ἐξ Ἀρμενίας καὶ Ταύρου λήγοντος, περιβάλλοντες δὲ ἤπειρον, ἐν ᾗ καὶ πόλεις μέν, τὸ δὲ πλεῖστον κῶμαι, ἔθνη τε Ἀρμένια καὶ Ἀράβια, ἃ ξυγκλείσαντες οἱ ποταμοὶ ἔχουσιν, ὧν καὶ νομάδες οἱ πολλοὶ στείχουσιν, οὕτω τι νησιώτας ἑαυτοὺς νομίζοντες, ὡς ἐπὶ θάλαττάν τε

καταβαίνειν φάσκειν, ὅτ' ἐπὶ τοὺς ποταμοὺς βαδί- 12
ζοιεν, ὅρον τε ποιεῖσθαι τῆς γῆς τὸν τῶν ποταμῶν κύκλον· ἀποτορνεύσαντες γὰρ τὴν προειρημένην ἤπειρον ἐπὶ τὴν αὐτὴν ἴενται θάλατταν. εἰσὶ δ', οἵ φασιν ἐς ἕλος ἀφανίζεσθαι τὸ πολὺ τοῦ Εὐφράτου καὶ τελευτᾶν τὸν ποταμὸν τοῦτον ἐν τῇ γῇ. λόγου δ' ἔνιοι θρασυτέρου ἐφάπτονται, φάσκοντες αὐτὸν ὑπὸ τῇ γῇ ῥέοντα ἐς Αἴγυπτον ἀναφαίνεσθαι καὶ Νείλῳ συγκεράννυσθαι. ἀκριβολογίας μὲν δὴ ἕνεκα καὶ τοῦ μηδὲν παραλελεῖφθαί μοι τῶν γεγραμμένων ὑπὸ τοῦ Δάμιδος ἐβουλόμην ἂν καὶ τὰ διὰ τῶν βαρβάρων τούτων (πορευομένοις) σπουδασθέντα εἰπεῖν, ξυνελαύνει δὲ ἡμᾶς ὁ λόγος ἐς τὰ μείζω τε καὶ θαυμασιώτερα, οὐ μὴν ὥς δυοῖν γε ἀμελῆσαι τούτοιν, τῆς τε ἀνδρείας, ᾗ χρώμενος ὁ Ἀπολλώνιος διεπορεύθη βάρβαρα ἔθνη καὶ λῃστρικά, οὐδ' ὑπὸ Ῥωμαίοις πω ὄντα, τῆς τε σοφίας, ᾗ τὸν Ἀράβιον τρόπον ἐς ξύνεσιν τῆς τῶν ζῴων φωνῆς ἦλθεν. ἔμαθε δὲ τοῦτο διὰ τουτωνὶ τῶν Ἀραβίων πορευόμενος ἄριστα γιγνωσκόντων τε αὐτὸ καὶ πραττόντων. ἔστι γὰρ τῶν Ἀραβίων ἤδη κοινὸν καὶ τῶν ὀρνίθων ἀκούειν μαντευομένων, ὁπόσα οἱ χρησμοί, ξυμβάλλονται δὲ τῶν ἀλόγων σιτούμενοι τῶν δρακόντων οἱ μὲν καρδίαν φασίν, οἱ δὲ ἧπαρ.

26 Κτησιφῶντα δὲ ὑπερβαλὼν καὶ παριὼν ἐς τὰ XXI
Βαβυλῶνος ὅρια φρουρὰ μὲν αὐτόθι ἦν ἐκ βασιλέως, ἣν οὐκ ἂν παρῆλθέ τις μὴ οὐκ ἐρωτηθεὶς ἑαυτόν τε καὶ πόλιν καὶ ἐφ' ὅ τι ἥκοι. σατράπης δὲ τῇ φρουρᾷ ταύτῃ ἐπετέτακτο, βασιλέως τις, οἶμαι, ὀφθαλμός, ὁ γὰρ Μῆδος ἄρτι ἐς τὸ ἄρχειν ἥκων οὐ ξυνεχώρει ἑαυτῷ ἀδεῶς ζῆν, ἀλλὰ ὄντα τε καὶ οὐκ ὄντα δεδιὼς ἐς φόβους κατεπεπτώκει καὶ πτοίας. ἄγονται τοίνυν

παρὰ τὸν σατράπην Ἀπολλώνιός τε καὶ οἱ ἀμφ'
αὐτόν, ὁ δὲ ἔτυχε μὲν σκηνὴν ἐφ' ἁρμαμάξης πε-
ποιημένος καὶ ἐξελαύνων ποι, ἰδὼν δὲ ἄνδρα αὐχμοῦ
πλέων ἀνέκραγέ τε ὥσπερ τὰ δειλὰ τῶν γυναίων καὶ
ξυνεκαλύψατο, μόγις τε ἀναβλέψας ἐς αὐτόν, „πόθεν
ἡμῖν ἐπιπεμφθεὶς ἥκεις;“ οἷον δαίμονα ἠρώτα. ὁ δὲ
„ὑπ' ἐμαυτοῦ,“ ἔφη „εἴ πῃ καὶ ἄκοντες ἄνδρες γέ-
νοισθε.“ πάλιν ἤρετο, ὅστις ὢν ἐσφοιτᾷ τὴν βασι-
λέως χώραν, ὁ δὲ „ἐμὴ“ ἔφη „πᾶσα ἡ γῆ καὶ ἀνεῖ-
ταί μοι δι' αὐτῆς πορεύεσθαι.“ τοῦ δὲ „βασανιῶ
σε,“ εἰπόντος „εἰ μὴ λέγοις“, „εἰ γὰρ ταῖς σαυτοῦ
χερσίν,“ εἶπεν „ὡς αὐτὸς βασανισθείης, θιγὼν ἀν-
δρός.“ ἐκπλαγεὶς δὲ αὐτὸν ὁ εὐνοῦχος, ἐπεὶ μηδὲ
ἑρμηνέως ἑώρα δεόμενον, ἀλλ' ὑπολαμβάνοντα τὴν
φωνὴν ἀλύπως τε καὶ εὐκόλως „πρὸς θεῶν“ εἶπε
„τίς εἶ;“ λιπαρῶν ἤδη καὶ μεταβαλὼν τοῦ τόνου.
ὑπολαβὼν δὲ ὁ Ἀπολλώνιος „ἐπειδὴ μετρίως“ ἔφη 27
„ταῦτα καὶ οὐκ ἀπανθρώπως ἤρου, ἄκουε, ὅς εἰμι·
εἰμὶ μὲν ὁ Τυανεὺς Ἀπολλώνιος, ἡ δὲ ὁδὸς παρὰ
τὸν Ἰνδῶν βασιλέα καθ' ἱστορίαν τῶν ἐκεῖ, βουλοί-
μην δ' ἂν καὶ τῷ σῷ βασιλεῖ ἐντυχεῖν· φασὶ γὰρ
αὐτὸν οἱ ξυγγεγονότες οὐ τῶν φαύλων εἶναι, εἰ δὴ
Οὐαρδάνης οὗτος, ὁ τὴν ἀρχὴν ἀπολωλυῖάν ποτ'
αὐτῷ νῦν ἀνακεκτημένος.“ „ἐκεῖνος,“ ἔφη „θεῖε
Ἀπολλώνιε· πάλαι γάρ σε ἠκούομεν. σοφῷ δὲ ἀνδρὶ
κἂν αὐτοῦ παραχωρήσειε τοῦ χρυσοῦ θρόνου καὶ
πέμποι δ' ἂν ὑμᾶς ἐς Ἰνδοὺς ἐπὶ καμήλου ἕκαστον.
ἐγὼ δὲ καὶ ξένον ἐμαυτοῦ ποιοῦμαί σε καὶ δίδωμί
σοι τούτων τῶν χρημάτων,“ ἅμα θησαυρὸν χρυ-
σοῦ δείξας „ὁπόσα βούλει δράττεσθαι, καὶ μὴ ἐς
ἅπαξ, ἀλλὰ δεκάκις.“ παραιτησαμένου δὲ αὐτοῦ τὰ
χρήματα „σὺ δ' ἀλλὰ οἴνου“ ἔφη „Βαβυλωνίου,

προπίνει δὲ αὐτοῦ βασιλεὺς δέκα ἡμῖν σατράπαις, 13
ἀμφορέα ἔχε, συῶν τε καὶ δορκάδων τεμάχη ὀπτὰ ἄλευρά τε καὶ ἄρτους καὶ ὅ τι ἐθέλεις. ἡ γὰρ μετὰ ταῦτα ὁδὸς ἐπὶ πολλὰ στάδια κῶμαί εἰσιν οὐ πάνυ εὔσιτοι.“ καὶ λαβόμενος ἑαυτοῦ ὁ εὐνοῦχος, „οἷον,“ ἔφη „ὦ θεοί, ἔπαθον· ἀκούων γὰρ τὸν ἄνδρα μήτ᾽ ἀπὸ ζῴων σιτεῖσθαι μήτε οἴνου πίνειν, παχέως αὐτὸν καὶ ἀμαθῶς ἑστιῶ.“ „ἀλλ᾽ ἔστι σοι“ ἔφη „καὶ λεπτῶς με ἑστιᾶν, ἢν ἄρτους τε δῷς καὶ τραγήματα.“ „δώσω“ ἔφη „ζυμίτας τε ἄρτους καὶ φοίνικος βαλάνους ἠλεκτρώδεις τε καὶ μεγάλας. δώσω καὶ λάχανα, ὁπόσα ὁ Τίγρις κηπεύει.“ „ἀλλ᾽ ἡδίω“ εἶπεν ὁ Ἀπολλώνιος „τὰ ἄγρια καὶ αὐτόματα λάχανα τῶν ἠναγκασμένων καὶ τεχνητῶν.“ „ἡδίω μέν,“ ἔφη ὁ σατράπης „ἡ χώρα δὲ ἡμῖν ἡ ἐπὶ Βαβυλῶνος ἀψιν-
28 θίου πλήρης οὖσα ἀηδῆ αὐτὰ φύει καὶ πικρά.“ πλὴν ἀλλὰ τοῦ σατράπου γε ἀπεδέξατο, καὶ ἀπιὼν ἤδη „ὦ λῷστε,“ ἔφη „μὴ λῆγε μόνον καλῶς, ἀλλὰ καὶ ἄρχου“ νουθετῶν που αὐτὸν ἐπὶ τῷ „βασανιῶ σε,“ καὶ οἷς ἐν ἀρχῇ βαρβαρίζοντος ἤκουσε.

Προελθόντες δὲ εἴκοσι στάδια λεαίνῃ ἐντυγχά- XXII
νουσιν ἀπεσφαγμένῃ ἐν θήρᾳ, καὶ ἦν τὸ θηρίον μέγα καὶ ὅσον οὔπω εἶδον, ἐβόων τε οἱ ἐκ τῆς κώμης συνερρυηκότες, καί, νὴ Δί᾽, οἱ τεθηρακότες, ὥς τι μέγα θαῦμα ἐν αὐτῷ ὁρῶντες· καὶ ἦν ἀτεχνῶς θαῦμα· σκύμνους γὰρ ἀνατμηθεῖσα ὀκτὼ εἶχεν. ὁ δὲ τῆς λεαίνης τόκος, αἱ λέαιναι μηνῶν μὲν κυΐσκουσιν ἕξ, τρὶς δὲ ἀποτίκτουσιν, ἀριθμὸς δὲ τῶν σκύμνων παρὰ μὲν τὴν πρώτην τρεῖς, ἐπὶ δὲ τῆς δευτέρας δύο, τρίτου δὲ ἁπτομέν[illegible] [illegible] ἀποτίκτει μέγαν, οἶμαι, καὶ [illegible] οὐ γὰρ προσεκτέα τοῖς λέγ[illegible]

σκύμνοι τὰς τῶν λεαινῶν μήτρας ἐκδίδονται τοῦ σπλάγχνου. δοκεῖ γὰρ τῇ φύσει τῷ τικτομένῳ πρὸς τὸ τίκτον ἐπιτήδεια εἶναι ὑπὲρ σωτηρίας τοῦ γένους. ἐνιδὼν οὖν ὁ Ἀπολλώνιος τῷ θηρίῳ καὶ πολὺν χρόνον ἐπισχὼν „ὦ Δάμι," ἔφη „ὁ χρόνος τῆς παρὰ βασιλέα ἀποδημίας ἐνιαυτοῦ ἔσται καὶ μηνῶν ὀκτώ, οὔτε γὰρ ἐκεῖνος ἀνήσει θᾶττον, οὔτε ὑμῖν λῷον ἀπελθεῖν πρὸ τούτου. τεκμαίρεσθαι δὲ χρὴ τῶν μὲν σκύμνων ἐς μῆνας, τῆς λεαίνης δὲ ἐς ἐνιαυτόν, τέλεια γὰρ τελείοις παραβλητέα." „οἱ δὲ δὴ στρουθοὶ" ἔφη ὁ Δάμις „οἱ παρὰ τῷ Ὁμήρῳ τί φήσουσιν, οὓς ὁ δράκων μὲν ἐν τῇ Αὐλίδι ἐδαίσατο ὀκτὼ ὄντας ἐννάτην ἐπ' αὐτοῖς τὴν μητέρα ἑλών; Κάλχας δ' ἐξηγούμενος ταῦτα ἐννέα ἐνιαυτοῖς ἀνεῖπε καταπολεμήσεσθαι τὴν Τροίαν· καὶ ὅρα μὴ καθ' Ὅμηρόν τε καὶ Κάλχαντα ἐς ἐννέα ἡμῖν ἔτη ἡ ἀποδημία τείνῃ." „καὶ εἰκότως," ἔφη „ὦ Δάμι, καὶ τοὺς νεοττοὺς Ὅμηρος ἐνιαυτοῖς εἰκάζει, γεγόνασι γὰρ ἤδη καί εἰσιν, ἐγὼ δὲ ἀτελῆ θηρία καὶ μήπω γεγονότα, ἴσως δὲ μηδ' ἂν γενόμενα, πῶς ἂν ἐνιαυτοῖς εἰκά- 29
ζοιμι; τὰ γὰρ παρὰ φύσιν οὔτ' ἂν γένοιτο, ταχεῖάν τε ἴσχει διαφθοράν, κἂν γένηται. ἀλλ' ἕπου δὴ τῷ λόγῳ, καὶ ἴωμεν εὐξόμενοι τοῖς θεοῖς, οἳ ταῦτα φαίνουσι."

XXIII προελθόντι δὲ αὐτῷ ἐς τὴν Κισσίαν χώραν καὶ πρὸς Βαβυλῶνι ἤδη ὄντι δόξα ἐνυπνίου ἐφοίτησεν ὧδε τῷ φήναντι θεῷ ξυντεθεῖσα· ἰχθῦς ἐκπεπτωκότες τῆς θαλάττης ἐν τῇ γῇ ἤσπαιρον θρῆνον ἀνθρώπων ἱέντες καὶ ὀλοφυρόμενοι τὸ ἐκβεβηκέναι τοῦ ἤθους, δελφῖνά τε τῇ γῇ παρανέοντα ἱκέτευον
14 ἀμῦναί σφισιν ἐλεεινοὶ ὄντες, ὥσπερ τῶν ἀνθρώπων οἱ ἐν τῇ ξένῃ κλαίοντες. ἐκπλαγεὶς δὲ οὐδὲν ὑπὸ τοῦ ἐνυπνίου ξυμβάλλεται μὲν αὐτοῦ ὅπως καὶ ὅπῃ

εἶχε, διαταράττειν δὲ βουλόμενος τὸν Δάμιν, καὶ γὰρ τῶν εὐλαβεστέρων αὐτὸν ἐγίγνωσκεν, ἀπαγγέλλει πρὸς αὐτὸν τὴν ὄψιν δέος πλασάμενος ὡς ἐπὶ πονηροῖς, οἷς εἶδεν, ὁ δὲ ἀνεβόησέ τε ὡς αὐτὸς ἰδὼν ταῦτα καὶ ἀπῆγε τὸν Ἀπολλώνιον τοῦ πρόσω „μή πη“ ἔφη „καὶ ἡμεῖς ὥσπερ ἰχθύες ἐκπεσόντες τῶν ἠθῶν ἀπολώμεθα καὶ πολλὰ ἐλεεινὰ ἐν τῇ ἀλλοδαπῇ εἴπωμεν, καί που καὶ ἐς ἀμήχανον ἐμπεσόντες ἱκετεύσωμεν δυνάστην τινὰ ἢ βασιλέα, ὁ δὲ ἡμᾶς ἀτιμάσῃ, καθάπερ τοὺς ἰχθῦς οἱ δελφῖνες.“ γελάσας δὲ ὁ Ἀπολλώνιος „σὺ μὲν οὔπω φιλοσοφεῖς,“ εἶπεν „εἰ δέδιας ταῦτα, ἐγὼ δὲ οἷ τὸ ἐνύπνιον τείνει δηλώσω· Ἐρετριεῖς γὰρ τὴν Κισσίαν ταύτην χώραν οἰκοῦσιν οἱ ἐξ Εὐβοίας ποτὲ Δαρείῳ ἀναχθέντες ἔτη ταῦτα πεντακόσια, καὶ λέγονται, ὥσπερ ἡ ὄψις ἐφάνη, ἰχθύων πάθει περὶ τὴν ἅλωσιν χρήσασθαι· σαγηνευθῆναι γὰρ δὴ καὶ ἁλῶναι πάντας. ἐοίκασιν οὖν οἱ θεοὶ κελεύειν με ἐς αὐτοὺς παρελθόντα ἐπιμεληθῆναι σφῶν, εἴ τι δυναίμην. ἴσως δὲ καὶ αἱ ψυχαὶ
30 τῶν Ἑλλήνων, οἵπερ ἔλαχον τὴν ἐνταῦθα μοῖραν, ἐπάγονταί με ἐπ' ὠφελείᾳ τῆς γῆς· ἴωμεν οὖν ἐξαλλάξαντες τῆς ὁδοῦ περὶ μόνου ἐρωτῶντες τοῦ φρέατος, πρὸς ᾧ οἰκοῦσι.“ λέγεται δὲ τοῦτο κεκρᾶσθαι μὲν ἀσφάλτου καὶ ἐλαίου καὶ ὕδατος, ἐκχέαντος δὲ τοῦ ἀνιμήσαντος ἀποχωρεῖν ταῦτα καὶ ἀπ' ἀλλήλων κρίνεσθαι. παρελθεῖν μὲν δὴ ἐς τὴν Κισσίαν καὶ αὐτὸς ὡμολόγηκεν ἐν οἷς πρὸς τὸν Κλαζομένιον σοφιστὴν γράφει, χρηστὸς γὰρ οὕτω τι καὶ φιλότιμος ἦν, ὡς ἐπειδὴ Ἐρετριέας εἶδε, σοφιστοῦ τε ἀναμνησθῆναι καὶ γράψαι πρὸς αὐτὸν ἅ τε [illegible] αὐτῶν ἔπραξεν· καὶ παρακελεύετ[illegible] στολὴν πᾶσαν ἐλεεῖν τοὺς Ἐρετ[illegible]

μελετῴη τὸν περὶ αὐτῶν λόγον, μηδὲ τὸ κλάειν ἐπ'
XXIV αὐτοῖς παραιτεῖσθαι. ξυνῳδὰ δὲ τούτοις καὶ ὁ Δάμις περὶ τῶν Ἐρετριέων ἀναγέγραφεν· οἰκοῦσι γὰρ ἐν τῇ Μηδικῇ, Βαβυλῶνος οὐ πολὺ ἀπέχοντες, ἡμέρας (ὁδὸν) δρομικῷ ἀνδρί, ἡ χώρα δὲ ἄπολις, ἡ γὰρ Κισσία κῶμαι πᾶσα καί τι καὶ νομάδων ἐν αὐτῇ γένος μικρὰ τῶν ἵππων ἀποβαίνοντες. ἡ δὲ τῶν Ἐρετριέων οἰκεῖται μὲν τῶν ἄλλων μέση, περιβέβληται δὲ ποταμοῦ τάφρον, ἣν αὐτοὶ βαλέσθαι περὶ τῇ κώμῃ λέγονται τεῖχος αὐτὴν ποιούμενοι πρὸς τοὺς ἐν τῇ Κισσίᾳ βαρβάρους. ὕπομβρος δὲ ἀσφάλτῳ ἡ χώρα καὶ πικρὰ ἐμφυτεῦσαι, βραχυβιώτατοί τε οἱ ἐκείνῃ ἄνθρωποι, τὸ γὰρ ἀσφαλτῶδες ποτὸν ἐς πολλὰ τῶν σπλάγχνων ἱζάνει. τρέφει δ' αὐτοὺς λόφος ἐν ὁρίοις 31
τῆς κώμης, ὃν ὑπεραίροντα τοῦ παρεφθορότος χωρίου σπείρουσί τε καὶ ἡγοῦνται γῆν. φασὶ δὲ ἀκοῦσαι τῶν ἐγχωρίων, ὡς ἑπτακόσιοι μὲν τῶν Ἐρετριέων πρὸς τοῖς ὀγδοήκοντα ἥλωσαν, οὔτι που μάχιμοι πάντες, ἦν γάρ τι καὶ θῆλυ ἐν αὐτοῖς γένος καὶ γεγηρακός, ἦν δ', οἶμαί, τι καὶ παιδία, τὸ γὰρ πολὺ τῆς Ἐρετρίας τὸν Καφηρέα ἀνέφυγε καὶ ὅ τι ἀκρότατον τῆς Εὐβοίας. ἀνήχθησαν δὲ ἄνδρες μὲν ἀμφὶ τοὺς τετρακοσίους, γύναια δὲ ἴσως δέκα, οἱ δὲ λοιποὶ ἀπ' Ἰωνίας τε καὶ Λυδίας ἀρξάμενοι διεφθάρησαν ἐλαυνόμενοι ἄνω. λιθοτομίαν δὲ αὐτοῖς παρεχομένου τοῦ λόφου καί τινες καὶ λιθουργοὺς εἰδότες τέχνας ἱερά τε ἐδείμαντο Ἑλληνικὰ καὶ ἀγοράν, ὁπόσην εἰκὸς ἦν, βωμούς τε ἱδρύσαντο Δαρείῳ μὲν δύο, Ξέρξῃ δὲ ἕνα, Δαριδαίῳ δὲ πλείους. διετέλεσαν δὲ ἐς Δαριδαῖον ἔτη μετὰ τὴν ἅλωσιν ὀκτὼ καὶ ὀγδοήκοντα γράφοντες τὸν Ἑλλήνων τρόπον, καὶ οἱ τάφοι δὲ οἱ ἀρχαῖοι σφῶν „ὁ δεῖνα τοῦ δεῖνος“ γεγράφαται, καὶ

τὰ γράμματα Ἑλλήνων μέν, ἀλλ' οὔπω ταῦτα ἰδεῖν φασι. καὶ ναῦς ἐγκεχαραγμένας τοῖς τάφοις, ὡς ἕκαστος ἐν Εὐβοίᾳ ἔζη [πορθμεύων ἢ πορφυρεύων] ἢ 15 θαλάττιον ἢ καὶ ἁλουργὸν πράττων, καί τι καὶ ἐλεγεῖον ἀναγνῶναι γεγραμμένον ἐπὶ ναυτῶν τε καὶ ναυκλήρων σήματι·

Οἵδε ποτ' Αἰγαίοιο βαθύρροον οἶδμα πλέοντες
Ἐκβατάνων πεδίῳ κείμεθ' ἐνὶ μεσάτῳ.
χαῖρε κλυτή ποτε πατρὶς Ἐρέτρια, χαίρετ' Ἀθῆναι,
γείτονες Εὐβοίης, χαῖρε θάλασσα φίλη.

32 τοὺς μὲν δὴ τάφους διεφθορότας ἀναλαβεῖν τε αὐτὸν ὁ Δάμις φησὶ καὶ ξυγκλεῖσαι χέασθαί τε καὶ ἐπενεγκεῖν σφισιν, ὁπόσα νόμιμα, πλὴν τοῦ τεμεῖν τι ἢ καθαγίσαι, δακρύσαντά τε καὶ ὑποπλησθέντα ὁρμῆς τάδε ἐν μέσοις ἀναφθέγξασθαι· „Ἐρετριεῖς οἱ κλήρῳ τύχης δεῦρ' ἀπενεχθέντες, ὑμεῖς μέν, εἰ καὶ πόρρω τῆς αὐτῶν, τέθαφθε γοῦν, οἱ δ' ὑμᾶς ἐνταῦθα ῥίψαντες ἀπώλοντο περὶ τὴν ὑμετέραν νῆσον ἄταφοι δεκάτῳ μεθ' ὑμᾶς ἔτει· τὸ γὰρ ἐν κοίλῃ Εὐβοίᾳ πάθος θεοὶ φαίνουσιν.“ Ἀπολλώνιος δὲ πρὸς τὸν σοφιστὴν ἐπὶ τέλει τῆς ἐπιστολῆς „καὶ ἐπεμελήθην,“ φησὶν „ὦ Σκοπελιανέ, τῶν σῶν Ἐρετριέων νέος ὢν ἔτι καὶ ὠφέλησα ὅ τι ἐδυνάμην καὶ τοὺς τεθνεῶτας αὐτῶν καὶ τοὺς ζῶντας.“ τί δῆτα ἐπεμελήθη τῶν ζώντων; οἱ πρόσοικοι τῷ λόφῳ βάρβαροι σπειρόντων τῶν Ἐρετριέων αὐτὸν ἐληίζοντο τὰ φυόμενα περὶ τὸ θέρος ἥκοντες καὶ πεινῆν ἔδει γεωργοῦντας ἑτέροις. ὁπότ' οὖν παρὰ βασιλέα ἀφίκετο, εὕρετο αὐτοῖς τὸ χρῆσθαι μόνους τῷ λόφῳ.

Τὰ δὲ ἐν Βαβυλῶνι τοῦ ἀνδρὸς [illegible] ὁπόσα Βαβυλῶνος πέρι προσήκει γιγ[illegible] εὗρον· ἡ Βαβυλὼν τετείχισται μὲν [illegible]

τετρακόσια στάδια, τοσαύτη κύκλῳ, τεῖχος δὲ αὐτῆς τρία μὲν τὸ ὕψος ἡμίπλεθρα, πλέθρου δὲ μεῖον τὸ [33] εὖρος, ποταμῷ δὲ Εὐφράτῃ τέμνεται ξὺν ὁμοιότητι τοῦ εἴδους, ὃν ἀπόρρητος ὑποστείχει γέφυρα τὰ βασίλεια τὰ ἐπὶ ταῖς ὄχθαις ἀφανῶς ξυνάπτουσα. γυνὴ γὰρ λέγεται Μήδεια τῶν ἐκείνῃ ποτὲ ἄρχουσα τὸν ποταμὸν ὑποζεῦξαι τρόπον, ὃν μήπω τις ποταμὸς ἐζεύχθη· λίθους γὰρ δὴ καὶ χαλκὸν καὶ ἄσφαλτον καὶ ὁπόσα ἐς ἔφυδρον ξύνδεσιν ἀνθρώποις εὕρηται, παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ νήσασα τὸ ῥεῦμα ἐς λίμνας ἔτρεψε, ξηρόν τε ἤδη τὸν ποταμὸν ὤρυγεν ὀργυιὰς ἐς δύο σήραγγα ἐργαζομένη κοίλην, ἵν' ἐς τὰ βασίλεια τὰ παρὰ ταῖς ὄχθαις ὥσπερ ἐκ γῆς ἀναφαίνοιτο, καὶ ἤρεψεν αὐτὴν ἴσως τῷ τοῦ ῥεύματος δαπέδῳ. οἱ μὲν δὴ θεμέλιοι ἐβεβήκεσαν καὶ οἱ τοῖχοι τῆς σήραγγος, ἅτε δὲ τῆς ἀσφάλτου δεομένης τοῦ ὕδατος ἐς τὸ λιθοῦσθαί τε καὶ πήγνυσθαι ὁ Εὐφράτης ἐπαφείθη ὑγρῷ τῷ ὀρόφῳ καὶ ὧδε ἔστη τὸ ζεῦγμα. τὰ δὲ βασίλεια χαλκῷ μὲν ἤρεπται καὶ ἀπ' αὐτῶν ἀστράπτει, θάλαμοι δὲ καὶ ἀνδρῶνες καὶ [34] στοαί, τὰ μὲν ἀργύρῳ, τὰ δὲ χρυσοῖς ὑφάσμασι, τὰ δὲ χρυσῷ αὐτῷ καθάπερ γραφαῖς ἠγλάισται, τὰ δὲ ποικίλματα τῶν πέπλων ἐκ τῶν Ἑλληνικῶν σφίσιν ἥκει λόγων, Ἀνδρομέδαι καὶ Ἀμυμῶναι καὶ Ὀρφεὺς πολλαχοῦ. χαίρουσι δὲ τῷ Ὀρφεῖ, τιάραν ἴσως καὶ ἀναξυρίδα τιμῶντες, οὐ γὰρ μουσικήν γε, οὐδὲ ᾠδάς, αἷς ἔθελγεν. ἐνύφανταί που καὶ ὁ Δᾶτις τὴν Νάξον ἐκ τῆς θαλάττης ἀνασπῶν καὶ Ἀρταφέρνης περιεστηκὼς τὴν Ἐρέτριαν καὶ τῶν ἀμφὶ Ξέρξην, ἃ νικᾶν ἔφασκεν· Ἀθῆναι γὰρ δὴ ἐχόμεναί εἰσι καὶ Θερμοπύλαι καὶ τὰ Μηδικώτερα ἔτι, ποταμοὶ ἐξαιρούμενοι τῆς γῆς καὶ θαλάττης ζεῦγμα καὶ ὁ Ἄθως ὡς ἐτμήθη.

φασὶ δὲ καὶ ἀνδρῶνι ἐντυχεῖν, οὗ τὸν ὄροφον ἐς
θόλου ἀνῆχθαι σχῆμα οὐρανῷ τινι εἰκασμένον, σαπ- 16
φειρίνῃ δὲ αὐτὸν κατηρέφθαι λίθῳ — κυανωτάτη
δὲ ἡ λίθος καὶ οὐρανία ἰδεῖν — καὶ θεῶν ἀγάλματα,
οὓς νομίζουσιν, ἵδρυται ἄνω καὶ χρυσᾶ φαίνεται,
καθάπερ ἐξ αἰθέρος. δικάζει μὲν δὴ ὁ βασιλεὺς ἐν-
ταῦθα, χρυσαῖ δὲ ἴυγγες ἀποκρέμανται τοῦ ὀρόφου
τέτταρες τὴν Ἀδράστειαν αὐτῷ παρεγγυῶσαι καὶ τὸ
μὴ ὑπὲρ τοὺς ἀνθρώπους αἴρεσθαι. ταύτας οἱ μάγοι
35 αὐτοί φασιν ἁρμόττεσθαι φοιτῶντες ἐς τὰ βασίλεια,
καλοῦσι δὲ αὐτὰς θεῶν γλώττας. περὶ δὲ τῶν μά- XXVI
γων Ἀπολλώνιος μὲν τὸ ἀποχρῶν εἴρηκε, συγγενέ-
σθαι γὰρ αὐτοῖς καὶ τὰ μὲν μαθεῖν, τὰ δὲ ἀπελθεῖν
διδάξας, Δάμις δὲ τοὺς μὲν λόγους, οἷοι ἐγένοντο
τῷ ἀνδρὶ πρὸς τοὺς μάγους, οὐκ οἶδεν, ἀπαγορεῦσαι
γὰρ αὐτῷ μὴ συμφοιτᾶν παρ' αὐτοὺς ἰόντι, λέγει δ'
οὖν φοιτᾶν αὐτὸν τοῖς μάγοις μεσημβρίας τε καὶ
ἀμφὶ μέσας νύκτας, καὶ ἔρεσθαί ποτε „τί οἱ μάγοι;“
τὸν δὲ ἀποκρίνασθαι „σοφοὶ μέν, ἀλλ' οὐ πάντα.“

Ταυτὶ μὲν ὕστερον. ἀφικομένῳ δὲ αὐτῷ ἐς XXVII
Βαβυλῶνα ὁ σατράπης ὁ ἐπὶ τῶν μεγάλων πυλῶν 21
μαθὼν ὅτι ὑπὲρ ἱστορίας ἥκοι, ὀρέγει χρυσῆν εἰκόνα
τοῦ βασιλέως, ἣν εἰ μὴ προσκυνήσειέ τις, οὐ θεμιτὸν
ἦν ἐσφοιτᾶν ἔσω. πρεσβεύοντι μὲν οὖν παρὰ τοῦ
Ῥωμαίων ἄρχοντος οὐδεμία ἀνάγκη τούτου, παρὰ
βαρβάρων δὲ ἥκοντι ἢ ἀφιστοροῦντι τὴν χώραν, εἰ
μὴ τὴν εἰκόνα προθεραπεύσειεν, ἄτιμον ἀπειλῆφθαι·
καὶ σατραπεύεται παρὰ τοῖς βαρβάροις τὰ οὕτως
εὐήθη. ἐπεὶ τοίνυν τὴν εἰκόνα εἶδε „τίς“ ἔφη „οὗ-
τος;“ ἀκούσας δὲ ὅτι ὁ βασιλεύς „οὗτος,“ εἶπεν „ὃν
ὑμεῖς προσκυνεῖτε, εἰ ἐπαινεθείη ὑπ' ἐμοῦ καλὸς
κἀγαθὸς δόξας μεγάλων τεύξεται·“ καὶ εἰπὼν ταῦτα

διὰ πυλῶν ᾔει. θαυμάσας δὲ ὁ σατράπης αὐτὸν ἐπηκολούθησέ τε καὶ κατασχὼν τὴν χεῖρα τοῦ Ἀπολλωνίου δι᾽ ἑρμηνέος ἤρετο ὄνομά τε αὐτοῦ καὶ οἶκον καὶ ὅ τι ἐπιτηδεύοι καὶ ἐφ᾽ ὅ τι φοιτῴη, καὶ ἀπογραψάμενος ταῦτα ἐς γραμματεῖον στολήν τε αὐτοῦ καὶ εἶδος ἐκεῖνον μὲν περιμεῖναι κελεύει, δραμὼν δὲ XXVIII αὐτὸς παρὰ τοὺς ἄνδρας, οἳ δὴ νομίζονται βασιλέως ὦτα, ἀνατυποῖ τὸν Ἀπολλώνιον προειπών, ὅτι μήτε προσκυνεῖν βούλεται μήτε τι ἀνθρώπῳ ἔοικεν· οἱ δὲ ἄγειν κελεύουσι τιμῶντά τε καὶ μηδὲν ὕβρει πράττοντα, ἐπεὶ δὲ ἦλθεν, ἤρετο αὐτὸν ὁ πρεσβύτατος ὅ τι μαθὼν καταφρονήσειε τοῦ βασιλέως, ὁ δὲ „οὔπω" ἔφη „κατεφρόνησα." „καταφρονήσειας δ᾽ ἄν;" πάλιν ἐρομένου „νὴ Δί᾽" εἶπεν „ἤν γε ξυγγενόμενος μὴ καλόν τε καὶ ἀγαθὸν εὕρω αὐτόν." „ἀπάγεις δὲ δὴ τίνα αὐτῷ δῶρα;" τοῦ δὲ αὖ τήν τε ἀνδρείαν καὶ δικαιοσύνην καὶ τὰ τοιαῦτα φήσαντος „πότερον," ἔφη, „ὡς οὐκ ἔχοντι;" „μὰ Δί᾽," εἶπεν „ἀλλ᾽ ὡς μαθησομένῳ χρῆσθαι, ἢν ἔχῃ αὐτάς." „καὶ μὴν χρώμενος τούτοις" ἔφη „τήν τε βασιλείαν, ἣν ὁρᾷς, ἀπολωλυῖαν αὐτῷ ἀνέλαβε τόν τε οἶκον ἐπανήγαγε τοῦτον οὐκ ἀπόνως, οὐδὲ ῥᾳθύμως." „ποστὸν δὲ δὴ τοῦτο ἔτος τῇ ἀνακτηθείσῃ ἀρχῇ;" „τρίτον" ἔφη „ἀρχόμεθα, δύο ἤδη που μῆνες." ἀναστήσας οὖν, ὥσπερ εἰώθει, τὴν γνώμην „ὦ σωματοφύλαξ," εἶπεν „ἢ ὅ τί σε προσήκει καλεῖν, Δαρεῖος ὁ Κύρου καὶ Ἀρταξέρξου πατὴρ τὰ βασίλεια ταῦτα κατασχὼν ἑξήκοντα, οἶμαι, ἔτη λέγεται τελευτὴν ὑποπτεύσας τοῦ βίου τῇ δικαιοσύνῃ θῦσαι, καὶ „ὦ δέσποινα," εἰπεῖν, „ἥ τίς ποτε εἶ·" ὥσπερ ἐπιθυμήσας μὲν πάλαι τῆς δικαιοσύνης, οὔπω δὲ αὐτὴν γιγνώσκων, οὐδὲ δοκῶν κεκτῆσθαι, τὼ παῖδέ τε

οὕτως ἀμαθῶς ἐπαίδευσεν, ὡς ὅπλα ἐπ' ἀλλήλους 17
ἄρασθαι, καὶ ὁ μὲν τρωθῆναι, ὁ δὲ ἀποθανεῖν ὑπὸ
τοῦ ἑτέρου, σὺ δ' ἤδη τοῦτον ἴσως οὐδ' ἐν τῷ βα-
σιλείῳ θρόνῳ καθῆσθαι εἰδότα ξυνειληφέναι ὁμοῦ
πάσας ἀρετὰς βούλει καὶ ἐπαίρεις αὐτὸν σοὶ φέρων,
οὐκ ἐμοί, κέρδος, εἰ βελτίων γένοιτο." βλέψας οὖν
ὁ βάρβαρος ἐς τὸν πλησίον „ἕρμαιον" ἔφη „θεῶν
37 τις ἄγει τουτονὶ τὸν ἄνδρα ἐνταῦθα, ἀγαθὸς γὰρ
ξυγγενόμενος ἀγαθῷ πολλῷ βελτίω τὸν βασιλέα ἡμῖν
ἀποφανεῖ καὶ σωφρονέστερον καὶ ἡδίω, ταυτὶ γὰρ
διαφαίνεται τοῦ ἀνδρός." ἐσέθεον οὖν εὐαγγελιζό-
μενοι πᾶσιν, ὅτι ἀνὴρ ἐπὶ ταῖς βασιλέως θύραις
ἑστήκοι σοφός τε καὶ Ἕλλην καὶ ξύμβουλος ἀγαθός.
ἐπεὶ δὲ τῷ βασιλεῖ ἀνηγγέλη ταῦτα, ἔτυχε μὲν θύων XXIX
παρόντων αὐτῷ τῶν μάγων, τὰ γὰρ ἱερὰ ὑπ' ἐκεί-
νοις δρᾶται, καλέσας δὲ αὐτῶν ἕνα „ἥκει" ἔφη „τὸ
ἐνύπνιον, ὃ διηγούμην σοι τήμερον ἐπισκοπουμένῳ
με ἐν τῇ εὐνῇ." ὄναρ δὲ ἄρα τῷ βασιλεῖ τοιοῦτον
ἀφῖκτο· ἐδόκει Ἀρταξέρξης εἶναι ὁ τοῦ Ξέρξου καὶ
μεθεστηκέναι ἐς ἐκεῖνον τὸ εἶδος, περιδεῶς τε εἶχε,
μὴ ἐς μεταβολὴν ἤδη τὰ πράγματα ἥκῃ αὐτῷ ἐς
τοῦτο ἐξηγουμένῳ τὴν μεταβολὴν τοῦ εἴδους. ἐπεὶ
δὲ ἤκουσεν Ἕλληνά τε καὶ σοφὸν εἶναι τὸν ἥκοντα,
ἐσῆλθεν αὐτὸν Θεμιστοκλῆς ὁ Ἀθηναῖος, ὃς ἀπὸ
Ἑλλήνων ποτὲ ἥκων ξυνεγένετο τῷ Ἀρταξέρξῃ καὶ
πολλοῦ ἄξιον ἐκεῖνόν τε ἐποίησεν ἑαυτόν τε παρ-
έσχετο. καὶ προτείνας τὴν δεξιὰν „κάλει," ἔφη „καὶ
γὰρ ἂν καὶ ἀπὸ τοῦ καλλίστου ἄρξαιτο ξυνθύσας
τε καὶ ξυνευξάμενος." εἰσῄει μὲν δὴ παραπεμπόμε- XXX
νος ὑπὸ πλειόνων, τουτὶ γὰρ [illegible]
χαρίζεσθαι μαθόντες ὡς χαίρο[illegible]
ἐς τὰ βασίλεια οὐ διέβλεψεν [illegible]

μένων, ἀλλ᾽ ὥσπερ ὁδοιπορῶν διῄει αὐτά, καὶ καλέσας τὸν Δάμιν „ἤρου με“ ἔφη „πρώην, ὅ τι ὄνομα ἦν τῇ Παμφύλῳ γυναικί, ἣ δὴ Σαπφοῖ τε ὁμιλῆσαι λέγεται καὶ τοὺς ὕμνους, οὓς ἐς τὴν Ἄρτεμιν τὴν Περγαίαν ᾄδουσι, ξυνθεῖναι τὸν Αἰολέων τε καὶ Παμφύλων τρόπον.“ „ἠρόμην,“ ἔφη „τὸ δὲ ὄνομα οὐκ εἶπας.“ „οὐκ, ὦ χρηστέ, εἶπον, ἀλλ᾽ ἐξηγούμην σοι τοὺς νόμους τῶν ὕμνων καὶ τὰ ὀνόματα καὶ ὅπῃ τὰ Αἰολέων ἐς τὸ ἀκρότατόν τε καὶ τὸ ἴδιον Παμφύλων παρήλλαξε· πρὸς ἄλλῳ μετὰ ταῦτα ἐγενόμεθα, καὶ οὐκέτ᾽ ἤρου με περὶ τοῦ ὀνόματος· καλεῖται τοίνυν ἡ σοφὴ αὕτη Δαμοφύλη, καὶ λέγεται τὸν Σαπφοῦς τρόπον παρθένους τε ὁμιλητρίας κτήσασθαι ποιήματά τε ξυνθεῖναι τὰ μὲν ἐρωτικά, τὰ δὲ ὕμνους. τά τοι ἐς τὴν Ἄρτεμιν καὶ παρῴδηται αὐτῇ καὶ ἀπὸ τῶν Σαπφῴων ᾖσται.“ ὅσον μὲν δὴ ἀπεῖχε τοῦ ἐκπεπλῆχθαι βασιλέα τε καὶ ὄγκον, ἐδήλου τῷ μηδὲ ὀφθαλμῶν ἄξια ἡγεῖσθαι τὰ τοιαῦτα, ἀλλὰ ἑτέρων πέρι διαλέγεσθαι κἀκεῖνα δήπου ἡγεῖσθαι ὁρᾶν.

XXXI προϊδὼν δὲ ὁ βασιλεὺς προσιόντα, καὶ γάρ τι καὶ μῆκος ἡ τοῦ ἱεροῦ αὐλὴ εἶχε, διελάλησέ τε πρὸς τοὺς ἐγγύς, οἷον ἀναγιγνώσκων τὸν ἄνδρα, πλησίον τε ἤδη γιγνομένου μέγα ἀναβοήσας „οὗτος“ ἔφη „ὁ Ἀπολλώνιος, ὃν Μεγαβάτης ὁ ἐμὸς ἀδελφὸς ἰδεῖν ἐν Ἀντιοχείᾳ φησὶ θαυμαζόμενόν τε καὶ προσκυνούμενον ὑπὸ τῶν σπουδαίων, καὶ ἀπεζωγράφησέ μοι τότε τοιοῦτον αὐτόν, ὁποῖος ἥκει. προσελθόντα δὲ καὶ ἀσπασάμενον προσεῖπέ τε ὁ βασιλεὺς φωνῇ Ἑλλάδι καὶ (δὴ) ἐκέλευσε θύειν μετ᾽ αὐτοῦ· λευκὸν
18 δὲ ἄρα ἵππον τῶν σφόδρα Νισαίων καταθύσειν ἔμελλε τῷ Ἡλίῳ φαλάροις κοσμήσας, ὥσπερ ἐς πομπήν, ὁ δ᾽ ὑπολαβὼν „σὺ μέν, ὦ βασιλεῦ, θῦε,“ ἔφη,

„τὸν σαυτοῦ τρόπον, ἐμοὶ δὲ ξυγχώρησον θῦσαι τὸν
ἐμαυτοῦ·“ καὶ δραξάμενος τοῦ λιβανωτοῦ, „Ἥλιε,“
ἔφη, „πέμπε με ἐφ᾽ ὅσον τῆς γῆς ἐμοί τε καὶ σοὶ
40 δοκεῖ, καὶ γιγνώσκοιμι ἄνδρας ἀγαθούς, φαύλους δὲ
μήτε ἐγὼ μάθοιμι μήτε ἐμὲ φαῦλοι.“ καὶ εἰπὼν
ταῦτα τὸν λιβανωτὸν ἐς τὸ πῦρ ἧκεν, ἐπισκεψάμενος
δὲ αὐτὸ ὅπη διανίσταται καὶ ὅπη θολοῦται καὶ ὁπό-
σαις κορυφαῖς ᾄττει καί που καὶ ἐφαπτόμενος τοῦ
πυρός, ὅπη εὔσημόν τε καὶ καθαρὸν φαίνοιτο „θῦε,“
ἔφη, „λοιπόν, ὦ βασιλεῦ, κατὰ τὰ σαυτοῦ πάτρια,
τὰ γὰρ πάτρια τἀμὰ τοιαῦτα.“ καὶ ἀνεχώρησε τῆς XXXII
θυσίας, ὡς μὴ κοινωνοίη τοῦ αἵματος. μετὰ δὲ τὴν
θυσίαν προσῆλθε καὶ „ὦ βασιλεῦ,“ ἔφη „τὴν φωνὴν
τὴν Ἑλλάδα πᾶσαν γιγνώσκεις, ἢ σμικρὰ αὐτῆς ὑπὲρ
τοῦ εὐξυμβόλου ἴσως καὶ τοῦ μὴ ἀηδὴς δοκεῖν, εἴ
τις ἀφίκοιτο Ἕλλην;“ „πᾶσαν“ εἶπεν „ἴσα τῇ ἐγχω-
ρίῳ ταύτῃ, καὶ λέγε ὅ τι βούλει, διὰ τοῦτο γάρ που
ἐρωτᾷς·“ „διὰ τοῦτο“ ἔφη „καὶ ἄκουε· ἡ μὲν ὁρμή
μοι τῆς ἀποδημίας Ἰνδοί εἰσι, παρελθεῖν δὲ οὐδ᾽
ὑμᾶς ἐβουλήθην, σέ τε ἀκούων ἄνδρα, οἷον ἐξ ὄνυ-
χος ἤδη ὁρῶ, σοφίαν τε, ἥπερ ὑμῖν ἐστιν ἐπιχώριος
μελετωμένη μάγοις ἀνδράσι, κατιδεῖν δεόμενος, εἰ
τὰ θεῖα, ὡς λέγονται, σοφοί εἰσι· σοφία δὲ ἐμοὶ Πυ-
θαγόρου Σαμίου ἀνδρός, ὃς θεούς τε θεραπεύειν
ὧδέ με ἐδιδάξατο καὶ ξυνιέναι σφῶν ὁρωμένων τε
καὶ οὐχ ὁρωμένων φοιτᾶν τε ἐς διάλεξιν θεῶν καὶ
41 γηίνῳ τούτῳ ἐρίῳ ἐστάλθαι, οὐ γὰρ προβάτου ἐπέχθη,
ἀλλ᾽ ἀκήρατος ἀκηράτων φύεται ὕδατός τε καὶ γῆς
δῶρα ὀθόνη· καὶ αὐτὸ δὲ τὸ ἄνετον τῆς κόμης ἐκ
Πυθαγόρου ἐπήσκησα, καὶ τὸ καθαρεύειν ζῴου βο-
ρᾶς ἐκ τῆς ἐκείνου μοι σοφίας ἥκει. ξυμπότης μὲν
δὴ καὶ κοινωνὸς ῥᾳστώνης ἢ τρυφῆς οὔτ᾽ ἂν σοι

γενοίμην οὔτ' ἂν ἑτέρῳ οὐδενί, φροντίδων δὲ ἀπόρων τε καὶ δυσευρέτων δοίην ἂν λύσεις οὐ γιγνώσκων τὰ πρακτέα μόνον, ἀλλὰ καὶ προγιγνώσκων." ταῦτα ὁ Δάμις μὲν διαλεχθῆναί φησι τὸν ἄνδρα, Ἀπολλώνιος δὲ ἐπιστολὴν αὐτὰ πεποίηται, πολλὰ δὲ καὶ ἄλλα τῶν ἑαυτῷ ἐς διάλεξιν εἰρημένων ἐς ἐπιστολὰς ἀνετυπώσατο.

XXXIII Ἐπεὶ δὲ χαίρειν ὁ βασιλεὺς ἔφη καὶ ἀγάλλεσθαι ἥκοντι μᾶλλον, ἢ εἰ τὰ Περσῶν καὶ Ἰνδῶν πρὸς τοῖς οὖσιν αὐτῷ ἐκτήσατο, ξένον τε ποιεῖσθαι καὶ κοινωνὸν τῆς βασιλείου στέγης, „εἰ ἐγώ σε, ὦ βασιλεῦ," εἶπεν „ἐς πατρίδα τὴν ἐμὴν Τύανα ἥκοντα ἠξίουν οἰκεῖν οὗ ἐγώ, οἰκῆσαι ἂν ἤρας;" „μὰ Δί'" εἶπεν „εἰ μὴ τοσαύτην γε οἰκίαν οἰκήσειν ἔμελλον, ὁπόσην δορυφόρους τε καὶ σωματοφύλακας ἐμοὺς αὐτόν τε ἐμὲ λαμπρῶς δέξασθαι." „ὁ αὐτὸς οὖν" ἔφη „καὶ παρ' ἐμοῦ λόγος· εἰ γὰρ ὑπὲρ ἐμαυτὸν οἰκήσω, πονήρως διαιτήσομαι, τὸ γὰρ ὑπερβάλλον λυπεῖ τοὺς σοφοὺς μᾶλλον ἢ ὑμᾶς τὸ ἐλλεῖπον· ξενιζέτω με οὖν ἰδιώτης ἔχων ὁπόσα ἐγώ, σοὶ δὲ ἐγὼ ξυνέσομαι ὁπόσα βούλει." ξυνεχώρει ὁ βασιλεύς, ὡς μὴ ἀηδές τι αὐτῷ λάθοι πράξας, καὶ ᾤκησε παρ' ἀνδρὶ Βαβυλωνίῳ χρηστῷ τε καὶ ἄλλως γενναίῳ. δειπνοῦντι δὲ ἤδη εὐνοῦχος ἐφίσταται τῶν τὰς ἀγγελίας διαφερόντων καὶ προσειπὼν τὸν ἄνδρα „βασιλεὺς" ἔφη „δωρεῖταί σε δέκα δωρεαῖς καὶ ποιεῖται κύριον τοῦ ἐπαγγεῖλαι αὐτάς, δεῖται δέ σου μὴ μικρὰ αἰτῆσαι, μεγαλοφροσύνην γὰρ ἐνδείξασθαι σοί τε καὶ ἡμῖν βούλεται." ἐπαινέσας δὲ τὴν ἐπαγγελίαν
19 „πότε οὖν χρὴ αἰτεῖν;" ἤρετο, ὁ δὲ „αὔριον" ἔφη, καὶ ἅμα ἐφοίτησε παρὰ πάντας τοὺς βασιλέως φίλους τε καὶ ξυγγενεῖς, παρεῖναι κελεύων αἰτοῦντι καὶ

τιμωμένῳ τῷ ἀνδρί. φησὶ δὲ ὁ Δάμις ξυνιέναι μέν, ὅτι μηδὲν αἰτήσοι, τόν τε τρόπον αὐτοῦ καθεωρακὼς καὶ εἰδὼς εὐχόμενον τοῖς θεοῖς εὐχὴν τοιαύτην. „ὦ θεοί, δοίητέ μοι μικρὰ ἔχειν καὶ δεῖσθαι μηδενός.“ ἐφεστηκότα μέντοι ὁρῶν καὶ ἐνθυμουμένῳ ὅμοιον οἴεσθαι ὡς αἰτήσοι μέν, βασανίζοι δέ, ὅ τι μέλλει αἰτήσειν. ὁ δὲ ἑσπέρας ἤδη „ὦ Δάμι,“ ἔφη „θεωρῶ πρὸς ἐμαυτόν, ἐξ ὅτου ποτὲ οἱ βάρβαροι τοὺς εὐνούχους σώφρονας ἡγοῦνται καὶ ἐς τὰς γυναικωνίτιδας ἐσάγονται.“ „ἀλλὰ τοῦτο,“ ἔφη „ὦ Ἀπολλώνιε, καὶ παιδὶ δῆλον· ἐπειδὴ γὰρ ἡ τομὴ τὸ ἀφροδισιάζειν ἀφαιρεῖται σφᾶς, ἀνεῖνταί σφισιν αἱ γυναικωνίτιδες, κἂν ξυγκαθεύδειν ταῖς γυναιξὶ βούλωνται.“ „τὸ δὲ ἐρᾶν“ εἶπεν „ἢ τὸ ξυγγίγνεσθαι γυναιξὶν ἐκτετμῆσθαι αὐτοὺς οἴει;“ „ἄμφω,“ ἔφη „εἰ γὰρ σβεσθείη τὸ μόριον ὑφ' οὗ διοιστρεῖται τὸ σῶμα, οὐδ' ἂν τὸ ἐρᾶν ἐπέλθοι οὐδενί.“ ὁ δὲ βραχὺ ἐπισχὼν „αὔριον,“ ἔφη „ὦ Δάμι, μάθοις ἄν, ὅτι καὶ εὐνοῦχοι ἐρῶσι καὶ τὸ ἐπιθυμητικόν, ὅπερ ἐσάγονται διὰ τῶν ὀφθαλμῶν, οὐκ ἀπομαραίνεται σφῶν, ἀλλ' ἐμμένει θερμόν τε καὶ ζώπυρον, δεῖ γάρ τι περιπεσεῖν, ὃ τὸν σὸν ἐλέγξει λόγον. εἰ δὲ καὶ τέχνη τις ἦν ἀνθρωπεία τύραννός τε καὶ δυνατὴ τὰ τοιαῦτα ἐξωθεῖν τῆς γνώμης, οὐκ ἄν μοι δοκῶ τοὺς εὐνούχους ποτὲ ἐς τὰ τῶν σωφρονούντων ἤθη προσγράψαι κατηναγκασμένους τὴν σωφροσύνην καὶ βιαίῳ τέχνῃ ἐς τὸ μὴ ἐρᾶν ἠγμένους. σωφροσύνη γὰρ τὸ ὀρεγόμενόν τε καὶ ὁρμῶντα μὴ ἡττᾶσθαι ἀφροδισίων, ἀλλ' ἀπέχεσθαι καὶ κρείττω φαίνεσθαι τῆς λύττης ταύτης.“ ὑπολαβὼν οὖν ὁ Δάμις „ταῦτα μὲν καὶ αὖθις ἐπισκεψόμεθα,“ ἔφη „ὦ Ἀπολλώνιε, ἃ δὲ χρὴ ἀποκρίνασθαι αὔριον πρὸς τὴν τοῦ βασιλέως ἐπαγγελίαν

λαμπρὰν οὖσαν διεσκέφθαι προσήκει. αἰτήσεις μὲν
γὰρ ἴσως οὐδέν, τὸ δ᾽ ὅπως ἂν μὴ ἄλλῳ, φασί,
τύφῳ παραιτεῖσθαι δοκοίης, ἅπερ ἂν ὁ βασιλεὺς διδῷ,
τοῦτο ὅρα καὶ φυλάττου αὐτό, ὁρῶν οἷ τῆς γῆς εἰ 43
καὶ ὅτι ἐπ᾽ αὐτῷ κείμεθα. δεῖ δὲ φυλάττεσθαι δια-
βολάς, ὡς ὑπεροψίᾳ χρώμενον, γιγνώσκειν τε ὡς νῦν
μὲν ἐφόδιά ἐστιν ἡμῖν ὁπόσα ἐς Ἰνδοὺς πέμψαι, ἐπαν-
ιοῦσι δὲ ἐκεῖθεν οὔτ᾽ ἂν ἀποχρῆσαι ταῦτα, γένοιτο
δὲ οὐκ ἂν ἕτερα.“ καὶ τοιᾷδε ὑπέθαλπεν αὐτὸν τέ-
XXXV χνῃ, μὴ ἀπαξιῶσαι λαβεῖν, ὅ τι διδοίη, ὁ δὲ Ἀπολ-
λώνιος ὥσπερ ξυλλαμβάνων αὐτῷ τοῦ λόγου „παρα-
δειγμάτων δέ,“ εἶπεν „ὦ Δάμι, ἀμελήσεις; ἐν οἷς
ἐστιν, ὡς Αἰσχίνης μὲν ὁ τοῦ Λυσανίου παρὰ Διο-
νύσιον ἐς Σικελίαν ὑπὲρ χρημάτων ᾤχετο, Πλάτων
δὲ τρὶς ἀναμετρῆσαι λέγεται τὴν Χάρυβδιν ὑπὲρ
πλούτου Σικελικοῦ, Ἀρίστιππος δὲ ὁ Κυρηναῖος καὶ
Ἑλίκων ὁ ἐκ Κυζίκου καὶ Φύτων, ὅτ᾽ ἔφευγεν, ὁ Ῥη-
γῖνος, οὕτω τι ἐς τοὺς Διονυσίου κατέδυσαν θησαυ-
ρούς, ὡς μόγις ἀνασχεῖν ἐκεῖθεν. καὶ μὴν καὶ τὸν
Κνίδιόν φασιν Εὔδοξον, ἐς Αἴγυπτόν ποτε ἀφικόμε-
νον ὑπὲρ χρημάτων τε ὁμολογεῖν ἥκειν καὶ διαλέγε-
σθαι τῷ βασιλεῖ ὑπὲρ τούτου, καὶ ἵνα μὴ πλείους
διαβάλλω, Σπεύσιππον τὸν Ἀθηναῖον οὕτω τι ἐρασι-
χρήματον γενέσθαι φασίν, ὡς ἐπὶ τὸν Κασάνδρου
20 γάμον ἐς Μακεδονίαν κωμάσαι ποιήματα ψυχρὰ ξυν-
θέντα, καὶ δημοσίᾳ ταῦθ᾽ ὑπὲρ χρημάτων ᾆσαι. ἐγὼ
δὲ ἡγοῦμαι, ὦ Δάμι, τὸν ἄνδρα τὸν σοφὸν πλείω
κινδυνεύειν ἢ οἱ πλέοντές τε καὶ ξὺν ὅπλοις μαχό-
μενοι, φθόνος γὰρ ἐπ᾽ αὐτὸν στείχει καὶ σιωπῶντα 44
καὶ φθεγγόμενον καὶ ξυντείνοντα καὶ ἀνιέντα κἂν
παρέλθῃ τι κἂν προσέλθῃ τῳ κἂν προσείπῃ κἂν μὴ
προσείπῃ. δεῖ δὲ πεφράχθαι τὸν ἄνδρα γιγνώσκειν

τε ὡς ἀργίας μὲν ἡττηθεὶς ὁ σοφὸς ἢ χολῆς ἢ ἔρωτος ἢ φιλοποσίας ἢ ἑτοιμότερόν τε τοῦ καιροῦ πράξας ἴσως ἂν καὶ ξυγγνώμην φέροιτο, χρήμασι δὲ ὑποθεὶς ἑαυτὸν οὔτ᾽ ἂν ξυγγινώσκοιτο καὶ μισοῖτ᾽ ἄν, ὡς ὁμοῦ πάσας κακίας συνειληφώς· μὴ γὰρ ἂν ἡττηθῆναι χρημάτων αὐτόν, εἰ μὴ γαστρὸς ἥττητο καὶ ἀμπεχόνης καὶ οἴνου καὶ τοῦ ἐς ἑταίρας φέρεσθαι. σὺ δ᾽ ἴσως ἡγῇ τὸ ἐν Βαβυλῶνι ἁμαρτεῖν ἧττον εἶναι τοῦ Ἀθήνησιν ἢ Ὀλυμπίασιν ἢ Πυθοῖ, καὶ οὐκ ἐνθυμῇ ὅτι σοφῷ ἀνδρὶ Ἑλλὰς πάντα καὶ οὐδὲν ἔρημον ἢ βάρβαρον χωρίον οὔτε ἡγήσεται ὁ σοφὸς οὔτε νομιεῖ ζῶν γε ὑπὸ τοῖς τῆς ἀρετῆς ὀφθαλμοῖς, καὶ βλέπει μὲν ὀλίγους τῶν ἀνθρώπων, μυρίοις δ᾽ ὄμμασιν αὐτὸς ὁρᾶται. εἰ δὲ καὶ ἀθλητῇ ξυνῆσθα τούτων τινί, ὦ Δάμι, οἳ παλαίειν τε καὶ παγκρατιάζειν ἀσκοῦσιν, ἆρα ἂν ἠξίους αὐτόν, εἰ μὲν Ὀλύμπια ἀγωνίζοιτο καὶ ἐς Ἀρκαδίαν ἴοι, γενναῖόν τε καὶ ἀγαθὸν εἶναι, καὶ νὴ Δί᾽, εἰ Πύθια ἄγοιτο ἢ Νέμεα, ἐπιμελεῖσθαι τοῦ σώματος, ἐπειδὴ φανεροὶ οἱ ἀγῶνες καὶ τὰ στάδια ἐν σπουδαίῳ τῆς Ἑλλάδος, εἰ δὲ θύοι Φίλιππος Ὀλύμπια πόλεις ᾑρηκὼς ἢ ὁ τούτου παῖς Ἀλέξανδρος ἐπὶ ταῖς ἑαυτοῦ νίκαις ἀγῶνα ἄγοι, χεῖρον ἤδη παρασκευάζειν τὸ σῶμα καὶ μὴ φιλονίκως ἔχειν, ἐπειδὴ ἐν Ὀλύνθῳ ἀγωνιεῖται ἢ Μακεδονίᾳ ἢ Αἰγύπτῳ, ἀλλὰ μὴ ἐν Ἕλλησι καὶ σταδίοις τοῖς ἐκεῖ;“ ὑπὸ μὲν δὴ τῶν λόγων τούτων ὁ Δάμις οὕτω διατεθῆναί φησιν, ὡς ξυγκαλύψασθαί τε ἐφ᾽ οἷς αὐτὸς εἰρηκὼς ἔτυχε παραιτεῖσθαί τε τὸν Ἀπολλώνιον ξυγγνώμην αὐτῷ ἔχειν, εἰ μήπω κατανενοηκὼς αὐτὸν ἐς ξυμβουλίαν τε καὶ πειθὼ τοιαύτην ὥρμησεν. ὁ δὲ ἀναλαμβάνων αὐτὸν „θάρρει,“ ἔφη „οὐ γὰρ ἐπίπληξιν ποιούμενος, ἀλλὰ τοὐμὸν ὑπογράφων

XXXVI σοι ταῦτα εἶπον." ἀφικομένου δὲ τοῦ εὐνούχου καὶ 41
καλοῦντος αὐτὸν παρὰ τὸν βασιλέα „ἀφίξομαι," εἶπεν „ἐπειδὰν τὰ πρὸς τοὺς θεοὺς εὖ μοι ἔχῃ." θύσας οὖν καὶ εὐξάμενος ἀπῄει περιβλεπόμενός τε καὶ θαυμαζόμενος τοῦ σχήματος. ὡς δὲ ἔσω παρῆλθε, „δίδωμί σοι" ἔφη ὁ βασιλεὺς „δέκα δωρεὰς ἄνδρα σε ἡγούμενος, οἷος οὔπω τις ἀπὸ Ἑλλήνων δεῦρ' ἦλθεν." ὁ δὲ ὑπολαβὼν „οὐ πάσας," εἶπεν „ὦ βασιλεῦ, παραιτήσομαι, „μίαν δέ, ἣν ἀντὶ πολλῶν δεκάδων αἱροῦμαι, προθύμως αἰτήσω·" καὶ ἅμα τὸν περὶ τῶν Ἐρετριέων διῆλθε λόγον ἀναλαβὼν ἀπὸ τοῦ Δάτιδος. „αἰτῶ οὖν" ἔφη „μὴ περικόπτεσθαι τοὺς ἀθλίους τούτους τῶν ὁρίων τε καὶ τοῦ λόφου, ἀλλὰ νέμεσθαι σφᾶς μέτρον τῆς γῆς, ὃ Δαρεῖος ἐνόμισε, δεινὸν γάρ, εἰ τῆς αὐτῶν ἐκπεσόντες μηδ' ἣν ἀντ' ἐκείνης ἔχουσιν, ἕξουσιν." ξυντιθέμενος οὖν ὁ βασιλεὺς „Ἐρετριεῖς" εἶπεν „ἐς μὲν τὴν χθὲς ἡμέραν ἐμοῦ τε πολέμιοι καὶ πατέρων ἐμῶν ἦσαν, ἐπειδὴ ὅπλων ποτὲ ἐφ' ἡμᾶς ἦρξαν, καὶ παρεωρῶντο, ὡς τὸ γένος αὐτῶν ἀφανισθείη, λοιπὸν δὲ φίλοι τε ἀναγεγράψονται καὶ σατραπεύσει αὐτῶν ἀνὴρ ἀγαθός, ὃς δικαιώσει τὴν χώραν. τὰς δὲ ἐννέα δωρεὰς" ἔφη „διὰ τί οὐ λήψῃ;" „ὅτι, ὦ βασιλεῦ" εἶπεν „οὔπω φίλους ἐνταῦθα ἐκτησάμην." „αὐτὸς δὲ οὐδενὸς δέῃ;" φήσαντος· „τῶν γε τραγημάτων" ἔφη „καὶ τῶν ἄρτων, ἅ με ἡδέως τε καὶ λαμπρῶς
XXXVII ἑστιᾷ." τοιαῦτα δὴ λαλούντων πρὸς ἀλλήλους
21 κραυγὴ τῶν βασιλείων ἐξεφοίτησεν εὐνούχων καὶ γυναικῶν ἅμα· εἴληπτο δὲ ἄρα εὐνοῦχός τις ἐπὶ μιᾷ τῶν τοῦ βασιλέως παλλακῶν ξυγκατακείμενός τε καὶ ὁπόσα οἱ μοιχοὶ πράττων, καὶ ἦγον αὐτὸν οἱ ἀμφὶ τὴν γυναικωνῖτιν ἐπισπῶντες τῆς κόμης, ὃν δὴ ἄγονται

τρόπον οἱ βασιλέως δοῦλοι. ἐπεὶ δὲ ὁ πρεσβύτατος τῶν εὐνούχων ἐρῶντα μὲν τῆς γυναικὸς πάλαι ᾐσθῆσθαι ἔφη καὶ προειρηκέναι οἱ, μὴ προσδιαλέγεσθαι αὐτῇ, μηδὲ ἅπτεσθαι δέρης ἢ χειρός, μηδὲ κοσμεῖν ταύτην μόνην τῶν ἔνδον, νῦν δὲ καὶ ξυγκατακείμενον εὑρηκέναι καὶ ἀνδριζόμενον ἐπὶ τὴν γυναῖκα, ὁ μὲν Ἀπολλώνιος ἐς τὸν Δάμιν εἶδεν, ὡς δὴ τοῦ λό-
46 γου ἀποδεδειγμένου, ὃς ἐφιλοσοφεῖτο αὐτοῖς περὶ τοῦ καὶ εὐνούχων τὸ ἐρᾶν εἶναι, ὁ δὲ βασιλεὺς πρὸς τοὺς παρόντας „ἀλλ' αἰσχρόν γε“ εἶπεν „ὦ ἄνδρες, παρόντος ἡμῖν Ἀπολλωνίου περὶ σωφροσύνης ἡμᾶς, ἀλλὰ μὴ τοῦτον, ἀποφαίνεσθαι· τί οὖν κελεύεις, Ἀπολλώνιε, παθεῖν αὐτόν;“ „τί δὲ ἄλλο ἢ ζῆν;“ εἶπε παρὰ τὴν πάντων ἀποκρινάμενος δόξαν. ἀνερυθριάσας οὖν ὁ βασιλεὺς „εἶτα οὐ πολλῶν“ ἔφη „θανάτων ἄξιος ὑφέρπων οὕτως τὴν εὐνὴν τὴν ἐμήν;“ „ἀλλ' οὐχ ὑπὲρ ξυγγνώμης“ ἔφη „βασιλεῦ, ταῦτα εἶπον, ἀλλ' ὑπὲρ τιμωρίας, ἣ ἀποκναίσει αὐτόν· εἰ γὰρ ζήσεται νοσῶν καὶ ἀδυνάτων ἁπτόμενος καὶ μήτε σῖτα μήτε ποτὰ ἥσει αὐτὸν μήτε θεάματα, ἃ σέ τε καὶ τούς σοι συνόντας εὐφρανεῖ, πηδήσεταί τε ἡ καρδία θαμὰ ἐκθρώσκοντος τοῦ ὕπνου, ὃ δὴ μάλιστα περὶ τοὺς ἐρῶντάς φασι γίγνεσθαι, [καὶ], τίς μὲν οὕτω φθόη τήξει αὐτόν, τίς δὲ οὕτω λιμὸς ἐπιθρύψει τὰ σπλάγχνα; εἰ δὲ μὴ τῶν φιλοψύχων εἴη τις, αὐτός, ὦ βασιλεῦ, δεήσεταί σού ποτε καὶ ἀποκτεῖναι αὐτὸν ἢ ἑαυτόν γε ἀποκτενεῖ πολλὰ ὀλοφυρόμενος τὴν παροῦσαν ταύτην ἡμέραν, ἐν ᾗ μὴ εὐθὺς ἀπέθανε.“ τοῦτο μὲν δὴ τοιοῦτον τοῦ Ἀπολλωνίου καὶ οὕτω σοφόν τε καὶ ἥμερον, ἐφ' ᾧ ὁ βασιλεὺς ἀνῆκε τὸν θάνατον τῷ εὐνούχῳ.

Μέλλων δέ ποτε πρὸς θήρᾳ γίγνεσθαι τῶν ἐν XXXVIII

τοῖς παραδείσοις θηρίων, ἐς οὓς λέοντές τε ἀπό-
κεινται τοῖς βαρβάροις καὶ ἄρκτοι καὶ παρδάλεις,
ἠξίου τὸν Ἀπολλώνιον παρατυχεῖν οἱ θηρῶντι, ὁ δὲ
„ἐκλέλησαι, ὦ βασιλεῦ," ἔφη „ὅτι μηδὲ θύοντί σοι
παρατυγχάνω; καὶ ἄλλως οὐχ ἡδὺ θηρίοις βεβασα-
νισμένοις καὶ παρὰ τὴν φύσιν τὴν ἑαυτῶν δεδουλω-
μένοις ἐπιτίθεσθαι." ἐρομένου δὲ αὐτὸν τοῦ βασι-
λέως, πῶς ἂν βεβαίως καὶ ἀσφαλῶς ἄρχοι, „πολλοὺς"
ἔφη „τιμῶν, πιστεύων δὲ ὀλίγοις." πρεσβευομένου
δέ ποτε τοῦ τῆς Συρίας ἄρχοντος περὶ κωμῶν, οἶμαι,
δύο προσοίκων τῷ Ζεύγματι καὶ φάσκοντος ὑπακη-
κοέναι μὲν αὐτὰς Ἀντιόχῳ καὶ Σελεύκῳ πάλαι, νῦν
δὲ ὑπ' αὐτῷ εἶναι Ῥωμαίοις προσηκούσας, καὶ τοὺς 47
μὲν Ἀραβίους τε καὶ Ἀρμενίους μὴ ἐνοχλεῖν τὰς
κώμας, αὐτὸν δὲ ὑπερβαίνοντα τοσαύτην γῆν καρ-
ποῦσθαι σφᾶς, ὡς αὐτοῦ μᾶλλον ἢ Ῥωμαίων οὔσας,
μεταστησάμενος ὁ βασιλεὺς τοὺς πρέσβεις „τὰς μὲν
κώμας ταύτας," ἔφη „Ἀπολλώνιε, ξυνεχώρησαν τοῖς
ἐμοῖς προγόνοις οἱ βασιλεῖς, οὓς εἶπον, τροφῆς ἕνεκα
τῶν θηρίων, ἃ παρ' ἡμῖν ἁλισκόμενα φοιτᾷ ἐς τὴν
ἐκείνων διὰ τοῦ Εὐφράτου, οἱ δ', ὥσπερ ἐκλαθόμενοι
τούτου καινῶν τε καὶ ἀδίκων ἅπτονται. τίς οὖν
φαίνεταί σοι τῆς πρεσβείας ὁ νοῦς;" „μέτριος, ὦ
βασιλεῦ," ἔφη „καὶ ἐπιεικής, εἰ, ἃ δύνανται καὶ
ἄκοντος ἔχειν ἐν τῇ ἑαυτῶν ὄντα, βούλονται παρ'
ἑκόντος εὑρίσκεσθαι μᾶλλον." προσετίθει δὲ καὶ τὸ
μὴ δεῖν ὑπὲρ κωμῶν, ὧν μείζους κέκτηνται τάχα καὶ
22 ἰδιῶται, διαφέρεσθαι πρὸς Ῥωμαίους καὶ πόλεμον
οὐδ' ὑπὲρ μεγάλων αἴρεσθαι. νοσοῦντι δὲ τῷ βα-
σιλεῖ παρὼν τοσαῦτά τε καὶ οὕτω θεῖα περὶ ψυχῆς
διεξῆλθεν, ὡς τὸν βασιλέα ἀναπνεῦσαι καὶ πρὸς τοὺς
παρόντας εἰπεῖν, ὅτι „Ἀπολλώνιος οὐχ ὑπὲρ τῆς

βασιλείας μόνης ἀφροντιστεῖν εἴργασταί με, ἀλλὰ καὶ
ὑπὲρ τοῦ θανάτου.“ τὴν δὲ σήραγγα τὴν ὑπὸ τῷ XXXIX
Εὐφράτῃ δεικνύντος αὐτῷ ποτε τοῦ βασιλέως καὶ
„τί σοι φαίνεται τὸ θαῦμα;“ εἰπόντος καταβάλλων
τὴν τερατουργίαν ὁ Ἀπολλώνιος „θαῦμα ἂν ἦν, ὦ
βασιλεῦ,“ ἔφη, „εἰ διὰ τοῦ ποταμοῦ βαθέος οὕτω
καὶ ἀπόρου ὄντος πεζῇ ἐβαδίζετε.“ δείξαντος δὲ καὶ
τὰ ἐν Ἐκβατάνοις τείχη καὶ θεῶν φάσκοντος ταῦτα
εἶναι οἴκησιν „θεῶν μὲν οὐκ ἔστιν ὅλως οἴκησις,“
εἶπεν „εἰ δὲ ἀνδρῶν οὐκ οἶδα· ἡ γὰρ Λακεδαιμο-
νίων, ὦ βασιλεῦ, πόλις ἀτείχιστος ᾤκισται.“ καὶ
μὴν καὶ δίκην τινὰ δικάσαντος αὐτοῦ κώμαις καὶ
μεγαλοφρονουμένου πρὸς τὸν Ἀπολλώνιον, ὡς δυοῖν
ἡμερῶν ἠκροαμένος εἴη τῆς δίκης „βραδέως γ’“
ἔφη „τὸ δίκαιον εὗρες.“ χρημάτων δὲ ἐκ τῆς ὑπη-
κόου φοιτησάντων ποτὲ ἀθρόων ἀνοίξας τοὺς θησαυ-
ροὺς ἐδείκνυ τῷ ἀνδρὶ τὰ χρήματα ὑπαγόμενος αὐτὸν
48 ἐς ἐπιθυμίαν πλούτου, ὁ δὲ οὐδὲν ὧν εἶδε θαυμάσας
„σοὶ ταῦτα,“ ἔφη „ὦ βασιλεῦ, χρήματα, ἐμοὶ δὲ
ἄχυρα·“ „τί ἂν οὖν“ ἔφη „πράττων καλῶς αὐτοῖς
χρησαίμην;“ „χρώμενος,“ ἔφη „βασιλεὺς γὰρ εἶ.“

Πολλὰ τοιαῦτα πρὸς τὸν βασιλέα εἰπὼν καὶ τυ- XL
χὼν αὐτοῦ προθύμου πράττειν ἃ ξυνεβούλευεν, ἔτι καὶ τῆς πρὸς τοὺς μάγους ξυνουσίας ἱκανῶς ἔχων „ἄγε, ὦ Δάμι,“ ἔφη „ἐς Ἰνδοὺς ἴωμεν. οἱ μὲν γὰρ τοῖς Λωτοφάγοις προσπλεύσαντες ἀπήγοντο τῶν οἰκείων ἠθῶν ὑπὸ τοῦ βρώματος, ἡμεῖς δὲ μὴ γευόμενοί τινος τῶν ἐνταῦθα καθήμεθα πλείω χρόνου τοῦ εἰκότος τε καὶ ξυμμέτρου.“ „κἀμοὶ“ ἔφη ὁ Δάμις „ὑπερδοκεῖ ταῦτα· ἐπεὶ δὲ ἐνεθυμούμην τὸν χρόνον, ὃν ἐν τῇ λεαίνῃ διεσκέψω, περιέμενον ἀνυσθῆναι αὐτόν· οὔπω μὲν οὖν ἐξήκει πᾶς, ἐνιαυτὸς

γὰρ ἡμῖν ἤδη καὶ μῆνες τέτταρες· εἰ δὲ ἤδη κομιζοίμεθα, εὖ ἂν ἔχοι; „οὐδὲ ἀνήσει ἡμᾶς," ἔφη „ὦ Δάμι, ὁ βασιλεὺς πρότερον ἢ τὸν ὄγδοον τελευτῆσαι μῆνα· χρηστὸν γάρ που ὁρᾷς αὐτὸν καὶ κρείττω ἢ
XLI βαρβάρων ἄρχειν." ἐπεὶ δὲ ἀπαλλάττεσθαι λοιπὸν ἐδόκει καὶ ξυνεχώρησέ ποτε ὁ βασιλεὺς ἀπιέναι, ἀνεμνήσθη τῶν δωρεῶν ὁ Ἀπολλώνιος, ἃς ἀνεβάλλετο ἔς τ' ἂν φίλοι αὐτῷ γένωνται, καὶ „ὦ βέλτιστε" ἔφη „βασιλεῦ, τὸν ξένον οὐδὲν εὖ πεποίηκα καὶ μισθὸν ὀφείλω τοῖς μάγοις· σὺ οὖν ἐπιμελήθητι αὐτῶν καὶ τοὐμὸν προθυμήθητι περὶ ἄνδρας σοφούς τε καὶ σοὶ σφόδρα εὔνους." ὑπερησθεὶς οὖν ὁ βασιλεὺς „τούτους μὲν αὔριον ζηλωτοὺς" ἔφη „καὶ μεγάλων ἠξιωμένους ἀποδείξω σοι, σὺ δ' ἐπεὶ μηδενὸς δέῃ τῶν ἐμῶν, ἀλλὰ τούτοις γε ξυγχώρησον χρήματα παρ' ἐμοῦ λαβεῖν καὶ ὅ τι βούλονται," τοὺς ἀμφὶ τὸν Δάμιν δείξας. ἀποστραφέντων οὖν κἀκείνων τὸν λόγον τοῦτον „ὁρᾷς," ἔφη „ὦ βασιλεῦ, τὰς ἐμὰς χεῖρας, ὡς πολλαί τέ εἰσι καὶ ἀλλήλαις ὅμοιαι;" „σὺ δὲ ἀλλὰ ἡγεμόνα ἄγου" ὁ βασιλεὺς ἔφη „καὶ καμήλους, ἐφ' ὧν ὀχήσεσθε, τὸ γὰρ μῆκος τῆς ὁδοῦ κρεῖττον ἢ βαδίσαι πᾶσαν." „γιγνέσθω," ἔφη „ὦ βασιλεῦ, 49
τοῦτο, φασὶ γὰρ τὴν ὁδὸν ἄπορον εἶναι μὴ οὕτως ὀχουμένῳ, καὶ ἄλλως τὸ ζῷον εὔσιτόν τε καὶ ῥᾴδιον βόσκειν, ὅπου μὴ χιλὸς εἴη. καὶ ὕδωρ δέ, οἶμαι, χρὴ ἐπισιτίσασθαι καὶ ἀπάγειν αὐτὸ ἐν ἀσκοῖς, ὥσπερ τὸν οἶνον." „τριῶν ἡμερῶν" ἔφη ὁ βασιλεὺς „ἄνυδρος ἡ χώρα, μετὰ ταῦτα δὲ πολλὴ ἀφθονία ποταμῶν τε καὶ πηγῶν, βαδίζειν δὲ (δεῖ) τὴν ἐπὶ Καυκάσου,
23 τὰ γὰρ ἐπιτήδεια ἄφθονα καὶ φίλη ἡ χώρα." ἐρομένου δὲ αὐτὸν τοῦ βασιλέως ὅ τι αὐτῷ ἀπάξει ἐκεῖθεν· „χαρίεν" ἔφη „ὦ βασιλεῦ, δῶρον· ἢν γὰρ ἡ

συνουσία τῶν ἀνδρῶν σοφώτερόν με ἀποφήνῃ, βελτίων ἀφίξομαί σοι ἢ νῦν εἰμι.“ περιέβαλεν ὁ βασιλεὺς ταῦτα εἰπόντα καὶ „ἀφίκοιο,“ εἶπε „τὸ γὰρ δῶρον μέγα.“

Β'.

Ἐντεῦθεν ἐξελαύνουσι περὶ τὸ θέρος αὐτοί τε I
ὀχούμενοι καὶ ὁ ἡγεμών, ἱπποκόμος δὲ ἦν τῶν κα-
μήλων καὶ τὰ ἐπιτήδεια, ὁπόσων ἐδέοντο, ἦν ἄφθονα
βασιλέως δόντος, ἥ τε χώρα, δι' ἧς ἐπορεύοντο, εὖ
ἔπραττεν, ἐδέχοντο δὲ αὐτοὺς αἱ κῶμαι θεραπεύ-
ουσαι· χρυσοῦ γὰρ ψάλιον ἡ πρώτη κάμηλος ἐπὶ
τοῦ μετώπου ἔφερε, γιγνώσκειν τοῖς ἐντυγχάνου-
σιν, ὡς πέμποι τινὰ ὁ βασιλεὺς τῶν ἑαυτοῦ φίλων.
προσιόντες δὲ τῷ Καυκάσῳ φασὶν εὐωδεστέρας τῆς II
γῆς αἰσθέσθαι· τὸ δὲ ὄρος τοῦτο ἀρχὴν ποιώμεθα
50 Ταύρου τοῦ δι' Ἀρμενίας τε καὶ Κιλίκων ἐπὶ Παμ-
φύλους καὶ Μυκάλην στείχοντος, ἣ τελευτῶσα ἐς
θάλατταν, ἣν Κᾶρες οἰκοῦσι, τέρμα τοῦ Καυκάσου
νομίζοιτ' ἄν, ἀλλ' οὐχ, ὥς ἔνιοί φασιν, ἀρχή, τό τε
γὰρ τῆς Μυκάλης ὕψος οὔπω μέγα καὶ αἱ ὑπερβολαὶ
τοῦ Καυκάσου τοσοῦτον ἀνεστᾶσιν, ὡς σχίζεσθαι
περὶ αὐτὰς τὸν ἥλιον. περιβάλλει δὲ Ταύρῳ ἑτέρῳ
καὶ τὴν ὅμορον τῇ Ἰνδικῇ Σκυθίαν πᾶσαν κατὰ
Μαιῶτίν τε καὶ ἀριστερὸν Πόντον, σταδίων μάλιστα
δισμυρίων μῆκος, τοσοῦτον γὰρ ἐπέχει μέτρον τῆς
γῆς ὁ ἀγκὼν τοῦ Καυκάσου, τὸ δὲ περὶ τοῦ ἐν τῇ
ἡμεδαπῇ Ταύρου λεγόμενον, ὡς ὑπὲρ τὴν Ἀρμενίαν
πορεύοιτο, χρόνῳ ἀπιστηθὲν πιστοῦνται λοιπὸν αἱ
παρδάλεις, ἃς οἶδα ἁλισκομένας ἐν τῇ Παμφύλων
ἀρωματοφόρῳ. χαίρουσι γὰρ τοῖς ἀρώμασι κἀκ πολ-

λοῦ τὰς ὀσμὰς ἕλκουσαι φοιτῶσιν ἐξ Ἀρμενίας διὰ
τῶν ὀρῶν πρὸς τὸ δάκρυον τοῦ στύρακος, ἐπειδὰν
οἵ τε ἄνεμοι ἀπ' αὐτοῦ πνεύσωσι καὶ τὰ δένδρα
ὀπώδη γένηται. καὶ ἁλῶναί ποτέ φασιν ἐν τῇ Παμ-
φυλίᾳ πάρδαλιν στρεπτῷ ἅμα, ὃν περὶ τῇ δέρῃ ἔφερε,
χρυσοῦς δὲ ἦν καὶ ἐπεγέγραπτο Ἀρμενίοις γράμμασι
ΒΑΣΙΛΕΥΣ ἈΡΣΑΚΗΣ ΘΕΩΙ ΝΥΣΙΩΙ. βασι- 51
λεὺς μὲν δὴ Ἀρμενίας τότε ἦν Ἀρσάκης, καὶ αὐτός,
οἶμαι, ἰδὼν τὴν πάρδαλιν ἀνῆκε τῷ Διονύσῳ διὰ
μέγεθος τοῦ θηρίου. Νύσιος γὰρ ὁ Διόνυσος ἀπὸ
τῆς ἐν Ἰνδοῖς Νύσης Ἰνδοῖς τε ὀνομάζεται καὶ πᾶσι
τοῖς πρὸς ἀκτῖνα ἔθνεσιν. ἡ δὲ χρόνον μέν τινα
ὑπεξεύχθη ἀνθρώπῳ καὶ χεῖρα ἠνέσχετο ἐπαφωμένην
τε καὶ καταψῶσαν, ἐπεὶ δὲ ἀνοίστρησεν αὐτὴν ἔαρ,
ὅτε δὴ ἀφροδισίων ἥττους καὶ παρδάλεις, ἀνέθορεν
ἐς τὰ ὄρη πόθῳ ἀρσένων, ὡς εἶχε τοῦ κόσμου καὶ
ἥλω περὶ τὸν κάτω Ταῦρον ὑπὸ τοῦ ἀρώματος ἑλ-
χθεῖσα. ὁ δὲ Καύκασος ὁρίζει μὲν τὴν Ἰνδικήν τε
καὶ Μηδικήν, καθήκει δὲ ἐπὶ τὴν Ἐρυθρὰν θάλατ-
III ταν ἑτέρῳ ἀγκῶνι. μυθολογεῖται δὲ ὑπὸ τῶν βαρ-
24 βάρων τὸ ὄρος, ἃ καὶ Ἕλληνες ἐπ' αὐτῷ ᾄδουσιν,
ὡς Προμηθεὺς μὲν ἐπὶ φιλανθρωπίᾳ δεθείη ἐκεῖ,
Ἡρακλῆς δὲ ἕτερος, οὐ γὰρ τὸν Θηβαῖόν γε βούλον-
ται, μὴ ἀνάσχοιτο τοῦτο, ἀλλὰ τοξεύσειε τὸν ὄρνιν,
ὃν ἔβοσκεν ὁ Προμηθεὺς τοῖς σπλάγχνοις· δεθῆναι
δὲ αὐτὸν οἱ μὲν ἐν ἄντρῳ φασίν, ὃ δὴ ἐν προπόδι
τοῦ ὄρους δείκνυται, καὶ δεσμὰ ὁ Δάμις ἀνῆφθαι
τῶν πετρῶν λέγει οὐ ῥᾴδια ξυμβαλεῖν τὴν ὕλην, οἱ
δ' ἐν κορυφῇ τοῦ ὄρους· δικόρυμβος δὲ ἡ κορυφὴ
καί φασιν, ὡς τὰς χεῖρας ἀπ' αὐτῶν ἐδέθη διαλει-
πουσῶν οὐ μεῖον ἢ στάδιον, τοσοῦτος γὰρ εἶναι. τὸν
δὲ ὄρνιν τὸν ἀετὸν οἱ τῷ Καυκάσῳ προσοικοῦντες 52

ἐχθρὸν ἡγοῦνται καὶ καλιάς γε, ὁπόσας ἐν τοῖς πάγοις οἱ ἀετοὶ ποιοῦνται, καταπιμπρᾶσιν ἱέντες βέλη πυρφόρα, θήρατρά τε ἐπ᾽ αὐτοὺς ἵστανται τιμωρεῖν τῷ Προμηθεῖ φάσκοντες· ὧδε γὰρ τοῦ μύθου ἥττηνται.

Παραμείψαντες δὲ τὸν Καύκασον τετραπήχεις IV ἀνθρώπους ἰδεῖν φασιν, οὓς ἤδη μελαίνεσθαι, καὶ πενταπήχεις δὲ ἑτέρους ὑπὲρ τὸν Ἰνδὸν ποταμὸν ἐλθόντες. ἐν δὲ τῇ μέχρι τοῦ ποταμοῦ τούτου ὁδοιπορίᾳ τάδε εὗρον ἀφηγήσεως ἄξια· ἐπορεύοντο μὲν γὰρ ἐν σελήνῃ λαμπρᾷ, φάσμα δὲ αὐτοῖς ἐμπούσης ἐνέπεσε τὸ δεῖνα γινομένη καὶ τὸ δεῖνα αὖ καὶ οὐδὲν εἶναι, ὁ δὲ Ἀπολλώνιος ξυνῆκεν, ὅ τι εἴη, καὶ αὐτός τε ἐλοιδορεῖτο τῇ ἐμπούσῃ, τοῖς τε ἀμφ᾽ αὐτὸν προσέταξε ταὐτὸ πράττειν, ταυτὶ γὰρ ἄκος εἶναι τῆς προσβολῆς ταύτης· καὶ τὸ φάσμα φυγῇ ᾤχετο τετριγός, ὥσπερ τὰ εἴδωλα.

Κορυφὴν δ᾽ ὑπερβάλλοντες τοῦ ὄρους καὶ βαδί- V ζοντες αὐτὴν, ἐπειδὴ ἀποτόμως εἶχεν, ἤρετο οὑτωσὶ τὸν Δάμιν· „εἰπέ μοι," ἔφη „ποῦ χθὲς ἦμεν;" ὁ δὲ „ἐν τῷ πεδίῳ" ἔφη. „τήμερον δέ, ὦ Δάμι, ποῦ;" „ἐν τῷ Καυκάσῳ," εἶπεν „εἰ μὴ ἐμαυτοῦ ἐκλέλησμαι." „πότε οὖν κάτω μᾶλλον ἦσθα;" πάλιν ἤρετο, ὁ δὲ „τουτὶ μὲν" ἔφη „οὐδὲ ἐπερωτᾶν ἄξιον·" χθὲς μὲν γὰρ διὰ κοίλης τῆς γῆς ἐπορευόμεθα, τήμερον δὲ πρὸς τῷ οὐρανῷ ἐσμέν." „οἴει οὖν," ἔφη „ὦ Δάμι, τὴν μὲν χθὲς ὁδοιπορίαν κάτω εἶναι, τὴν δὲ τήμερον ἄνω;" „νὴ Δί᾽," εἶπεν „εἰ μὴ μαίνομαί γε." „τί οὖν ἡγῇ" ἔφη „παραλλάττειν τὰς ὁδοὺς ἀλλήλων ἢ τί τήμερον πλέον εἶναί σοι τοῦ χθές;" „ὅτι χθὲς" ἔφη „ἐβάδιζον οὗπερ πολλοί, σήμερον
53 δέ, οὗπερ ὀλίγοι." „τί γάρ," ἔφη „ὦ Δάμι, οὐ καὶ

τὰς ἐν ἄστει λεωφόρους ἐκτρεπομένῳ βαδίζειν ἐστὶν ἐν ὀλίγοις τῶν ἀνθρώπων;“ „οὐ τοῦτο“ ἔφη „εἶπον, ἀλλ' ὅτι χθὲς μὲν διὰ κωμῶν ἐκομιζόμεθα καὶ ἀνθρώπων, σήμερον δὲ ἀστιβές τι ἀναβαίνομεν χωρίον καὶ θεῖον, ἀκούεις γὰρ τοῦ ἡγεμόνος, ὅτι οἱ βάρβαροι θεῶν αὐτὸ ποιοῦνται οἶκον“ καὶ ἅμα ἀνέβλεπεν ἐς τὴν κορυφὴν τοῦ ὄρους. ὁ δὲ ἐμβιβάζων αὐτὸν ἐς ὃ ἐξ ἀρχῆς ἠρώτα „ἔχεις οὖν εἰπεῖν, ὦ Δάμι, ὅ τι ξυνῆκας τοῦ θείου βαδίζων ἀγχοῦ τοῦ οὐρανοῦ;“ „οὐδὲν“ ἔφη. „καὶ μὴν ἐχρῆν γε“ εἶπεν „ἐπὶ μηχανῆς τηλικαύτης καὶ θείας οὕτως ἑστηκότα περί τε τοῦ οὐρανοῦ σαφεστέρας ἤδη ἐκφέρειν δόξας περί τε τοῦ ἡλίου καὶ τῆς σελήνης, ὧν γε καὶ ῥάβδῳ ἴσως ἡγῇ ψαύσειν προσεστηκὼς τῷ οὐρανῷ τούτῳ.“ „ἃ χθὲς“ ἔφη „περὶ τοῦ θείου ἐγίγνωσκον, γιγνώσκω καὶ τήμερον καὶ οὔπω μοι ἑτέρα προσέπεσε περὶ αὐτοῦ δόξα.“ „οὐκοῦν,“ ἔφη „ὦ Δάμι, κάτω τυγχάνεις ὢν ἔτι καὶ οὐδὲν παρὰ τοῦ ὕψους εἴληφας
25 ἀπέχεις τε τοῦ οὐρανοῦ ὁπόσον χθές· καὶ εἰκότως σε ἠρόμην, ἃ ἐν ἀρχῇ· σὺ γὰρ ᾤου γελοίως ἐρωτᾶσθαι.“ „καὶ μὴν“ ἔφη „καταβήσεσθαί γε σοφώτερος ᾤμην ἀκούων, Ἀπολλώνιε, τὸν μὲν Κλαζομένιον Ἀναξαγόραν ἀπὸ τοῦ κατὰ Ἰωνίαν Μίμαντος ἐπεσκέφθαι τὰ ἐν τῷ οὐρανῷ, Θαλῆν τε τὸν Μιλήσιον ἀπὸ τῆς προσοίκου Μυκάλης, λέγονται δὲ καὶ τῷ Παγγαίῳ ἔνιοι φροντιστηρίῳ χρήσασθαι καὶ ἕτεροι τῷ Ἄθῳ. ἐγὼ δὲ μέγιστον τούτων ἀνελθὼν ὕψος οὐδὲν σοφώτερος ἑαυτοῦ καταβήσομαι.“ „οὐδὲ γὰρ ἐκεῖνοι,“ ἔφη „αἱ γὰρ τοιαίδε περιωπαὶ γλαυκότερον 51
μὲν τὸν οὐρανὸν ἀποφαίνουσι καὶ μείζους τοὺς ἀστέρας καὶ τὸν ἥλιον ἀνίσχοντα ἐκ νυκτός, ἃ καὶ ποιμέσιν ἤδη καὶ αἰπόλοις ἐστὶ δῆλα, ὅπῃ δὲ τὸ θεῖον

ἐπιμελεῖται τοῦ ἀνθρωπείου γένους καὶ ὅπη χαίρει ὑπ' αὐτοῦ θεραπευόμενον, ὅ τί τε ἀρετὴ καὶ ὅ τι δικαιοσύνη τε καὶ σωφροσύνη, οὔτε Ἄθως ἐκδείξει τοῖς ἀνελθοῦσιν οὔτε ὁ θαυμαζόμενος ὑπὸ τῶν ποιητῶν Ὄλυμπος, εἰ μὴ διορῴη αὐτὰ ἡ ψυχή, ἥν, εἰ καθαρὰ καὶ ἀκήρατος αὐτῶν ἅπτοιτο, πολλῷ μεῖζον ἔγωγ' ἂν φαίην ᾄττειν τουτουὶ τοῦ Καυκάσου."

Ὑπερβάντες δὲ τὸ ὄρος ἐντυγχάνουσιν ἐπ' ἐλεφάντων ἤδη ὀχουμένοις ἀνδράσιν, εἰσὶ δ' οὗτοι μέσοι Καυκάσου καὶ ποταμοῦ Κωφῆνος ἄβιοί τε καὶ ἱππόται τῆς ἀγέλης ταύτης, καὶ κάμηλοι δὲ ἐνίους ἦγον, αἷς χρῶνται Ἰνδοὶ ἐς τὰ δρομικά, πορεύονται δὲ χίλια στάδια τῆς ἡμέρας γόνυ οὐδαμοῦ κάμψασαι. προσελάσας οὖν τῶν Ἰνδῶν εἷς ἐπὶ καμήλου τοιαύτης ἠρώτα τὸν ἡγεμόνα οἷ στείχοιεν, ἐπεὶ δὲ τὸν νοῦν τῆς ἀποδημίας ἤκουσεν, ἀπήγγειλε τοῖς νομάσιν, οἱ δὲ ἀνεβόησαν ὥσπερ ἡσθέντες ἐκέλευόν τε πλησίον ἥκειν καὶ ἀφικομένοις οἶνόν τε ὤρεγον, ὃν ἀπὸ τῶν φοινίκων σοφίζονται καὶ μέλι ἀπὸ ταὐτοῦ φυτοῦ καὶ τεμάχη λεόντων καὶ παρδάλεων, ὧν καὶ τὰ δέρματα νεόδαρτα ἦν, δεξάμενοι δὲ πλὴν τῶν κρεῶν πάντα ἀπήλασαν [τοὺς Ἰνδοὺς] καὶ ἐχώρουν πρὸς ἕω.

Ἀριστοποιουμένων δὲ αὐτῶν πρὸς πηγῇ ὕδατος VII
ἐγχέας ὁ Δάμις τοῦ παρὰ τῶν Ἰνδῶν οἴνου „Διὸς"
5 ἔφη „Σωτῆρος ἥδε σοι, Ἀπολλώνιε, διὰ πολλοῦ γε πίνοντι. οὐ γάρ, οἶμαι, παραιτήσῃ καὶ τοῦτον, ὥσπερ τὸν ἀπὸ τῶν ἀμπέλων" καὶ ἅμα ἔσπεισεν, ἐπειδὴ τοῦ Διὸς ἐπεμνήσθη. γελάσας οὖν ὁ Ἀπολλώνιος „οὐ καὶ χρημάτων" ἔφη „ἀπεχόμεθα, ὦ Δάμι;" „νὴ Δί'" εἶπεν „ὡς πολλαχοῦ ἐπεδείξω." „ἆρ' οὖν" ἔφη „χρυσῆς μὲν δραχμῆς καὶ ἀργυρᾶς ἀφεξόμεθα,

καὶ οὐχ ἡττησόμεθα τοιούτου νομίσματος καίτοι κεχηνότας ἐς αὐτὸ ὁρῶντες οὐκ ἰδιώτας μόνον, ἀλλὰ καὶ βασιλέας, εἰ δὲ χαλκοῦν τις ὡς ἀργυροῦν ἢ ὑπόχρυσόν τε καὶ κεκιβδηλευμένον ἡμῖν διδοίη, ληψόμεθα τοῦτο, ἐπεὶ μὴ ἐκεῖνό ἐστιν, οὗ οἱ πολλοὶ γλίχονται; καὶ μὴν καὶ νομίσματά ἐστιν Ἰνδοῖς ὀρειχάλκου τε καὶ χαλκοῦ μέλανος, ὧν δεῖ δήπου πάντα ὠνεῖσθαι πάντας ἥκοντας ἐς τὰ Ἰνδῶν ἤθη· τί οὖν; εἰ χρήματα ἡμῖν ὤρεγον οἱ χρηστοὶ νομάδες, ἆρ᾽ ἄν, ὦ Δάμι, παραιτούμενόν με ὁρῶν ἐνουθέτεις τε καὶ ἐδίδασκες, ὅτι χρήματα μὲν ἐκεῖνά ἐστιν, ἃ Ῥωμαῖοι χαράττουσιν ἢ ὁ Μήδων βασιλεύς, ταυτὶ δὲ ὕλη τις ἑτέρα κεκομψευμένη τοῖς Ἰνδοῖς; καὶ ταῦτα πείσας τίνα ἂν ἡγήσω με; ἆρ᾽ οὐ κίβδηλόν τε καὶ τὴν φιλοσοφίαν ἀποβεβληκότα μᾶλλον ἢ οἱ πονηροὶ στρατιῶται τὰς ἀσπίδας; καίτοι ἀσπίδος μὲν ἀποβληθείσης ἑτέρα γένοιτ᾽ ἂν τῷ ἀποβαλόντι κακίων οὐδὲν τῆς προτέρας, ὡς Ἀρχιλόχῳ δοκεῖ, φιλοσοφία δὲ πῶς ἀνακτητέα τῷ γε ἀτιμάσαντι αὐτὴν καὶ ῥίψαντι; καὶ
26 | νῦν μὲν ἂν ξυγγιγνώσκοι ὁ Διόνυσος οὐδενὸς οἴνου ἡττημένῳ, τὸν δὲ ἀπὸ τῶν φοινίκων εἰ πρὸ τοῦ ἀμπελίνου αἱροίμην, ἀχθέσεται, εὖ οἶδα, καὶ περιυβρίσθαι φήσει τὸ ἑαυτοῦ δῶρον. ἐσμὲν δὲ οὐ πόρρω τοῦ θεοῦ, καὶ γὰρ τοῦ ἡγεμόνος ἀκούεις, ὡς πλησίον ἡ Νῦσα τὸ ὄρος, ἐφ᾽ οὗ ὁ Διόνυσος πολλά, οἶμαι, καὶ θαυμαστὰ πράττει. καὶ μὴν καὶ τὸ μεθύειν, ὦ Δάμι, οὐκ ἐκ βοτρύων μόνων ἐσφοιτᾷ τοὺς ἀνθρώπους, ἀλλὰ καὶ ἀπὸ τῶν φοινίκων παραπλησίως ἐκβακχεύει· πολλοῖς γοῦν ἤδη τῶν Ἰνδῶν ἐνετύχομεν κατεσχημένοις τῷ οἴνῳ τούτῳ, καὶ οἱ μὲν ὀρχοῦνται πίπτοντες, οἱ δὲ ᾄδουσιν ὑπονυστάζοντες, ὥσπερ οἱ παρ᾽ ἡμῖν ἐκ πότου νύκτωρ τε καὶ οὐκ ἐν

ὥρᾳ ἀναλύοντες. ὅτι δὲ οἶνον ἡγῇ καὶ τοῦτο τὸ πῶμα, δηλοῖς τῷ σπένδειν τε ἀπ' αὐτοῦ τῷ Διὶ καὶ ὁπόσα ἐπὶ οἴνῳ εὔχεσθαι. καὶ εἴρηταί μοι, ὦ Δάμι, πρὸς σὲ ὑπὲρ ἐμαυτοῦ ταῦτα· οὔτε γὰρ σὲ τοῦ πίνειν ἀπάγοιμ' ἂν οὔτε τοὺς ὀπαδοὺς τούτους, ξυγχωροίην δ' ἂν ὑμῖν καὶ κρεῶν σιτεῖσθαι, τὸ γὰρ ἀπέχεσθαι τούτων ὑμῖν μὲν ἐς οὐδὲν ὁρῶ προβαῖνον, ἐμαυτῷ δὲ ἐς ἃ ὡμολόγηταί μοι πρὸς φιλοσοφίαν ἐκ παιδός.“ ἐδέξαντο τὸν λόγον τοῦτον οἱ περὶ τὸν Δάμιν καὶ ἠσπάσαντο εὐωχεῖσθαι, ῥᾷον ἡγούμενοι πορεύσεσθαι, ἢν ἀφθονώτερον διαιτῶνται.

Διαβάντες δὲ τὸν Κωφῆνα ποταμὸν αὐτοὶ μὲν VIII
ἐπὶ νεῶν, κάμηλοι δὲ πεζῇ τὸ ὕδωρ, ὁ γὰρ ποταμὸς οὔπω μέγας, ἐγένοντο ἐν τῇ βασιλευομένῃ ἠπείρῳ, ἐν ᾗ ἀνατεῖνον πεφύτευται Νῦσα ὄρος ἐς κορυφὴν ἄκραν, ὥσπερ ὁ ἐν Λυδίᾳ Τμῶλος, ἀναβαίνειν δ' αὐτὸ ἔξεστιν, ὡδοποίηται γὰρ ὑπὸ τοῦ γεωργεῖσθαι. ἀνελθόντες οὖν ἱερῷ Διονύσου ἐντυχεῖν φασιν, ὃ
57 δὴ Διόνυσον ἑαυτῷ φυτεῦσαι δάφναις περιεστηκυίαις κύκλῳ, τοσοῦτον περιεχούσαις τῆς γῆς, ὅσον ἀπόχρη νεῷ ξυμμέτρῳ, κιττόν τε περιβαλεῖν αὐτὸν καὶ ἀμπέλους ταῖς δάφναις, ἄγαλμά τε ἑαυτοῦ ἔνδον στήσασθαι γιγνώσκοντα ὡς ξυμφύσει τὰ δένδρα ὁ χρόνος καὶ δώσει τινὰ ἀπ' αὐτῶν ὄροφον, ὃς οὕτω ξυμβέβληται νῦν, ὡς μήτε ὕεσθαι τὸ ἱερὸν μήτ' ἀνέμῳ ἐσπνεῖσθαι. δρέπανα δὲ καὶ ἄρριχοι καὶ ληνοὶ καὶ τὰ ἀμφὶ ληνοὺς ἀνάκειται τῷ Διονύσῳ χρυσᾶ καὶ ἀργυρᾶ καθάπερ τρυγῶντι. τὸ δὲ ἄγαλμα εἴκασται μὲν ἐφήβῳ Ἰνδῷ, λίθου δὲ ἔξεσται λευκοῦ. ὀργιάζοντος δὲ αὐτοῦ καὶ σείοντος τὴν Νῦσαν ἀκούουσιν αἱ πόλεις αἱ ὑπὸ τῷ ὄρει καὶ ξυνεξαίρουσιν. διαφέρονται δὲ περὶ τοῦ Διονύσου τούτου καὶ

λῆνες Ἰνδοῖς καὶ Ἰνδοὶ ἀλλήλοις· ἡμεῖς μὲν γὰρ τὸν Θηβαῖον ἐπ' Ἰνδοὺς ἐλάσαι φαμὲν στρατεύοντά τε καὶ βακχεύοντα τεκμηρίοις χρώμενοι τοῖς τε ἄλλοις καὶ τῷ Πυθοῖ ἀναθήματι, ὃ δὴ ἀπόθετον οἱ ἐκεῖ θησαυροὶ ἴσχουσιν· ἔστι δὲ ἀργύρου Ἰνδικοῦ δίσκος, ᾧ ἐπιγέγραπται· ΔΙΟΝΥΣΟΣ Ὁ ΣΕΜΕΛΗΣ ΚΑΙ ΔΙΟΣ ΑΠΟ ΙΝΔΩΝ ΑΠΟΛΛΩΝΙ ΔΕΛΦΩΙ. Ἰνδῶν δὲ οἱ περὶ Καύκασον καὶ Κωφῆνα ποταμὸν ἐπηλύτην Ἀσσύριον αὐτόν φασιν ἐλθεῖν τὰ τοῦ Θηβαίου εἰδότα· οἱ δὲ τὴν Ἰνδοῦ τε καὶ Ὑδραώτου μέσην νεμόμενοι καὶ τὴν μετὰ ταῦτα ἤπειρον, ἣ δὴ ἐς ποταμὸν Γάγγην τελευτᾷ, Διόνυσον γενέσθαι ποταμοῦ παῖδα Ἰνδοῦ λέγουσιν, ᾧ φοιτήσαντα τὸν ἐκ Θηβῶν ἐκεῖνον θύρσου τε ἅψασθαι καὶ δοῦναι ὀργίοις, εἰπόντα δέ, ὡς εἴη Διὸς καὶ τῷ τοῦ πατρὸς ἐμβιῴη μηρῷ τόκου ἕνεκα, Μηρόν τε εὑρέσθαι παρ' αὐτοῦ ὄρος, ᾧ προσβέβηκεν ἡ Νῦσα, καὶ τὴν Νῦσαν τῷ Διονύσῳ ἐκφυτεῦσαι ἀπάγοντα ἐκ Θηβῶν τὸ γόνυ τῆς ἀμπέλου, οὗ καὶ Ἀλέξανδρος ὀργιάσαι.
27 οἱ δὲ τὴν Νῦσαν οἰκοῦντες οὔ φασι τὸν Ἀλέξανδρον ἀνελθεῖν ἐς τὸ ὄρος, ἀλλ' ὁρμῆσαι μέν, ἐπειδὴ φιλότιμός τε ἦν καὶ ἀρχαιολογίας ἥττων, δείσαντα δὲ μὴ ἐς ἀμπέλους παρελθόντες οἱ Μακεδόνες, ἃς χρόνου ἤδη οὐχ ἑωράκεσαν, ἐς πόθον τῶν οἴκοι ἀπενεχθῶσιν ἢ ἐπιθυμίαν τινὰ οἴνου ἀναλάβωσιν εἰθισμένοι ἤδη τῷ ὕδατι, παρελάσαι τὴν Νῦσαν, εὐξάμενον τῷ Διονύσῳ καὶ θύσαντα ἐν τῇ ὑπωρείᾳ. καὶ γιγνώσκω μὲν οὐκ ἐς χάριν ταῦτα ἐνίοις γράφων, ἐπειδὴ οἱ ξὺν Ἀλεξάνδρῳ στρατεύσαντες οὐδὲ ταῦτα ἐς τὸ ἀληθὲς ἀνέγραψαν, δεῖ δὲ ἀληθείας ἐμοὶ γοῦν, ἣν εἰ κἀκεῖνοι ἐπῄνεσαν, οὐκ ἂν ἀφείλοντο καὶ τοῦδε τοῦ ἐγκωμίου τὸν Ἀλέξανδρον· τοῦ γὰρ ἀνελθεῖν

ἐς τὸ ὄρος καὶ βακχεῦσαι αὐτόν, ἃ ἐκεῖνοι λέγουσι, μεῖζον, οἶμαι, τὸ ὑπὲρ καρτερίας τοῦ στρατοῦ μηδὲ ἀναβῆναι.

Τὴν δὲ Ἄορνον πέτραν οὐ πολὺ ἀπέχουσαν τῆς X
Νύσης ἰδεῖν μὲν οὔ φησιν ὁ Δάμις, ἐν ἐκβολῇ γὰρ κεῖσθαι τῆς ὁδοῦ καὶ δεδιέναι τὸν ἡγεμόνα ἐκτρέπεσθαί ποι παρὰ τὸ εὐθύ, ἀκοῦσαι δέ, ὡς ἁλωτὸς μὲν Ἀλεξάνδρῳ γένοιτο, Ἄορνος δὲ ὀνομάζοιτο οὐκ ἐπειδὴ στάδια πεντεκαίδεκα ἀνέστηκε, πέτονται γὰρ καὶ ὑπὲρ τοῦτο οἱ ἱεροὶ ὄρνιθες, ἀλλ' ἐν κορυφῇ τῆς πέτρας ῥῆγμα εἶναί φασι τοὺς ὑπερπετομένους
59 τῶν ὀρνίθων ἐπισπώμενον, ὡς Ἀθήνησί τε ἰδεῖν ἐστιν ἐν προδόμῳ τοῦ Παρθενῶνος καὶ πολλαχοῦ τῆς Φρυγῶν καὶ Λυδῶν γῆς, ὑφ' οὗ τὴν πέτραν Ἄορνον κεκλῆσθαί τε καὶ εἶναι.

Ἐλαύνοντες δὲ ἐπὶ τὸν Ἰνδὸν παιδὶ ἐντυγχάνουσι XI
τρισκαίδεκά που ἔτη γεγονότι ἐπ' ἐλέφαντος ὀχουμένῳ καὶ παίοντι τὸ θηρίον. ἐπεὶ δὲ ἐθαύμασαν ὁρῶντες „τί ἔργον,“ ἔφη „ὦ Δάμι, ἀγαθοῦ ἱππέως;“ „τί δ' ἄλλο γε,“ εἶπεν, „ἢ ἱζήσαντα ἐπὶ τοῦ ἵππου ἄρχειν τε αὐτοῦ καὶ τῷ χαλινῷ στρέφειν καὶ κολάζειν ἀτακτοῦντα καὶ προορᾶν, ὡς μὴ ἐς βόθρον ἢ τάφρον ἢ χάσμα κατενεχθείη ὁ ἵππος, ὅτε γε δι' ἕλους ἢ πηλοῦ χωροίη;“ „ἄλλο δὲ οὐδέν, ὦ Δάμι, ἀπαιτήσομεν“ ἔφη „τὸν ἀγαθὸν ἱππέα;“ „νὴ Δί',“ εἶπε „τό τε ἀναπηδῶντι μὲν τῷ ἵππῳ πρὸς τὸ σιμὸν ἐφεῖναι τὸν χαλινόν, κατὰ πρανοῦς δὲ ἰόντι οἱ μὴ ξυγχωρεῖν, ἀλλ' ἀνθέλκειν, καὶ τὸ καταψῆσαι δὲ τὰ ὦτα ἢ τὴν χαίτην, καὶ μὴ ἀεὶ ἡ μάστιξ σοφοῦ ἔμοιγε δοκεῖ ἱππέως, καὶ ἐπαινοίην ἂν τὸν ὧδε ὀχούμενον.“ „τῷ δὲ δὴ μαχίμῳ τε καὶ πολεμιστηρίῳ τίνων δεῖ;“ „τῶν γε αὐτῶν,“ ἔφη „ὦ Ἀπολλώνιε, καὶ πρός γε

τούτοις τοῦ βάλλειν τε καὶ φυλάττεσθαι, καὶ τὸ ἐπελάσαι δὲ καὶ τὸ ἀπελάσαι καὶ τὸ ἀνειλῆσαι πολεμίους καὶ μὴ ἐᾶν ἐκπλήττεσθαι τὸν ἵππον, ὅτε δουπήσειεν ἀσπὶς ἢ ἀστράψειαν αἱ κόρυθες ἢ παιανιζόντων τε καὶ ἀλαλαζόντων βοὴ γένοιτο, σοφίᾳ, οἶμαι, ἱππικῇ πρόσκειται.“ „τοῦτον οὖν“ ἔφη „τὸν ἐπὶ τοῦ ἐλέφαντος ἱππέα τί φήσεις;“ „πολλῷ“ ἔφη „θαυμασιώτερον, Ἀπολλώνιε, τὸ γὰρ θηρίῳ τηλικούτῳ ἐπιτετάχθαι τηλικόνδε ὄντα καὶ εὐθύνειν αὐτὸ καλαύροπι, ἣν ὁρᾷς αὐτὸν ἐμβαλόντα τῷ ἐλέφαντι, ὥσπερ ἄγκυραν, καὶ μήτε τὴν ὄψιν τοῦ θηρίου δεδιέναι μήτε τὸ ὕψος μήτε τὴν ῥώμην τοσαύτην οὖσαν, δαιμόνιον ἔμοιγε δοκεῖ, καὶ οὐδ' ἂν ἐπίστευσα, μὰ τὴν Ἀθηνᾶν, εἰ ἑτέρου ἤκουσα.“ „τί οὖν,“ ἔφη „εἰ ἀποδόσθαι τις ἡμῖν τὸν παῖδα βούλοιτο, ὠνήσῃ αὐτόν, ὦ Δάμι;“ „νὴ Δί',“ εἶπε „τῶν γε ἐμαυτοῦ πάντων. 28 τὸ γὰρ ὥσπερ ἀκρόπολιν κατειληφότα δεσπόζειν θηρίου μεγίστου ὧν ἡ γῆ βόσκει, ἐλευθέρας ἔμοιγε δοκεῖ φύσεως καὶ λαμπρᾶς εἶναι.“ „τί οὖν χρήσῃ τῷ παιδί,“ ἔφη „εἰ μὴ καὶ τὸν ἐλέφαντα ὠνήσῃ;“ „τῇ τε οἰκίᾳ“ ἔφη „ἐπιστήσω τῇ ἐμαυτοῦ καὶ τοῖς οἰκέταις καὶ πολλῷ βέλτιον τούτων ἢ ἐγὼ ἄρξει.“ „σὺ δὲ οὐχ ἱκανὸς“ ἔφη „τῶν σεαυτοῦ ἄρχειν;“ „ὅν γε“ εἶπε „καὶ σὺ τρόπον, ὦ Ἀπολλώνιε· καταλιπὼν γὰρ τἀμὰ περίειμι, ὥσπερ σύ, φιλομαθῶν καὶ περιφρονῶν τὰ ἐν τῇ ξένῃ.“ „εἰ δὲ δὴ πρίαιο τὸν παῖδα, καὶ ἵππω σοι γενοίσθην ὁ μὲν ἁμιλλητήριος, ὁ δὲ πολεμικός, ἀναθήσῃ αὐτόν, ὦ Δάμι, ἐπὶ τοὺς ἵππους;“ „ἐπὶ μὲν τὸν ἁμιλλητήριον“ εἶπεν „ἴσως ἄν, ἐπειδὴ καὶ ἑτέρους ὁρῶ, τὸν δὲ μάχιμόν τε καὶ ὁπλιτεύοντα πῶς ἂν ἀναβαίνοι οὗτος; οὔτε γὰρ ἀσπίδα δύναιτ' ἂν φέρειν, ἧς δεῖ τοῖς ἱππεύ-

ουσιν, οὔτ' ἂν θώρακα ἢ κράνος, αἰχμὴν δὲ πῶς οὗτος, ὃς οὐδὲ ἄτρακτον βέλους ἢ τοξεύματος κραδαίνοι ἂν ψελλιζομένῳ (ἐς τὰ πολεμικὰ) ἐοικὼς ἔτι;" „ἕτερον οὖν τι," ἔφη „ὦ Δάμι, ἐστίν, ὃ τὸν ἐλέφαντα τοῦτον ἡνιοχεῖ καὶ πέμπει, καὶ οὐχ ὁ ἡνίοχος οὗτος, ὃν σὺ μονονοὺ προσκυνεῖς ὑπὸ θαύματος." τοῦ δὲ εἰπόντος „τί ἂν εἴη τοῦτο, Ἀπολλώνιε; ὁρῶ γὰρ ἐπὶ τοῦ θηρίου πλὴν τοῦ παιδὸς οὐδὲν ἕτερον." „τὸ θηρίον" ἔφη „τοῦτο εὐπαίδευτόν τε παρὰ πάντα ἐστί, κἀπειδὰν ἅπαξ ἀναγκασθῇ ὑπὸ ἀνθρώπῳ ζῆν,
61 ἀνέχεται τὰ ἐκ τοῦ ἀνθρώπου πάντα καὶ ὁμοήθειαν ἐπιτηδεύει τὴν πρὸς αὐτόν, χαίρει τε σιτούμενον ἀπὸ τῆς χειρός, ὥσπερ οἱ μικροὶ τῶν κυνῶν, προσιόντα τε τῇ προνομαίᾳ αἰκάλλει καὶ τὴν κεφαλὴν ἐς τὴν φάρυγγα ἐσωθοῦντα ἀνέχεται καὶ κέχηνεν ἐφ' ὅσον τῷ ἀνθρώπῳ δοκεῖ, καθάπερ ἐν τοῖς νομάσιν ἑωρῶμεν. νύκτωρ δὲ λέγεται τὴν δουλείαν ὀλοφύρεσθαι, μὰ Δί', οὐ τετριγός, ὁποῖον εἴωθεν, ἀλλ' οἰκτρόν τε καὶ ἐλεεινὸν ἀνακλᾶον, εἰ δὲ ἄνθρωπος ἐπισταίη ὀδυρομένῳ ταῦτα, ἴσχει τὸν θρῆνον ὁ ἐλέφας, ὥσπερ αἰδούμενος. αὐτὸς δὴ ἑαυτοῦ, ὦ Δάμι, ἄρχει καὶ ἡ πειθὼ αὐτὸν ἡ τῆς φύσεως ἄγει μᾶλλον ἢ ὁ ἐπικείμενός τε καὶ ἀπευθύνων."

XII Ἐπὶ δὲ τὸν Ἰνδὸν ἐλθόντες ἀγέλην ἐλεφάντων ἰδεῖν φασι περαιουμένους τὸν ποταμὸν καὶ τάδε ἀκοῦσαι περὶ τοῦ θηρίου· ὡς οἱ μὲν αὐτῶν ἕλειοι, οἱ δ' αὖ ὄρειοι, καὶ τρίτον ἤδη γένος πεδινοί εἰσιν, ἁλίσκονταί τε ἐς τὴν τῶν πολεμικῶν χρείαν. μάχονται γὰρ δὴ ἐπεσκευασμένοι πύργους οἵους κατὰ δέκα καὶ πεντεκαίδεκα ὁμοῦ τῶν Ἰνδῶν δέξασθαι, ἀφ' ὧν τοξεύουσί τε καὶ ἀκοντίζουσιν οἱ Ἰνδοί, καθάπερ ἐκ πυλῶν βάλλοντες. καὶ αὐτὸ δὲ τὸ θηρίον χεῖρα

τὴν προνομαίαν ἡγεῖται καὶ χρῆται αὐτῇ ἐς τὸ ἀκοντίζειν. ὅσον δὲ ἵππου Νισαίου μείζων ὁ Λιβυκὸς ἐλέφας, τοσοῦτον τῶν ἐκ Λιβύης οἱ Ἰνδοὶ μείζους. 62
περὶ δὲ ἡλικίας τοῦ ζῴου καὶ ὡς μακροβιώτατοι, εἴρηται μὲν καὶ ἑτέροις, ἐντυχεῖν δὲ καὶ οὗτοί φασιν ἐλέφαντι περὶ Τάξιλα μεγίστην τῶν ἐν Ἰνδοῖς πόλιν, ὃν μυρίζειν τε οἱ ἐπιχώριοι καὶ ταινιοῦν· εἶναι γὰρ δὴ τῶν πρὸς Ἀλέξανδρον ὑπὲρ Πώρου μεμαχημένων εἷς οὗτος, ὅν, ἐπειδὴ προθύμως ἐμεμάχητο, ἀνῆκεν ὁ Ἀλέξανδρος τῷ Ἡλίῳ. εἶναι δὲ αὐτῷ καὶ χρυσοῦ ἕλικας περὶ τοῖς εἴτ' ὀδοῦσιν εἴτε κέρασι καὶ γράμματα ἐπ' αὐτῶν Ἑλληνικὰ λέγοντα ΑΛΕΞΑΝΔΡΟΣ Ο ΔΙΟΣ ΤΟΝ ΑΙΑΝΤΑ ΤΩΙ ΗΛΙΩΙ. ὄνομα γὰρ τοῦτο τῷ ἐλέφαντι ἔθετο μεγάλου ἀξιώσας μέγαν. ξυνεβάλοντο δὲ οἱ ἐπιχώριοι πεντήκοντα εἶναι καὶ τριακόσια ἔτη μετὰ τὴν μάχην οὔπω λέγοντες καὶ
XIII ὁπόσα γεγονὼς ἐμάχετο. Ἰόβας δέ, ὃς ἦρξέ ποτε τοῦ
29 Λιβυκοῦ ἔθνους, φησὶ μὲν ξυμπεσεῖν ἀλλήλοις ἐπ' ἐλεφάντων πάλαι Λιβυκοὺς ἱππέας — εἶναι δὲ τοῖς μὲν πύργον ἐς τοὺς ὀδόντας κεχαραγμένον, τοῖς δὲ οὐδέν — νυκτὸς δὲ ἐπιλαβούσης τὴν μάχην ἡττηθῆναι μὲν τοὺς ἐπισήμους φησί, φυγεῖν δὲ ἐς τὸν Ἄτλαντα τὸ ὄρος, αὐτὸς δὲ ἑλεῖν τετρακοσίων μήκει ἐτῶν ὕστερον τῶν διαφυγόντων ἕνα καὶ τοὐπίσημον εἶναι αὐτῷ κοῖλον καὶ οὔπω περιτετριμμένον ὑπὸ τοῦ χρόνου. οὗτος ὁ Ἰόβας τοὺς ὀδόντας κέρατα ἡγεῖται τῷ φύεσθαι μὲν αὐτοὺς ὅθεν περ οἱ κρόταφοι, παραθήγεσθαι δὲ μηδενὶ ἑτέρῳ, μένειν δ' ὡς ἔφυσαν καὶ μή, ὅπερ οἱ ὀδόντες, ἐκπίπτειν εἶτ' ἀναφύεσθαι· ἐγὼ δ' οὐ προσδέχομαι τὸν λόγον· κέρατά τε γὰρ εἰ μὴ πάντα, τά γε τῶν ἐλάφων ἐκπίπτει καὶ ἀναφύεται, ὀδόντες δὲ οἱ μὲν τῶν ἀνθρώπων ἐκ-

πεσοῦνται καὶ ἀναφύσονται πάντες, ζῴων δ' ἂν οὐδενὶ ἑτέρῳ χαυλιόδους ἢ κυνόδους αὐτομάτως ἐκπέσοι, οὐδ' ἂν ἐπανέλθοι ἐκπεσών, ὅπλου γὰρ ἕνεκα ἡ φύσις ἐμβιβάζει αὐτοὺς ἐς τὰς γένυς. καὶ ἄλλως τὰ κέρατα γραμμὴν ἀποτορνεύει κύκλῳ πρὸς τῇ ῥίζῃ κατ' ἐνιαυτὸν ἕκαστον, ὡς αἶγές τε δηλοῦσι καὶ ποῖμναι καὶ βόες, ὀδοὺς δὲ λεῖος ἐκφύεται καὶ ἢν μὴ πηρώσῃ τι αὐτόν, τοιόσδε ἀεὶ μένει, μετέχει γὰρ τῆς λιθώδους ὕλης τε καὶ οὐσίας. καὶ μὴν καὶ τὸ κερασφορεῖν περὶ τὰ δίχηλα τῶν ζῴων μόνα ἕστηκε, τὸ δὲ ζῷον τοῦτο πεντώνυχον καὶ πολυσχιδὲς τὴν βάσιν, ἣ διὰ τὸ μὴ ἐσφίγχθαι χηλαῖς ὥσπερ ἐν ὑγρῷ ἕστηκε. καὶ τοῖς μὲν κερασφόροις ἅπασιν ὑποβάλλουσα ἡ φύσις ὀστᾶ σηραγγώδη περιφύει τὸ κέρας ἔξωθεν, τὸ δὲ τῶν ἐλεφάντων πλῆρες ἀποφαίνει καὶ ὅμοιον, ἀναπτύξαντι δὲ σύριγξ αὐτὸ λεπτὴ διέρπει μέσον, ὥσπερ τοὺς ὀδόντας. εἰσὶ δὲ οἱ μὲν τῶν ἑλείων ὀδόντες πελιδνοὶ καὶ μανοὶ μεταχειρίσασθαί τε ἄτοποι, πολλαχοῦ γὰρ αὐτῶν ὑποδεδύκασι σήραγγες, πολλαχοῦ δὲ ἀνεστᾶσι χάλαζαι μὴ ξυγχωροῦσαι τῇ τέχνῃ, οἱ δὲ τῶν ὀρείων μείους μὲν ἢ οὗτοι, λευκοὶ δὲ ἱκα-
64 νῶς καὶ δύσεργον περὶ αὐτοὺς οὐδέν, ἄριστοι δὲ οἱ τῶν πεδινῶν ὀδόντες, μέγιστοί τε γὰρ καὶ λευκότατοι καὶ ἀναπτύξαι ἡδεῖς καὶ γίγνονται πᾶν ὅ τι θέλει ἡ χείρ. εἰ δὲ καὶ ἤθη ἐλεφάντων χρὴ ἀναγράφειν, τοὺς μὲν ἐκ τῶν ἑλῶν ἁλισκομένους ἀνοήτους ἡγοῦνται καὶ κούφους Ἰνδοί, τοὺς δὲ ἐκ τῶν ὀρῶν κακοήθεις τε καὶ ἐπιβουλευτὰς καὶ ἢν μὴ δέωνταί τινος, οὐ βεβαίους τοῖς ἀνθρώποις, οἱ πεδινοὶ δὲ χρηστοί τε εἶναι λέγονται καὶ εὐάγωγοι καὶ μιμήσεως ἐρασταί· γράφουσι γοῦν καὶ ὀρχοῦνται καὶ παρενσαλεύουσι πρὸς αὐλὸν καὶ πηδῶσιν ἀπὸ τῆς γῆς ἐκεῖνοι.

XIV Ἰδὼν δὲ τοὺς ἐλέφαντας ὁ Ἀπολλώνιος τὸν Ἰνδὸν περαιουμένους, ἦσαν δέ, οἶμαι, τριάκοντα, καὶ χρωμένους ἡγεμόνι τῷ σμικροτάτῳ σφῶν, καὶ τοὺς μείζους αὐτῶν ἀνειληφότας τοὺς αὐτῶν πώλους ἐπὶ τὰς τῶν ὀδόντων προβολὰς τάς τε προνομαίας ἐπεζευχότας δεσμοῦ ἕνεκα „ταῦτα μέν," ἔφη „ὦ Δάμι, οὐδὲ ἐπιτάττοντος οὐδενὸς αὐτοῖς ἀφ' ἑαυτῶν οὗτοι διὰ ξύνεσίν τε καὶ σοφίαν πράττουσι, καὶ ὁρᾷς, ὡς παραπλησίως τοῖς σκευαγωγοῦσιν ἀνειλήφασι τοὺς πώλους καὶ καταδησάμενοι αὐτοὺς ἄγουσιν;" „ὁρῶ," ἔφη „ὦ Ἀπολλώνιε, ὡς σοφῶς τε αὐτὸ καὶ ξυνετῶς πράττουσι. τί οὖν βούλεται τὸ εὔηθες ἐκεῖνο φρόντισμα τοῖς ἐρεσχελοῦσι φυσικὴν ἢ μὴ τὴν πρὸς τὰ τέκνα εἶναι εὔνοιαν; τουτὶ γὰρ καὶ ἐλέφαντες ἤδη βοῶσιν, ὡς παρὰ τῆς φύσεως αὐτοῖς ἥκει· οὐ γὰρ
30 δὴ παρὰ ἀνθρώπων γε μεμαθήκασιν αὐτό, ὥσπερ τὰ ἄλλα, οἵ γε μηδὲ ξυμβεβιώκασί πω ἀνθρώποις, ἀλλὰ φύσει κεκτημένοι τὸ φιλεῖν, ἃ ἔτεκον, προκήδονταί τε αὐτῶν καὶ παιδοτροφοῦσι." „καὶ μὴ τοὺς ἐλέφαντας εἴπῃς, ὦ Δάμι· τοῦτο γὰρ τὸ ζῷον δεύτερον ἀνθρώπου τάττω κατὰ ξύνεσίν τε καὶ βουλάς, ἀλλὰ τάς τε ἄρκτους ἐνθυμοῦμαι μᾶλλον, ὡς ἀγριώταται θηρίων οὖσαι πάνθ' ὑπὲρ τῶν σκύμνων πράττουσι, τούς τε λύκους, ὡς ἀεὶ προσκείμενοι τῷ ἁρπάζειν ἡ μὲν θήλεια φυλάττει, ἃ ἔτεκεν, ὁ δὲ ἄρρην ὑπὲρ σωτηρίας τῶν σκυλάκων ἀπάγει αὐτῇ σῖτον, τάς τε 65
παρδάλεις ὡσαύτως, αἳ διὰ θερμότητα χαίρουσι τῷ γίγνεσθαι μητέρες, δεσπόζειν γὰρ δὴ τότε βούλονται τῶν ἀρρένων καὶ τοῦ οἴκου ἄρχειν, οἱ δὲ ἀνέχονται τὸ ἐξ αὐτῶν πᾶν ἡττώμενοι τοῦ τόκου. λέγεται δέ τις καὶ περὶ τῶν λεαινῶν λόγος, ὡς ἐραστὰς μὲν ποιοῦνται τοὺς παρδάλεις καὶ δέχονται αὐτοὺς ἐπὶ

τὰς εὐνὰς τῶν λεόντων ἐς τὰ πεδία, τῆς δὲ γαστρὸς ὥραν ἀγούσης ἀναφεύγουσιν ἐς τὰ ὄρη καὶ τὰ τῶν παρδάλεων ἤθη, στικτὰ γὰρ τίκτουσιν, ὅθεν κρύπτουσιν αὐτὰ καὶ θηλάζουσιν ἐν σκολιαῖς λόχμαις πλασάμεναι ἀφημερεύειν πρὸς θήραν. εἰ γὰρ φωράσειαν τουτὶ οἱ λέοντες, διασπῶνται τοὺς σκύμνους καὶ ξαίνουσι τὴν σπορὰν ὡς νόθον. ἐνέτυχες δήπου καὶ τῶν Ὁμηρείων λεόντων ἑνί, ὡς ὑπὲρ τῶν ἑαυτοῦ σκύμνων δεινὸν βλέπει καὶ ῥώννυσιν ἑαυτὸν μάχης ἅπτεσθαι. καὶ τὴν τίγριν δὲ χαλεπωτάτην οὖσάν φασιν ἐν τῇδε τῇ χώρᾳ καὶ περὶ τὴν θάλατταν τὴν Ἐρυθρὰν ἐπὶ τὰς ναῦς ἵεσθαι, τοὺς σκύμνους ἀπαιτοῦσαν, καὶ ἀπολαβοῦσαν μὲν ἀπιέναι χαίρουσαν, εἰ δὲ ἀποπλεύσαιεν, ὠρύεσθαι αὐτὴν πρὸς τῇ θαλάττῃ καὶ ἀποθνήσκειν ἐνίοτε. τὰ δὲ τῶν ὀρνίθων τίς οὐκ οἶδεν; ὡς ἀετοὶ μὲν καὶ πελαργοὶ καλιὰς οὐκ ἂν πήξαιντο μὴ πρότερον αὐταῖς ἐναρμόσαντες ὁ μὲν τὸν ἀετίτην λίθον, ὁ δὲ τὸν λυχνίτην ὑπὲρ
66 τῆς ᾠογονίας καὶ τοῦ μὴ πελάζειν σφίσι τοὺς ὄφεις. κἂν τὰ ἐν τῇ θαλάττῃ σκοπῶμεν, τοὺς μὲν δελφῖνας οὐκ ἂν θαυμάσαιμεν, εἰ χρηστοὶ ὄντες φιλοτεκνοῦσι, φαλαίνας δὲ καὶ φώκας καὶ τὰ ζῳοτόκα ἔθνη πῶς οὐ θαυμασόμεθα, εἰ φώκη μέν, ἣν εἶδον ἐγὼ ἐν Αἰγαῖς καθειργμένην ἐς κυνήγια, οὕτως ἐπένθησεν ἀποθανόντα τὸν σκύμνον, ὃν ἐν τῷ οἰκίσκῳ ἀπεκύησεν, ὡς μὴ προσδέξασθαι τριῶν ἡμερῶν σῖτον, καίτοι βορωτάτη θηρίων οὖσα, φάλαινα δὲ ἐς τοὺς χηραμοὺς τῆς φάρυγγος ἀναλαμβάνει τοὺς σκύμνους, ἐπειδὰν φεύγῃ τι ἑαυτῆς μεῖζον; καὶ ἔχιδνα ὤφθη ποτὲ τοὺς ὄφεις, οὓς ἀπέτεκε, λιχμωμένη καὶ θεραπεύουσα ἐκκειμένῃ τῇ γλώττῃ. μὴ γὰρ δεχώμεθα, ὦ Δάμι, τὸν εὐήθη λόγον, ὡς ἀμήτορες οἱ τῶν

ἐχιδνῶν τίκτονται, τουτὶ γὰρ οὐδὲ ἡ φύσις ξυγκεχώρηκεν, οὔτε ἡ πεῖρα.“ ὑπολαβὼν οὖν ὁ Δάμις „ξυγχωρεῖς οὖν“ ἔφη „τὸν Εὐριπίδην ἐπαινεῖν ἐπὶ τῷ ἰαμβείῳ τούτῳ, ᾧ πεποίηται αὐτῷ ἡ Ἀνδρομάχη λέγουσα

ἅπασι δ᾽ ἀνθρώποις ἄρ᾽ ἦν
ψυχὴ τέκνα;“

31 „ξυγχωρῶ,“ ἔφη „σοφῶς γὰρ καὶ δαιμονίως εἴρηται, πολλῷ δ᾽ ἂν σοφώτερον καὶ ἀληθέστερον εἶχεν, εἰ περὶ πάντων ζῴων ὕμνητο.“ „ἔοικας,“ ἔφη „Ἀπολλώνιε, μεταγράφειν τὸ ἰαμβεῖον, ἵν᾽ οὕτως ᾄδοιμεν·

ἅπασι δὲ ζῴοις ἄρ᾽ ἦν
ψυχὴ τέκνα.

XV καὶ ἕπομαί σοι, βέλτιον γάρ. „ἀλλ᾽ ἐκεῖνο μοι εἰπέ· 67
οὐκ ἐν ἀρχῇ τῶν λόγων ἔφαμεν σοφίαν εἶναι περὶ τοὺς ἐλέφαντας καὶ νοῦν περὶ ἃ πράττουσι;“ „καὶ εἰκότως,“ εἶπεν „ὦ Δάμι, ἔφαμεν, εἰ γὰρ μὴ νοῦς ἐκυβέρνα τόδε τὸ θηρίον, οὔτ᾽ ἂν αὐτὸ διεγίγνετο οὔτ᾽ ἂν τὰ ἔθνη, ἐν οἷς γίγνεται.“ „τί οὖν“ ἔφη „οὕτως ἀμαθῶς καὶ οὐ πρὸς τὸ χρήσιμον ἑαυτοῖς τὴν διάβασιν ποιοῦνται; ἡγεῖται μὲν γάρ, ὡς ὁρᾷς, ὁ μικρότατος, ἕπεται δὲ αὐτῷ τις ὀλίγῳ μείζων, εἶτα ὑπὲρ τοῦτον ἕτερος, καὶ οἱ μέγιστοι κατόπιν πάντες. ἔδει δέ που τὸν ἐναντίον τρόπον αὐτοὺς πορεύεσθαι καὶ τοὺς μεγίστους τείχη καὶ προβλήματα ἑαυτῶν ποιεῖσθαι.“ „ἀλλ᾽, ὦ Δάμι,“ ἔφη „πρῶτον μὲν ὑποφεύγειν ἐοίκασι δίωξιν ἀνθρώπων, οἷς που καὶ ἐντευξόμεθα ἑπομένοις τῷ ἴχνει, πρὸς δὲ τοὺς ἐπικειμένους δεῖ τὰ κατὰ νώτου πεφράχθαι μᾶλλον, ὥσπερ ἐν τοῖς πολέμοις, καὶ τοῦτο τακτικώτατον ἡγοῦ τῶν θηρίων, ἔπειτα ἡ διάβασις, εἰ μὲν προδιέβαινον οἱ μέγιστοι σφῶν, οὔπω τεκμαίρεσθαι παρεῖχον ἂν τοῦ

ὕδατος εἰ διαβήσονται πάντες, τοῖς μὲν γὰρ εὔπορός
τε καὶ ῥᾳδία ἡ περαίωσις ὑψηλοτάτοις οὖσι, τοῖς δὲ
χαλεπή τε καὶ ἄπορος, μὴ ὑπεραίρουσι τοῦ ῥεύμα-
τος, διελθὼν δὲ ὁ σμικρότατος τὸ ἄλυπον ἤδη καὶ
τοῖς λοιποῖς ἑρμηνεύει, καὶ ἄλλως οἱ μὲν μείζους
προεμβαίνοντες κοιλότερον ἂν τὸν ποταμὸν ἀποφαί-
νοιεν τοῖς σμικροῖς, ἀνάγκη γὰρ συνιζάνειν τὴν ἰλὺν
ἐς βόθρους διά τε βαρύτητα τοῦ θηρίου διά τε πα-
χύτητα τῶν ποδῶν, οἱ δ' ἐλάττους οὐδὲν ἂν βλά-
πτοιεν τὴν τῶν μειζόνων διαπορείαν ἧττον ἐμβοθρεύ-
οντες." ἐγὼ δὲ εὗρον ἐν τοῖς Ἰόβα λόγοις, ὡς καὶ XVI
ξυλλαμβάνουσιν ἀλλήλοις ἐν τῇ θήρᾳ καὶ προΐσταν-
68 ται τοῦ ἀπειπόντος, κἂν ἐξέλωνται αὐτόν, τὸ δάκρυον
τῆς ἀλόης ἐπαλείφουσι τοῖς τραύμασι περιεστῶτες
ὥσπερ ἰατροί. πολλὰ τοιαῦτα ἐφιλοσοφεῖτο αὐτοῖς
ἀφορμὰς ποιουμένοις τὰ λόγου ἄξια.

Τὰ δὲ Νεάρχῳ τε καὶ Πυθαγόρᾳ περὶ τοῦ Ἀκε- XVII
σίνου ποταμοῦ εἰρημένα, ὡς ἐσβάλλει μὲν ἐς τὸν
Ἰνδὸν οὗτος, τρέφει δὲ ὄφεις ἑβδομήκοντα πηχῶν
μῆκος, τοιαῦτα εἶναί φασιν, ὁποῖα εἴρηται, καὶ ἀνα-
κείσθω μοι ὁ λόγος ἐς τοὺς δράκοντας, ὧν ὁ Δάμις
ἀφηγεῖται τὴν θήραν. ἀφικόμενοι δὲ ἐπὶ τὸν Ἰνδὸν
καὶ πρὸς διαβάσει τοῦ ποταμοῦ ὄντες ἤροντο τὸν
Βαβυλώνιον, εἴ τι τοῦ ποταμοῦ οἶδε, διαβάσεως πέρι
ἐρωτῶντες, ὁ δὲ οὔπω ἔφη πεπλευκέναι αὐτόν, οὐδὲ
γιγνώσκειν, ὁπόθεν πλεῖται. „τί οὖν" ἔφασαν „οὐκ
ἐμισθώσω ἡγεμόνα;" „ὅτι ἔστιν" ἔφη „ὁ ἡγησόμε-
νος" καὶ ἅμα ἐδείκνυ τινὰ ἐπιστολὴν ὡς τοῦτο πρά-
ξουσαν, ὅτε δὴ καὶ τὸν Οὐαρδάνην τῆς τε φιλαν-
θρωπίας καὶ τῆς ἐπιμελείας ἀγασθῆναί φασι· πρὸς
γὰρ τὸν ἐπὶ τοῦ Ἰνδοῦ σατράπην ἔπεμψε τὴν ἐπι-
στολὴν ταύτην καίτοι μὴ ὑποκείμενον τῇ ἑαυτοῦ

ἀρχῇ, εὐεργεσίας ἀναμιμνήσκων αὐτόν, καὶ χάριν μὲν οὐκ ἂν ἐπ' ἐκείνῃ ἀπαιτῆσαι φάσκων — οὐ γὰρ εἶναι πρὸς τοῦ ἑαυτοῦ τρόπου τὸ ἀνταπαιτεῖν —
32 Ἀπολλώνιον δὲ ὑποδεξαμένῳ καὶ πέμψαντι οἷ βούλεται χάριν ἂν γνῶναι. χρυσίον δὲ τῷ ἡγεμόνι ἔδωκεν, ἵν' εἰ δεηθέντα τὸν Ἀπολλώνιον αἴσθοιτο, δοίη τοῦτο καὶ μὴ ἐς ἄλλου χεῖρα βλέψειεν. ἐπεὶ δὲ τὴν ἐπιστολὴν ὁ Ἰνδὸς ἔλαβε, μεγάλων τε ἀξιοῦσθαι ἔφη καὶ φιλοτιμήσεσθαι περὶ τὸν ἄνδρα μεῖον οὐδὲν ἢ εἰ ὁ βασιλεὺς τῶν Ἰνδῶν ὑπὲρ αὐτοῦ ἔγραφε, καὶ τήν τε ναῦν τὴν σατραπίδα ἔδωκεν αὐτῷ ἐμβῆναι πλοῖά τε ἕτερα, ἐφ' ὧν αἱ κάμηλοι ἐκομίζοντο, ἡγε- 69
μόνα τε τῆς γῆς πάσης, ἣν ὁ Ὑδραώτης ὁρίζει, πρός τε τὸν βασιλέα τὸν ἑαυτοῦ ἔγραψε μὴ χείρω αὐτοῦ Οὐαρδάνου γενέσθαι περὶ ἄνδρα Ἕλληνά τε καὶ θεῖον.

XVIII Τὸν μὲν δὴ Ἰνδὸν ὧδε ἐπεραιώθησαν σταδίους μάλιστα τεσσαράκοντα, τὸ γὰρ πλόιμον αὐτοῦ τοσοῦτον, περὶ δὲ τοῦ ποταμοῦ τούτου τάδε γράφουσι· τὸν Ἰνδὸν ἄρχεσθαι μὲν ἐκ τοῦ Καυκάσου μείζω αὐτόθεν ἢ οἱ κατὰ τὴν Ἀσίαν ποταμοὶ πάντες, προχωρεῖν δὲ πολλοὺς τῶν ναυσιπόρων ἑαυτοῦ ποιούμενον, ἀδελφὰ δὲ τῷ Νείλῳ πράττοντα τῇ τε Ἰνδικῇ ἐπιχεῖσθαι γῆν τε ἐπάγειν τῇ γῇ καὶ παρέχειν Ἰνδοῖς τὸν Αἰγυπτίων τρόπον σπείρειν. χιόσι δ' Αἰθιόπων τε καὶ Καταδούπων ὀρῶν ἀντιλέγειν μὲν οὐκ ἀξιῶ διὰ τοὺς εἰπόντας, οὐ μὴν ξυντίθεμαί γε λογιζόμενος τὸν Ἰνδόν, ὡς ταὐτὸν τῷ Νείλῳ ἐργάζεται μὴ νιφομένης τῆς ὑπὲρ αὐτὸν χώρας, καὶ ἄλλως τὸν θεὸν οἶδα κέρατα τῆς γῆς ξυμπάσης Αἰθίοπάς τε καὶ Ἰνδοὺς ἀποφαίνοντα μελαίνοντά τε τοὺς μὲν ἀρχομένου ἡλίου, τοὺς δὲ λήγοντος, ὃ πῶς ἂν ξυνέβαινε

περὶ τοὺς ἀνθρώπους, εἰ μὴ καὶ τὸν χειμῶνα ἐθέροντο; ἣν δὲ ἀνὰ πᾶν ἔτος θάλπει γῆν ἥλιος, πῶς ἄν τις ἡγοῖτο νίφεσθαι, πῶς δ' ἂν τὴν χιόνα χορηγὸν τοῖς ἐκείνῃ ποταμοῖς γίγνεσθαι τοῦ ὑπεραίρειν τὰ σφῶν αὐτῶν μέτρα; εἰ δὲ καὶ φοιτᾶν χιόνα ἐς τὰ οὕτω πρόσειλα, πῶς ἂν αὐτὴν ἐς τοσόνδε ἀναχυθῆ-
70 ναι πέλαγος; πῶς δ' ἂν ἀποχρῆσαι ποταμῷ βυθίζοντι Αἴγυπτον; κομιζόμενοι δὲ διὰ τοῦ Ἰνδοῦ πολ- XIX
λοῖς μὲν ποταμίοις ἵπποις ἐντυχεῖν φασι, πολλοῖς δὲ κροκοδείλοις, ὥσπερ οἱ τὸν Νεῖλον πλέοντες, λέγουσι δὲ καὶ ἄνθη τῷ Ἰνδῷ εἶναι, οἷα τοῦ Νείλου ἀναφύεται, καὶ τὰς ὥρας, αἳ περὶ τὴν Ἰνδικήν εἰσι, χειμῶνος μὲν ἀλεεινὰς εἶναι, θέρους δὲ πνιγηράς, πρὸς δὲ τοῦτο ἄριστα μεμηχανῆσθαι τῷ δαίμονι, τὴν γὰρ χώραν αὐτοῖς θαμὰ ὕεσθαι. φασὶ δὲ καὶ ἀκοῦσαι τῶν Ἰνδῶν, ὡς ἀφικνοῖτο μὲν ὁ βασιλεὺς ἐπὶ τὸν ποταμὸν τοῦτον, ὅτε ἀναβιβάζοιεν αὐτὸν αἱ ὧραι, θύοι δὲ αὐτῷ ταύρους τε καὶ ἵππους μέλανας — τὸ γὰρ λευκὸν ἀτιμότερον Ἰνδοὶ τίθενται τοῦ μέλανος δι', οἶμαι, τὸ ἑαυτῶν χρῶμα — θύσαντα δὲ καταποντοῦν φασι τῷ ποταμῷ χρυσοῦν μέτρον, εἰκασμένον τῷ ἀπομετροῦντι τὸν σῖτον, καὶ ἐφ' ὅτῳ μὲν τοῦτο πράττει ὁ βασιλεύς, οὐ ξυμβαλέσθαι τοὺς Ἰνδούς, αὐτοὶ δὲ τεκμαίρεσθαι τὸ μέτρον καταποντοῦσθαι τοῦτο ἢ ὑπὲρ ἀφθονίας καρπῶν, οὓς γεωργοὶ ἀπομετροῦσιν, ἢ ὑπὲρ ξυμμετρίας τοῦ ῥεύματος, ὡς μὴ κατακλύσειε τὴν γῆν πολὺς ἀφικόμενος.

Πορευθέντας δὲ αὐτοὺς ὑπὲρ τὸν ποταμὸν ἦγεν XX
ὁ παρὰ τοῦ σατράπου ἡγεμὼν εὐθὺ τῶν Ταξίλων, οὗ τὰ βασίλεια ἦν τῷ Ἰνδῷ. στολὴν δὲ εἶναι τοῖς μετὰ τὸν Ἰνδὸν λίνου φασὶν ἐγχωρίου καὶ ὑποδήματα βύβλου καὶ κυνῆν, ὅτε ὕοι, καὶ βύσσῳ δὲ τοὺς

33 φανερωτέρους αὐτῶν φασιν ἐστάλθαι, τὴν δὲ βύσσον 71
φύεσθαι δένδρου φασὶν ὁμοίου μὲν τῇ λεύκῃ τὴν
βάσιν, παραπλησίου δὲ τῇ ἰτέᾳ τὰ πέταλα. καὶ ἡσθῆ-
ναι τῇ βύσσῳ φησὶν ὁ Ἀπολλώνιος, ἐπειδὴ ἔοικε
φαιῷ τρίβωνι. καὶ ἐς Αἴγυπτον δὲ ἐξ Ἰνδῶν ἐς
πολλὰ τῶν ἱερῶν φοιτᾷ ἡ βύσσος. τὰ δὲ Τάξιλα
μέγεθος μὲν εἶναι κατὰ τὴν Νῖνον, τετειχίσθαι δὲ
ξυμμέτρως, ὥσπερ αἱ Ἑλλάδες, βασίλεια δὲ εἶναι ἀν-
δρὸς τὴν Πώρου τότε ἀρχὴν ἄρχοντος, νεὼν δὲ πρὸ
τοῦ τείχους ἰδεῖν φασιν οὐ παρὰ πολὺ τῶν ἑκατομ-
πόδων λίθου κογχυλιάτου, καὶ κατεσκευάσθαι τι
ἱερὸν ἐν αὐτῷ ἧττον μὲν ἢ κατὰ τὸν νεὼν τοσοῦτόν
τε ὄντα καὶ περικίονα, θαυμάσαι δὲ ἄξιον· χαλκοῖ
γὰρ πίνακες ἐγκεκρότηνται τοίχῳ ἑκάστῳ, γεγραμ-
μένοι τὰ Πώρου τε καὶ Ἀλεξάνδρου ἔργα· γεγρά-
φαται δὲ ὀρειχάλκῳ καὶ ἀργύρῳ καὶ χρυσῷ καὶ χαλκῷ
μέλανι ἐλέφαντες ἵπποι στρατιῶται κράνη ἀσπίδες,
λόγχαι δὲ καὶ βέλη καὶ ξίφη σιδήρου πάντα, καὶ
ὥσπερ λόγος εὐδοκίμου γραφῆς, οἷον εἰ Ζεύξιδος εἴη
τι ἢ Πολυγνώτου τε καὶ Εὐφράνορος, οἳ τὸ εὔσκιον
ἠσπάσαντο καὶ τὸ ἔμπνουν καὶ τὸ ἐσέχον τε καὶ ἐξέ- 72
χον, οὕτως, φασί, κἀκεῖ διαφαίνεται, καὶ ξυντετή-
κασιν αἱ ὗλαι καθάπερ χρώματα. ἡδὺ δὲ καὶ αὐτὸ
τὸ ἦθος τῆς γραφῆς· ἀναθεὶς γὰρ ταῦτα μετὰ τὴν
τοῦ Μακεδόνος τελευτὴν ὁ Πῶρος νικᾷ ἐν αὐτοῖς ὁ
Μακεδὼν καὶ τὸν Πῶρον ἀνακτᾶται τετρωμένον καὶ
δωρεῖται τὴν Ἰνδικὴν ἑαυτοῦ λοιπὸν οὖσαν. λέγεται
δὲ καὶ πενθῆσαι τὸν Ἀλέξανδρον ἀποθανόντα ὁ Πῶ-
ρος ὀλοφύρασθαί τε ὡς γενναῖον καὶ χρηστὸν βασι-
λέα, ζῶντός τε Ἀλεξάνδρου μετὰ τὴν ἐκ τῆς Ἰνδικῆς
ἀναχώρησιν μήτε εἰπεῖν τι ὡς βασιλεὺς καίτοι ξυγχω-
ροῦντος, μήτε προστάξαι τοῖς Ἰνδοῖς, ἀλλ' ὥσπερ

σατράπης σωφροσύνης μεστὸς εἶναι καὶ πράττειν ἐς χάριν τὴν ἐκείνου πάντα. οὐ ξυγχωρεῖ μοι ὁ λόγος XXI
παρελθεῖν, ἃ περὶ τοῦ Πώρου τούτου ἀναγράφουσι· πρὸς διαβάσει γὰρ τοῦ Μακεδόνος ὄντος καὶ ξυμβουλευόντων αὐτῷ ἐνίων τοὺς ὑπὲρ τὸν Ὕφασίν τε καὶ τὸν Γάγγην ποταμὸν ποιεῖσθαι ξυμμάχους, οὐ γὰρ ἂν πρὸς τὴν Ἰνδικὴν πᾶσαν ξυμφρονοῦσαν παρατάξεσθαί ποτε αὐτόν „εἰ τοιοῦτόν ἐστί μοι“ ἔφη „τὸ ὑπήκοον, ὡς μὴ σώζεσθαι ἄνευ ξυμμάχων, ἐμοὶ βέλτιον τὸ μὴ ἄρχειν.“ ἀπαγγείλαντος δὲ αὐτῷ τινος, ὅτι Δαρεῖον ᾕρηκε „βασιλέα,“ ἔφη „ἄνδρα δὲ οὔ.“
73 τὸν δὲ ἐλέφαντα, ἐφ' οὗ μάχεσθαι ἔμελλε, κοσμήσαντος τοῦ ὀρεωκόμου καὶ εἰπόντος „οὗτος σέ, ὦ βασιλεῦ, οἴσει,“ „ἐγὼ μὲν οὖν“ ἔφη „τοῦτον, ἤν γε ἀνὴρ ἐμαυτῷ ὅμοιος γένωμαι.“ γνώμην δὲ ποιουμένων θῦσαι αὐτὸν τῷ ποταμῷ, ὡς μὴ δέξαιτο τὰς Μακεδόνων σχεδίας, μηδὲ εὔπορος τῷ Ἀλεξάνδρῳ γένοιτο, „οὐκ ἔστιν“ ἔφη „τῶν ὅπλα ἐχόντων τὸ καταρᾶσθαι.“ μετὰ δὲ τὴν μάχην, ὅτε καὶ τῷ Ἀλεξάνδρῳ θεῖός τε καὶ ὑπὲρ τὴν φύσιν τὴν ἀνθρωπείαν ἔδοξεν, εἰπόντος τῶν ξυγγενῶν τινος, „εἰ δὲ προσεκύνησας διαβάντα, ὦ Πῶρε, οὔτ' ἂν ἡττήθης μαχόμενος οὔτ' ἂν τοσοῦτοι Ἰνδῶν ἀπώλοντο, οὔτ' ἂν αὐτὸς ἐτέτρωσο,“ „ἐγὼ τὸν Ἀλέξανδρον“ εἶπε „φιλοτιμότατον ἀκούων ξυνῆκα, ὅτι προσκυνήσαντα μὲν δοῦλόν με ἡγήσεται, πολεμήσαντα δὲ βασιλέα, καὶ θαυμάζεσθαι μᾶλλον ἠξίουν ἢ ἐλεεῖσθαι, καὶ οὐκ ἐψεύσθην· παρασχὼν γὰρ ἐμαυτόν, οἷον Ἀλέξανδρος εἶδε, πάντα ἐν ἡμέρᾳ μιᾷ καὶ ἀπώλεσα καὶ ἐκτησάμην.“ τοιοῦτον μὲν τὸν Ἰνδὸν τοῦτον ἐξιστοροῦσι, γενέσθαι δέ φασιν αὐτὸν κάλλιστον Ἰνδῶν
καὶ μῆκος, ὅσον οὔπω τινὰ ἀνθρώπων τῶν μετὰ τοὺς 34

Τρωικοὺς ἄνδρας, εἶναι δὲ κομιδῇ νέον, ὅτε τῷ Ἀλεξάνδρῳ ἐπολέμει.

XXII Ὃν δὲ διέτριβεν ἐν τῷ ἱερῷ χρόνον, πολὺς δὲ οὗτος ἐγένετο, ἔστ' ἂν ἀγγελθῇ τῷ βασιλεῖ ξένους ἥκειν, „ὦ Δάμι“ ἔφη ὁ Ἀπολλώνιος, „ἔστι τι γραφική;“ „εἴ γε“ εἶπε „καὶ ἀλήθεια.“ „πράττει δὲ τί ἡ τέχνη αὕτη;“ „τὰ χρώματα“ ἔφη „ξυγκεράννυσιν, ὁπόσα ἐστί, τὰ κυανᾶ τοῖς βατραχείοις καὶ τὰ 74
λευκὰ τοῖς μέλασι καὶ τὰ πυρσὰ τοῖς ὠχροῖς.“ „ταυτὶ δὲ“ ἦ δ' ὅς „ὑπὲρ τίνος μίγνυσιν; οὐ γὰρ ὑπὲρ μόνου τοῦ ἄνθους, ὥσπερ αἱ κήριναι.“ „ὑπὲρ μιμήσεως“ ἔφη „καὶ τοῦ κύνα τε ἐξεικάσαι καὶ ἵππον καὶ ἄνθρωπον καὶ ναῦν καὶ ὁπόσα ὁρᾷ ὁ ἥλιος· ἤδη δὲ καὶ τὸν ἥλιον αὐτὸν ἐξεικάζει τοτὲ μὲν ἐπὶ τεττάρων ἵππων, οἷος ἐνταῦθα λέγεται φαίνεσθαι, τοτὲ δ' αὖ καὶ διαπυρσεύοντα τοῦ οὐρανοῦ, ἐπειδὰν αἰθέρα ὑπογράφῃ καὶ θεῶν οἶκον.“ „μίμησις οὖν ἡ γραφική, ὦ Δάμι;“ „τί δὲ ἄλλο;“ εἶπεν „εἰ γὰρ μὴ τοῦτο πράττοι, γελοία δόξει χρώματα ποιοῦσα εὐήθως.“ „τὰ δ' ἐν τῷ οὐρανῷ“ ἔφη „βλεπόμενα, ἐπειδὰν αἱ νεφέλαι διασπασθῶσιν ἀπ' ἀλλήλων, τοὺς κενταύρους καὶ τραγελάφους καί, νὴ Δί', οἱ λύκοι τε καὶ οἱ ἵπποι, τί φήσεις; ἆρ' οὐ μιμητικῆς εἶναι ἔργα;“ „ἔοικεν,“ ἔφη. „ζωγράφος οὖν ὁ θεός, ὦ Δάμι, καὶ καταλιπὼν τὸ πτηνὸν ἅρμα, ἐφ' οὗ πορεύεται διακοσμῶν τὰ θεῖά τε καὶ ἀνθρώπεια, κάθηται τότε ἀθύρων τε καὶ γράφων ταῦτα, ὥσπερ οἱ παῖδες ἐν τῇ ψάμμῳ;“ ἠρυθρίασεν ὁ Δάμις ἐς οὕτως ἄτοπον ἐκπεσεῖν δόξαντος τοῦ λόγου. οὐχ ὑπεριδὼν οὖν αὐτὸν ὁ Ἀπολλώνιος, οὐδὲ γὰρ πικρὸς πρὸς τὰς ἐλέγξεις ἦν, „ἀλλὰ μὴ τοῦτο“ ἔφη „βούλει λέγειν, ὦ Δάμι, τὸ ταῦτα μὲν ἄσημά τε καὶ ὡς ἔτυχε

διὰ τοῦ οὐρανοῦ φέρεσθαι τόγε ἐπὶ τῷ θεῷ, ἡμᾶς δὲ
φύσει τὸ μιμητικὸν ἔχοντας ἀναρρυθμίζειν τε αὐτὰ
καὶ ποιεῖν;“ „μᾶλλον“ ἔφη „τοῦτο ἡγώμεθα, ὦ
Ἀπολλώνιε, πιθανώτερον γὰρ καὶ πολλῷ βέλτιον.“
„διττὴ ἄρα ἡ μιμητική, ὦ Δάμι, καὶ τὴν μὲν ἡγώ-
μεθα οἵαν τῇ χειρὶ ἀπομιμεῖσθαι καὶ τῷ νῷ, γραφι-
κὴν δὲ εἶναι ταύτην, τὴν δ᾽ αὖ μόνῳ τῷ νῷ εἰκά-
ζειν.“ „οὐ διττήν,“ ἔφη ὁ Δάμις „ἀλλὰ τὴν μὲν
75 τελεωτέραν ἡγεῖσθαι προσήκει γραφικήν γε οὖσαν,
ἣ δύναται καὶ τῷ νῷ καὶ τῇ χειρὶ ἐξεικάσαι, τὴν δὲ
ἑτέραν ἐκείνης μόριον, ἐπειδὴ ξυνίησι μὲν καὶ μιμεῖ-
ται τῷ νῷ καὶ μὴ γραφικός τις ὤν, τῇ χειρὶ δὲ οὐκ
ἂν ἐς τὸ γράφειν αὐτὰ χρήσαιτο.“ „ἆρα,“ ἔφη „ὦ
Δάμι, πεπηρωμένος τὴν χεῖρα ὑπὸ πληγῆς τινος ἢ
νόσου;“ „μὰ Δί᾽“ εἶπεν „ἀλλ᾽ ὑπὸ τοῦ μήτε γρα-
φίδος τινὸς ἧφθαι, μήτε ὀργάνου τινὸς ἢ χρώματος,
ἀλλ᾽ ἀμαθῶς ἔχειν τοῦ γράφειν.“ „οὐκοῦν,“ ἔφη
„ὦ Δάμι, ἄμφω ὁμολογοῦμεν μιμητικὴν μὲν ἐκ φύ-
σεως τοῖς ἀνθρώποις ἥκειν, τὴν γραφικὴν δὲ ἐκ
τέχνης. τουτὶ δ᾽ ἂν καὶ περὶ τὴν πλαστικὴν φαί-
νοιτο. τὴν δὲ δὴ ζωγραφίαν αὐτὴν οὔ μοι δοκεῖς
μόνον τὴν διὰ τῶν χρωμάτων ἡγεῖσθαι, καὶ γὰρ ἓν
χρῶμα ἐς αὐτὴν ἤρκεσε τοῖς γε ἀρχαιοτέροις τῶν
γραφέων καὶ προϊοῦσα τεττάρων εἶτα πλειόνων ἥψα-
το, ἀλλὰ καὶ γραμμὴν καὶ τὸ ἄνευ χρώματος, ὃ δὴ
σκιᾶς τε ξύγκειται καὶ φωτός, ζωγραφίαν προσήκει
καλεῖν· καὶ γὰρ ἐν αὐτοῖς ὁμοιότης τε ὁρᾶται εἶδός
τε καὶ νοῦς καὶ αἰδὼς καὶ θρασύτης, καίτοι χηρεύει
χρωμάτων ταῦτα, καὶ οὔτε αἷμα ἐνσημαίνει οὔτε κό- 35
μης τινὸς ἢ ὑπήνης ἄνθος, ἀλλὰ μονοτρόπως ξυν-
τιθέμενα τῷ τε ξανθῷ ἀνθρώπῳ ἔοικε καὶ τῷ λευκῷ,
76 κἂν τούτων τινὰ τῶν Ἰνδῶν λευκῇ τῇ γραμμῇ γρά-

ψωμεν, μέλας δήπου δόξει, τὸ γὰρ ὑπόσιμον τῆς ῥινὸς καὶ οἱ ὀρθοὶ βόστρυχοι καὶ ἡ περιττὴ γένυς καὶ ἡ περὶ τοῖς ὀφθαλμοῖς οἷον ἔκπληξις μελαίνει τὰ ὁρώμενα καὶ Ἰνδὸν ὑπογράφει τοῖς γε μὴ ἀνοήτως ὁρῶσιν. ὅθεν εἴποιμ' ἂν καὶ τοὺς ὁρῶντας τὰ τῆς γραφικῆς ἔργα μιμητικῆς δεῖσθαι· οὐ γὰρ ἂν ἐπαινέσειέ τις τὸν γεγραμμένον ἵππον ἢ ταῦρον μὴ τὸ ζῷον ἐνθυμηθείς, ᾧ εἴκασται, οὐδ' ἂν τὸν Αἴαντά τις τὸν Τιμομάχου ἀγασθείη, ὃς δὴ ἀναγέγραπται αὐτῷ μεμηνώς, εἰ μὴ ἀναλάβοι τι ἐς τὸν νοῦν Αἴαντος εἴδωλον καὶ ὡς εἰκὸς αὐτὸν ἀπεκτονότα τὰ ἐν τῇ Τροίᾳ βουκόλια καθῆσθαι ἀπειρηκότα, βουλὴν ποιούμενον καὶ ἑαυτὸν κτεῖναι. ταυτὶ δέ, ὦ Δάμι, τὰ τοῦ Πώρου δαίδαλα μήτε χαλκευτικῆς μόνον ἀποφαινώμεθα, γεγραμμένοις γὰρ εἴκασται, μήτε γραφικῆς, ἐπειδὴ ἐχαλκεύθη, ἀλλ' ἡγώμεθα σοφίσασθαι αὐτὰ γραφικόν τε καὶ χαλκευτικὸν ἕνα ἄνδρα, οἷον δή τι παρ' Ὁμήρῳ τὸ τοῦ Ἡφαίστου περὶ τὴν τοῦ Ἀχιλλέως ἀσπίδα ἀναφαίνεται. μεστὰ γὰρ καὶ ταῦτα ὀλλύντων τε καὶ ὀλλυμένων, καὶ τὴν γῆν ᾑματῶσθαι φήσεις χαλκῆν οὖσαν.“

XXIII Τοιαῦτα σπουδάζοντι τῷ ἀνδρὶ ἐφίστανται παρὰ τοῦ βασιλέως ἄγγελοι καὶ ἑρμηνεύς, ὡς ποιοῖτο αὐτὸν ὁ βασιλεὺς ξένον ἐς τρεῖς ἡμέρας, μὴ γὰρ πλειόνων νενομίσθαι τοὺς ξένους ἐνομιλεῖν τῇ πόλει, καὶ ἡγοῦντο αὐτῷ ἐς τὰ βασίλεια. ἡ πόλις δ' ὡς μὲν ἔχει τοῦ τείχους, εἴρηκα, φασὶ δ' ὡς ἀτάκτως τε καὶ Ἀττικῶς τοὺς στενωποὺς τέτμηται κατεσκεύ- 77
ασταί τε οἰκίαις, εἰ μὲν ἔξωθεν ὁρῴη τις αὐτάς, ἕνα ἐχούσαις ὄροφον, εἰ δ' ἔσω παρέλθοι τις, ὑπογείοις ἤδη καὶ παρεχομέναις ἴσα τοῖς ἄνω τὰ ὑπὸ τῇ γῇ.

XXIV ἱερὸν δὲ ἰδεῖν Ἡλίου φασίν, ᾧ ἀνεῖτο Αἴας ἐλέφας,

*καὶ ἀγάλματα Ἀλεξάνδρου χρυσᾶ καὶ Πώρου ἕτερα,
χαλκοῦ δ' ἦν ταῦτα μέλανος. οἱ δὲ τοῦ ἱεροῦ τοῖχοι,
πυρσαῖς λίθοις ὑπαστράπτει χρυσὸς αὐγὴν ἐκδι-
δοὺς ἐοικυῖαν ἀκτῖνι. τὸ δὲ ἕδος αὐτὸ μαργαρίτιδος
ξύγκειται ξυμβολικὸν τρόπον, ᾧ βάρβαροι πάντες ἐς
τὰ ἱερὰ χρῶνται.*

Περὶ δὲ τὰ βασίλεια οὔτε ὄγκον ἰδεῖν φασιν οἰ- XXV
*κοδομημάτων, οὔτε δορυφόρους ἢ φύλακας, ἀλλ' οἷα
περὶ τὰς τῶν λαμπρῶν οἰκίας, ὀλίγους οἰκέτας καὶ
διαλεχθῆναι τῷ βασιλεῖ δεομένους τρεῖς, οἶμαι, ἢ
τέτταρας καὶ τὸν κόσμον τοῦτον ἀγασθῆναι μᾶλλον
ἢ τὰ ἐν Βαβυλῶνι φλεγμαίνοντα, καὶ πολλῷ πλέον
ἔσω παρελθόντες· καὶ γὰρ τοὺς ἀνδρῶνας καὶ τὰς
στοὰς καὶ τὴν αὐλὴν πᾶσαν κεκολάσθαι φασίν. ἔδο-* XXVI
*ξεν οὖν τῷ Ἀπολλωνίῳ φιλοσοφεῖν ὁ Ἰνδὸς καὶ
παραστησάμενος τὸν ἑρμηνέα „χαίρω,“ εἶπεν „ὦ
βασιλεῦ, φιλοσοφοῦντά σε ὁρῶν.“ ἐγὼ δὲ ὑπερχαί-
ρω“ ἔφη „ἐπειδὴ οὕτω περὶ ἐμοῦ οἴει.“ „τουτὶ δὲ
νενόμισται παρ' ὑμῖν,“ εἶπεν „ἢ σὺ πρὸς τὸ ἐπι-
εικὲς τοῦτο τὴν ἀρχὴν κατεστήσω;“ „σωφρόνως“
ἔφη „νενομισμένῳ σωφρονέστερον χρῶμαι, καὶ πλεῖ-*
78 *στα μὲν ἔχω ἀνθρώπων, δέομαι δὲ ὀλίγων, τὰ γὰρ
πολλὰ τῶν φίλων τῶν ἐμαυτοῦ ἡγοῦμαι.“ „μακάριε
τοῦ θησαυροῦ,“ εἶπεν „εἰ χρυσοῦ τε καὶ ἀργύρου
ἀντερύῃ τοὺς φίλους, ἐξ ὧν ἀναφύεταί σοι πολλά
τε καὶ ἀγαθά.“ „καὶ μὴν καὶ τοῖς ἐχθροῖς“ ἔφη
„κοινωνῶ τοῦ πλούτου. τοὺς γὰρ ἀεί ποτε διαφό-
ρους τῇ χώρᾳ ταύτῃ βαρβάρους προσοικοῦντας καὶ
καταδρομαῖς χρωμένους ἐς τἀμὰ ὅρια ὑποποιοῦμαι
τουτοισὶ τοῖς χρήμασι καὶ δορυφορεῖταί μοι ὑπ' αὐ-
τῶν ἡ χώρα, καὶ οὔτε αὐτοὶ ἐπὶ τἀμὰ φοιτῶσι τούς
τε ὁμόρους αὐτοῖς βαρβάρους ἀνείργουσι, χαλεποὺς*

36 ὄντας.“ ἐρομένου δὲ αὐτὸν τοῦ Ἀπολλωνίου, εἰ καὶ Πῶρος αὐτοῖς ἐτέλει χρήματα, „Πῶρος“ εἶπε „πολέμου ἤρα, ἐγὼ δὲ εἰρήνης.“ πάνυ τοῖς λόγοις τούτοις ἐχειροῦτο τὸν Ἀπολλώνιον καὶ οὕτως αὐτοῦ ἡττήθη, ὡς Εὐφράτῃ ποτὲ ἐπιπλήττων μὴ φιλοσοφοῦντι „ἡμεῖς δὲ ἀλλὰ τὸν Ἰνδὸν Φραώτην αἰδώμεθα,“ φάναι, ὄνομα γὰρ τῷ Ἰνδῷ τοῦτο ἦν. σατράπου δέ, ἐπειδὴ μεγάλων παρ' αὐτοῦ ἠξιώθη, βουληθέντος αὐτὸν ἀναδῆσαι μίτρᾳ χρυσῇ κεκοσμημένῃ λίθοις ποικίλοις „ἐγώ,“ ἔφη „εἰ καὶ τῶν ζηλούντων τὰ τοιαῦτα ἦν, παρῃτησάμην ἂν αὐτὰ νῦν καὶ ἀπέρριψα τῆς κεφαλῆς Ἀπολλωνίῳ ἐντυχών, οἷς δὲ μήπω πρότερον ἀναδεῖσθαι ἠξίωσα, πῶς ἂν νῦν κοσμοίμην τὸν μὲν ξένον ἀγνοήσας, ἐμαυτοῦ δὲ ἐκλαθόμενος;“ ἤρετο αὐτὸν καὶ περὶ διαίτης ὁ Ἀπολλώνιος, ὁ δὲ „οἴνου μὲν“ ἔφη „πίνω τοσοῦτον, ὅσον τῷ Ἡλίῳ σπένδω, ἃ δ' ἂν ἐν θήρᾳ λάβω, ταῦτα σιτοῦνται ἕτεροι, ἐμοὶ δ' ἀπόχρη τὸ γεγυμνάσθαι. τὰ δὲ ἐμὰ σιτία λάχανα καὶ φοινίκων ἐγκέφαλοι καὶ ὁ καρπὸς τῶν φοινίκων καὶ ὁπόσα ὁ ποταμὸς κηπεύει. πολλὰ δέ μοι καὶ ἀπὸ δένδρων φύεται, ὧν γεωργοὶ αἵδε αἱ χεῖρες.“ ταῦτα ἀκούων ὁ Ἀπολλώνιος ὑπερήδετό τε 79
καὶ ἐς τὸν Δάμιν θαμὰ ἑώρα.

XXVII Ἐπεὶ δὲ ἱκανῶς διελέχθησαν περὶ τῆς ὁδοῦ τῆς παρὰ τοὺς Βραχμᾶνας, τὸν μὲν παρὰ τοῦ Βαβυλωνίου ἡγεμόνα ἐκέλευσε ξενίζειν, ὥσπερ εἰώθει τοὺς ἐκ Βαβυλῶνος ἥκοντας, τὸν δὲ παρὰ τοῦ σατράπου ἀπιέναι λαβόντα ἐφόδια, αὐτὸς δὲ λαβόμενος τῆς τοῦ Ἀπολλωνίου χειρός, καὶ κελεύσας ἀπελθεῖν τὸν ἑρμηνέα „ἆρ' ἂν“ ἔφη „ποιήσαιό με συμπότην;“ ἤρετο δ' αὐτὸν φωνῇ Ἑλλάδι. ἐκπλαγέντος δὲ τοῦ Ἀπολλωνίου καὶ „τοῦ χάριν οὐκ ἐξ ἀρχῆς οὕτω

διελέγου;“ φήσαντος „ἔδεισα“ ἔφη „θρασὺς δόξαι μὴ γιγνώσκων ἐμαυτόν, μηδ᾽ ὅτι βάρβαρον εἶναί με δοκεῖ τῇ τύχῃ, σοῦ δὲ ἡττηθείς, ἐπειδὴ καὶ σὲ ὁρῶ ἐμοὶ χαίροντα, οὐκ ἠδυνήθην ἐμαυτὸν κρύπτειν, ὡς δὲ μεστός εἰμι τῆς Ἑλλήνων φωνῆς, ἐν πολλοῖς δηλώσω.“ „τί οὖν“ εἶπεν „οὐκ αὐτὸς ἐπήγγειλας ἐμοὶ τὸ συμπόσιον, ἀλλ᾽ ἐμέ σοι κελεύεις ἐπαγγέλλειν;“ „ὅτι σε“ ἔφη „βελτίω ἐμαυτοῦ ἡγοῦμαι, τὸ γὰρ βασιλικώτερον σοφία ἔχει.“ καὶ ἅμα ἦγεν αὐτόν τε καὶ τοὺς ἀμφ᾽ αὐτόν, οὗπερ εἰώθει λοῦσθαι. τὸ δὲ βαλανεῖον παράδεισος ἦν σταδίου μῆκος, ᾧ μέση κολυμβήθρα ἐνωρώρυκτο πηγὰς ἐκδεχομένη ποτίμου τε καὶ ψυχροῦ ὕδατος, τὰ δὲ ἐφ᾽ ἑκάτερα δρόμοι ἦσαν, ἐν οἷς ἀκοντίῳ τε καὶ δίσκῳ τὸν Ἑλληνικὸν τρόπον ἑαυτὸν ἐξήσκει, καὶ γὰρ τὸ σῶμα ἔρρωτο ὑπό τε ἡλικίας — ἑπτὰ γὰρ καὶ εἴκοσιν ἔτη γεγονὼς ἦν — ὑπό τε τοῦ ὧδε γυμνάζεσθαι. ἐπεὶ δὲ ἱκανῶς ἔχοι, ἐπήδα ἐς τὸ ὕδωρ καὶ ἐγύμναζεν ἑαυτὸν τῷ νεῖν. ὡς δὲ ἐλούσαντο, ἐβάδιζον ἐς τὸ συσσίτιον ἐστεφανωμένοι, τουτὶ δὲ νενόμισται Ἰνδοῖς, ἐπειδὰν ἐς τοῦ βασιλέως πίνωσιν.

Ἄξιον δὲ μηδὲ τὸ σχῆμα παραλιπεῖν τοῦ πότου XXVIII
σαφῶς γε ἀναγεγραμμένον ὑπὸ τοῦ Δάμιδος· εὐωχεῖται μὲν γὰρ ἐπὶ στιβάδος ὁ βασιλεὺς καὶ τῶν ξυγγενῶν μέχρι πέντε οἱ ἐγγύς, οἱ δὲ λοιποὶ πάντες ἐν θάκοις συσσιτοῦσι. τράπεζα δέ, ὥσπερ βωμὸς ὕψος
80 ἐς γόνυ ἀνδρὸς ἐξῳκοδόμηται μέση, κύκλον ἐπέχουσα χοροῦ ξυμβεβλημένου ἀνδρῶν τριάκοντα, ἐφ᾽ ἧς δάφναι τε διαστρώννυνται καὶ κλῶνες ἕτεροι παραπλήσιοι μὲν τῇ μυρρίνῃ, φέροντες δὲ Ἰνδοῖς μύρον. ἐνταῦθα διάκεινται ἰχθῦς μὲν καὶ ὄρνιθες, διάκεινται δὲ λέοντές τε ὅλοι καὶ δορκάδες καὶ σύες.

καὶ τίγρεων ὀσφύες, τὰ γὰρ λοιπὰ τοῦ θηρίου παραι-
τοῦνται ἐσθίειν, ἐπειδὴ τὸ ζῷον τοῦτό φασιν, ὅταν
37 πρῶτον γένηται, τοὺς ἐμπροσθίους τῶν ποδῶν ἀνί-
σχοντι αἴρειν τῷ Ἡλίῳ. καὶ ἀνιστάμενος ὁ δαιτυμὼν
φοιτᾷ πρὸς τὴν τράπεζαν καὶ τὰ μὲν ἀνελόμενος
τούτων, τὰ δὲ ἀποτεμὼν ἀπελθὼν ἐς τὸν ἑαυτοῦ
θᾶκον ἐμπίπλαται θαμινὰ ἐπεσθίων τοῦ ἄρτου. ἐπει-
δὰν δὲ ἱκανῶς ἔχωσιν, ἐσφέρονται κρατῆρες ἀργυροῖ
τε καὶ χρυσοῖ, δέκα συμπόταις ἀποχρῶν εἷς, ἀφ' ὧν
πίνουσι κύψαντες, ὥσπερ ποτιζόμενοι. μεταξὺ δὲ
πίνοντες ἐπεσάγονται ἀγερωχίας ἐπικινδύνους καὶ
οὐκ ἔξω τοῦ σπουδάζειν· παῖς γάρ τις, ὥσπερ ὁ τῶν
ὀρχηστρίδων, ἀνερριπτεῖτο κούφως συναφιεμένου
αὐτῷ βέλους ἐς τὸ ἄνω, καὶ ἐπειδὴ πολὺ ἀπὸ τῆς
γῆς γένοιτο, ἐκυβίστα ὁ παῖς ὑπεραίρων ἑαυτὸν τοῦ
βέλους, καὶ ἁμαρτόντι τοῦ κυβιστᾶν ἕτοιμα ἦν βε- 81
βλῆσθαι· ὁ γὰρ τοξότης πρὶν ἀφιέναι περιῄει τοὺς
ξυμπότας ἐπιδεικνὺς τὴν ἀκίδα καὶ διδοὺς ἔλεγχον
τοῦ βέλους. καὶ τὸ διὰ σφενδόνης δὲ τοξεῦσαι καὶ
τὸ ἐς τρίχα ἱέναι καὶ τὸν υἱὸν τὸν ἑαυτοῦ σκιαγρα-
φῆσαι βέλεσιν ἀνεστῶτα πρὸς σανίδα σπουδάζουσιν
XXIX ἐν τοῖς πότοις καὶ κατορθοῦσιν αὐτὰ μεθύοντες. οἱ
μὲν δὴ περὶ τὸν Δάμιν ἐξεπλήττοντο αὐτὰ ὡς εὔ-
σκοπα καὶ τὴν ξυμμετρίαν τῆς τοξείας ἐθαύμαζον,
ὁ δὲ Ἀπολλώνιος, ξυνεσίτει γὰρ τῷ βασιλεῖ ὁμο-
διαίτῳ ὄντι, τούτοις μὲν ἧττον προσεῖχε, πρὸς δὲ
τὸν βασιλέα „εἰπέ μοι, ὦ βασιλεῦ," ἔφη „πόθεν οὕ-
τως ἔχεις φωνῆς Ἑλλάδος φιλοσοφία τε ἡ περὶ σὲ
πόθεν ἐνταῦθα; οὐ γὰρ ἐς διδασκάλους γε οἶμαι
ἀναφέρειν, ἐπεὶ μηδὲ εἶναί τινας ἐν Ἰνδοῖς εἰκὸς δι-
δασκάλους τούτου." γελάσας οὖν ὁ βασιλεὺς „οἱ μὲν
παλαιοὶ" ἔφη „τὰς ἐρωτήσεις τῶν καταπλεόντων

ἐποιοῦντο, εἰ λῃσταί εἰσιν, οὕτως αὐτὸ καίτοι χαλεπὸν ὂν κοινὸν ἡγοῦντο, ὑμεῖς δέ μοι δοκεῖτε τοὺς ἐπιφοιτῶντας ὑμῖν ἐρωτᾶν, μὴ φιλόσοφοί εἰσιν, οὕτως αὐτὸ καίτοι θειότατον τῶν κατ' ἀνθρώπους ὂν καὶ τοῖς ἐπιτυχοῦσιν ὑπάρχειν οἴεσθε. καὶ ὅτι μὲν παρ' ὑμῖν ταὐτὸν τῷ λῃστεύειν ἐστίν, οἶδα, ὁμοίῳ μὲν γὰρ σοὶ ἀνδρὶ οὔ φασιν εἶναι ἐντυχεῖν, τοὺς δὲ πολλούς, ὥσπερ σκυλεύσαντας αὐτὸ ἑτέρων περιβεβλῆσθαί τε ἀναρμόστως καὶ σοβεῖν ἀλλοτρίαν ἐσθῆτα ἐπισύροντας· καὶ νὴ Δί', ὥσπερ οἱ λῃσταὶ τρυφῶσιν εἰδότες ὅτι ὑπὸ τῇ δίκῃ κεῖνται, οὕτω κἀκείνους φασὶ γαστρί τε διδόναι καὶ ἀφροδισίοις
82 καὶ ἀμπεχόνῃ λεπτῇ. τὸ δὲ αἴτιον· νόμοι ὑμῖν, οἶμαι, εἰσίν, εἰ μὲν τὸ νόμισμα παραφθείροι τις, ἀποθνήσκειν αὐτόν, καὶ παιδίον εἴ τις παρεγγράφοι, ἢ οὐκ οἶδ' ὅ τι ἐπὶ τούτῳ, τοὺς δὲ τὴν φιλοσοφίαν ὑποβαλλομένους ἢ παραφθείροντας οὐδείς, οἶμαι, νόμος παρ' ὑμῖν ἴσχει, οὐδὲ ἀρχή τις ἐπ' αὐτοὺς
τέτακται. παρ' ἡμῖν δὲ ὀλίγοι μὲν τοῦ φιλοσοφεῖν XXX
ἅπτονται, δοκιμάζονται δὲ ὧδε· χρὴ τὸν νέον, ἐπειδὰν ὀκτωκαίδεκα ἔτη γεγονὼς τύχῃ, τουτὶ δ', οἶμαι, καὶ παρ' ὑμῖν ἐφήβου μέτρον, ὑπὲρ τὸν Ὕφασιν ποταμὸν ἐλθεῖν παρὰ τοὺς ἄνδρας, οὓς σὺ ὥρμηκας, εἰπόντα δημοσίᾳ πρότερον ὅτι φιλοσοφήσοι, ἵν' ᾖ τοῖς βουλομένοις ἐξείργειν αὐτόν, εἰ μὴ καθαρὸς φοιτῴη. καθαρὸν δὲ λέγω πρῶτον μὲν τὸ ἐς πατέρα καὶ μητέρα ἧκον, μὴ περὶ αὐτοὺς ὄνειδός τι ἀναφαίνοιτο, εἶθ' οἱ τούτων γονεῖς καὶ τρίτον γένος ἐς ἄνω, μὴ ὑβριστής τις ἢ ἀκρατὴς ἢ χρηματιστὴς ἄδικος. ὅταν δὲ μηδεμία οὐλὴ περὶ τούτους ἀναφαίνηται, μηδὲ στίγμα ὅλως μηδέν, αὐτὸν ἤδη διορᾶν τὸν νέον καὶ βασανίζειν, πρῶτον μέν, εἰ μνημονικός, εἶτα, εἰ

κατὰ φύσιν αἰδήμων, ἀλλὰ μὴ πλαττόμενος τοῦτο,
38 μὴ μεθυστικὸς μὴ λίχνος μὴ ἀλαζὼν μὴ φιλόγελως
μὴ θρασὺς μὴ φιλολοίδορος, εἰ πατρὸς ὑπήκοος εἰ
μητρὸς εἰ διδασκάλων εἰ παιδαγωγῶν, ἐπὶ πᾶσιν, εἰ
μὴ κακὸς περὶ τὴν ἑαυτοῦ ὥραν. τὰ μὲν δὴ τῶν 83
γειναμένων αὐτὸν καὶ οἳ ἐκείνους ἐγείναντο, ἐκ μαρ-
τύρων ἀναλέγονται καὶ γραμμάτων, ἃ δημοσίᾳ κεῖ-
ται. ἐπειδὰν γὰρ τελευτήσῃ ὁ Ἰνδός, φοιτᾷ ἐπὶ
θύρας αὐτοῦ μία ἀρχὴ τεταγμένη ὑπὸ τῶν νόμων
ἀναγράφειν αὐτόν, ὡς ἐβίω, καὶ ψευσαμένῳ ἢ ψευ-
σθέντι τῷ ἄρχοντι ἐπιτιμῶσιν οἱ νόμοι μὴ ἄρξαι αὐ-
τὸν ἔτι ἀρχὴν μηδεμίαν, ὡς παραποιήσαντα βίον
ἀνθρώπου, τὰ δὲ τῶν ἐφήβων ἐς αὐτοὺς ὁρῶντες
ἀναμανθάνουσι· πολλὰ μὲν γὰρ ὀφθαλμοὶ τῶν ἀν-
θρωπείων ἠθῶν ἑρμηνεύουσι, πολλὰ δ' ἐν ὀφρύσι
καὶ παρειαῖς κεῖται γνωματεύειν τε καὶ θεωρεῖν, ἀφ'
ὧν σοφοί τε καὶ φυσικοὶ ἄνδρες, ὥσπερ ἐν κατόπτρῳ
εἴδωλα, τοὺς νοῦς τῶν ἀνθρώπων διαθεῶνται. με-
γάλων γὰρ δὴ ἀξιουμένης φιλοσοφίας ἐνταῦθα καὶ
τιμὴν τούτου παρ' Ἰνδοῖς ἔχοντος ἀνάγκη πᾶσα ἐκ-
βασανίζεσθαί τε τοὺς ἐπ' αὐτὴν ἰόντας ἐλέγχοις τε
ὑποβεβλῆσθαι μυρίοις. ὡς μὲν δὴ ἐπὶ διδασκάλοις
αὐτὸ ποιούμεθα καὶ ἐς δοκιμασίαν ἡμῖν τὸ φιλοσο-
XXXI φεῖν ἥκει, σαφῶς εἴρηκα, τοὐμὸν δὲ ὧδε ἔχει· ἐγὼ
μὲν πάππου βασιλέως ἐγενόμην, ὃς ἦν μοι ὁμώνυ-
μος, πατρὸς δὲ ἰδιώτου· καταλειφθεὶς γὰρ κομιδῇ
νέος ἐπίτροποι μὲν αὐτῷ ἐγένοντο δύο τῶν ξυγγε-
νῶν κατὰ τοὺς τῶν Ἰνδῶν νόμους, ἔπραττον δὲ ὑπὲρ
αὐτοῦ τὰ βασιλικὰ οὐ χρηστῶς, μὰ τὸν Ἥλιον, οὐδὲ
ξυμμέτρως, ὅθεν βαρεῖς τοῖς ὑπηκόοις ἐφαίνοντο
καὶ ἡ ἀρχὴ κακῶς ἤκουε. ξυστάντες οὖν ἐπ' αὐτοὺς
τῶν δυνατῶν τινες ἐπιτίθενταί σφισιν ἐν ἑορτῇ καὶ

κτείνουσι τῷ Ἰνδῷ θύοντας, αὐτοί τε ἐπεσπηδήσαντες τῷ ἄρχειν ξυνέσχον τὰ κοινά. δείσαντες οὖν οἱ ξυγγενεῖς περὶ τῷ πατρὶ μήπω ἑκκαίδεκα ἔτη γεγονότι πέμπουσιν αὐτὸν ὑπὲρ τὸν Ὕφασιν παρὰ τὸν ἐκεῖ βασιλέα. πλειόνων δὲ ἢ ἐγὼ ἄρχει καὶ εὐδαίμων ἡ χώρα παρὰ πολὺ τῆς ἐνταῦθα. βουλομένου δ' αὐτὸν τοῦ βασιλέως παῖδα ποιεῖσθαι, τουτὶ μὲν παρῃτήσατο φήσας μὴ φιλονεικεῖν τῇ τύχῃ ἀφῃρημένῃ αὐτὸν τὸ ἄρχειν, ἐδεήθη δ' αὐτοῦ ξυγχωρῆσαί
84 οἱ φιλοσοφῆσαι βαδίσαντι παρὰ τοὺς σοφούς, καὶ γὰρ ἂν καὶ ῥᾷον καρτερῆσαι τὰ οἴκοι κακά. βουλομένου δὲ τοῦ βασιλέως καὶ κατάγειν αὐτὸν ἐπὶ τὴν πατρῴαν ἀρχὴν „εἰ γνησίως“ ἔφη „φιλοσοφοῦντα αἴσθοιο, κάταγε, εἰ δὲ μή, ἔα με οὕτως ἔχειν.“ αὐτὸς οὖν ὁ βασιλεὺς ἥκων παρὰ τοὺς σοφοὺς μεγάλων ἂν ἔφη παρ' αὐτῶν τυχεῖν, εἰ τοῦ παιδὸς ἐπιμεληθεῖεν γενναίου τὴν φύσιν ἤδη ὄντος, οἱ δὲ κατιδόντες τι ἐν αὐτῷ πλέον ἠσπάσαντο προσδοῦναί οἱ τῆς αὐτῶν σοφίας καὶ προθύμως ἐπαίδευον προσκείμενον πάνυ τῷ μανθάνειν. ἑβδόμῳ δὲ ἔτει νοσῶν ὁ βασιλεύς, ὅτε δὴ καὶ ἐτελεύτα, μεταπέμπεται αὐτὸν καὶ κοινωνὸν τῆς ἀρχῆς ἀποφαίνει τῷ υἱῷ τήν τε θυγατέρα ὁμολογεῖ πρὸς ὥραν οὖσαν, ὁ δέ, ἐπειδὴ τὸν τοῦ βασιλέως υἱὸν εἶδε κολάκων καὶ οἴνου καὶ τῶν τοιούτων κακῶν ἥττω μεστόν τε ὑποψιῶν πρὸς αὐτόν, „σὺ μὲν“ ἔφη „ταῦτ' ἔχε καὶ τῆς ἀρχῆς ἁπάσης ἐμφοροῦ, καὶ γὰρ εὔηθες μηδὲ τὴν προσήκουσαν ἑαυτῷ βασιλείαν κτήσασθαι δυνηθέντα θρασέως δοκεῖν ἐπὶ τὴν μὴ προσήκουσαν ἥκειν, ἐμοὶ δὲ τὴν ἀδελφὴν δίδου, τουτὶ γὰρ μόνον ἀπόχρη μοι τῶν σῶν.“ καὶ λαβὼν τὸν γάμον ἔζη πλησίον τῶν σοφῶν ἐν κώμαις ἑπτὰ εὐδαίμοσιν, ἃς ἐπέδωκε τῇ ἀδελφῇ ὁ βασιλεὺς

ἐς ζώνην. γίγνομαι τοίνυν ἐγὼ τοῦ γάμου τούτου
καί με ὁ πατὴρ τὰ Ἑλλήνων παιδεύσας ἄγει παρὰ
τοὺς σοφοὺς πρὸ ἡλικίας ἴσως, δώδεκα γάρ μοι τότε
39 ἦν ἔτη, οἱ δὲ ἔτρεφον ἴσα καὶ ἑαυτῶν παῖδα, οὓς
γὰρ ἂν ὑποδέξωνται τὴν Ἑλλήνων φωνὴν εἰδότας,
ἀγαπῶσι μᾶλλον, ὡς ἐς τὸ ὁμόηθες αὐτοῖς ἤδη
XXXII προσήκοντας. ἀποθανόντων δέ μοι καὶ τῶν γονέων
οὐ μεταπολὺ ἀλλήλων αὐτοί με βαδίσαντα ἐπὶ τὰς
κώμας ἐκέλευσαν ἐπιμεληθῆναι τῶν ἐμαυτοῦ γεγο-
νότα ἐννεακαίδεκα ἔτη. τὰς μὲν οὖν κώμας ἀφῄρητό
με ἤδη ὁ χρηστὸς θεῖος καὶ οὐδὲ τὰ γήδιά μοι ὑπέ-
λιπε τὰ κεκτημένα τῷ πατρί, πάντα γὰρ τῇ ἑαυτοῦ
ἀρχῇ προσήκειν αὐτά, ἐμὲ δ' ἂν μεγάλων παρ' αὐ-
τοῦ τυχεῖν, εἴ με ἐῴη ζῆν. ἔρανον οὖν ξυλλεξάμενος
παρὰ τῶν τῆς μητρὸς ἀπελευθέρων ἀκολούθους εἶχον 85
τέτταρας. καί μοι ἀναγιγνώσκοντι τοὺς Ἡρακλείδας
τὸ δρᾶμα ἐπέστη τις ἐντεῦθεν ἐπιστολὴν φέρων παρὰ
ἀνδρὸς ἐπιτηδείου τῷ πατρί, ὅς με ἐκέλευσε δια-
βάντα τὸν Ὑδραώτην ποταμὸν ξυγγίγνεσθαί οἱ περὶ
τῆς ἀρχῆς τῆς ἐνταῦθα, πολλὰς γὰρ ἐλπίδας εἶναί
μοι ἀνακτήσασθαι αὐτὴν μὴ ἐλινύοντι. τὸ μὲν δὴ
δρᾶμα θεῶν τις οἶμαι ἐπὶ νοῦν ἤγαγε καὶ εἱπόμην
τῇ φήμῃ, διαβὰς δὲ τὸν ποταμὸν τὸν μὲν ἕτερον τῶν
βεβιασμένων ἐς τὴν ἀρχὴν τεθνάναι ἤκουσα, τὸν δὲ
ἕτερον ἐν τοῖς βασιλείοις πολιορκεῖσθαι τούτοις. ἐχώ-
ρουν δὴ ξυντείνων καὶ βοῶν πρὸς τοὺς ἐν ταῖς κώ-
μαις, δι' ὧν ἔστειχον, ὡς ὁ τοῦ δεῖνος εἴην υἱὸς καὶ
ἐπὶ τὴν ἀρχὴν τὴν ἐμαυτοῦ ἴοιμι, οἱ δὲ χαίροντές τε
καὶ ἀσπαζόμενοί με προὔπεμπον παραπλήσιον ἡγού-
μενοι τῷ πάππῳ, ἐγχειρίδιά τε ἦν αὐτοῖς καὶ τόξα
καὶ πλείους ἀεὶ ἐγιγνόμεθα, καὶ προσελθόντα ταῖς
πύλαις οὕτω τι ἄσμενοι ἐδέξαντο οἱ ἐνταῦθα, ὡς ἀπὸ

τοῦ βωμοῦ τοῦ Ἡλίου δᾴδας ἁψάμενοι πρὸ πυλῶν
τε ἥκειν καὶ ἡγεῖσθαι δεῦρο ἐφυμνοῦντες πολλὰ τῷ
πατρὶ καὶ τῷ πάππῳ, τὸν δὲ ἔσω κηφῆνα πέριξ τὸ
τεῖχος ἔκλησαν καίτοι ἐμοῦ παραιτουμένου μὴ τοιῷδε
τρόπῳ ἀποθανεῖν αὐτόν.“ ὑπολαβὼν οὖν ὁ Ἀπολ- XXXIII
λώνιος „Ἡρακλειδῶν“ ἔφη „κάθοδον ἀτεχνῶς διε-
λήλυθας, καὶ ἐπαινετέοι οἱ θεοὶ τῆς διανοίας, ὅτι
γενναίῳ ἀνδρὶ ἐπὶ τὰ ἑαυτοῦ στείχοντι ξυνήραντο
τῆς καθόδου. ἀλλ' ἐκεῖνό μοι περὶ τῶν σοφῶν εἰπέ·
οὐ καὶ ὑπὸ Ἀλεξάνδρῳ ποτὲ ἐγένοντο οὗτοι καὶ ἀνα-
86 χθέντες αὐτῷ περὶ τοῦ οὐρανοῦ ἐφιλοσόφησαν;“
„Ὀξυδράκαι“ ἔφη „ἐκεῖνοι ἦσαν, τὸ δὲ ἔθνος τοῦτο
ἐλευθεριάζει τε ἀεὶ καὶ πολεμικῶς ἐξήρτυται, σοφίαν
τε μεταχειρίζεσθαί φασιν οὐδὲν χρηστὸν εἰδότες· οἱ
δὲ ἀτεχνῶς σοφοὶ κεῖνται μὲν τοῦ Ὑφάσιδος καὶ τοῦ
Γάγγου μέσοι, τὴν δὲ χώραν ταύτην οὐδὲ ἐπῆλθεν
ὁ Ἀλέξανδρος, οὔτι που τὰ ἐν αὐτῇ δείσας, ἀλλ',
οἶμαι, τὰ ἱερὰ ἀπεσήμηνεν αὐτῷ. εἰ δὲ καὶ διέβη
τὸν Ὕφασιν καὶ τὴν περὶ αὐτοὺς γῆν ἠδυνήθη ἑλεῖν,
ἀλλὰ τήν γε τύρσιν, ἣν ἐκεῖνοι κατοικοῦσιν, οὐδ'
ἂν μυρίους μὲν Ἀχιλλέας, τρισμυρίους δὲ Αἴαντας
ἄγων ποτὲ ἐχειρώσατο· οὐ γὰρ μάχονται τοῖς προσ-
ελθοῦσιν, ἀλλὰ διοσημίαις τε καὶ σκηπτοῖς βάλλοντες
ἀποκρούονται σφᾶς ἱεροὶ καὶ θεοφιλεῖς ὄντες· τὸν
γοῦν Ἡρακλέα τὸν Αἰγύπτιον καὶ τὸν Διόνυσον ξὺν
ὅπλοις διαδραμόντας τὸ Ἰνδῶν ἔθνος φασὶ μέν ποτε
ἐλάσαι ἐπ' αὐτοὺς ἅμα μηχανάς τε παλαμήσασθαι
καὶ τοῦ χωρίου ἀποπειρᾶσθαι, οἱ δὲ ἀντιπράττειν
οὐδέν, ἀλλ' ἀτρεμεῖν, ὡς ἐκείνοις ἐφαίνοντο, ἐπεὶ
δ' αὐτοὶ προσῄεσαν, πρηστῆρες αὐτοὺς ἀπεώσαντο
καὶ βρονταὶ κάτω στρεφόμεναι καὶ ἐμπίπτουσαι τοῖς
ὅπλοις, τήν τε ἀσπίδα χρυσῆν οὖσαν ἀποβαλεῖν ἐκεῖ

λέγεται ὁ Ἡρακλῆς, καὶ πεποίηνται αὐτὴν ἀνάθημα οἱ σοφοὶ διά τε τὴν τοῦ Ἡρακλέους δόξαν, διά τε τὸ ἐκτύπωμα τῆς ἀσπίδος· αὐτὸς γὰρ πεποίηται ὁ Ἡρακλῆς ὁρίζων τὰ Γάδειρα καὶ τὰ ὄρη στήλας ποιούμενος τόν τε Ὠκεανὸν ἐς τὰ ἔσω ἐπισπώμενος, ὅθεν
40 δηλοῦται μὴ τὸν Θηβαῖον Ἡρακλέα, τὸν δὲ Αἰγύπτιον ἐπὶ τὰ Γάδειρα ἐλθεῖν καὶ ὁριστὴν γενέσθαι

XXXIV τῆς γῆς.“ τοιαῦτα διαλεγομένων αὐτῶν ἐπῆλθεν ὁ 87 ὕμνος αὐλῷ ἅμα, ἐρομένου δὲ τοῦ Ἀπολλωνίου τὸν βασιλέα, ὅ τι ἐθέλοι ὁ κῶμος, „Ἰνδοὶ“ ἔφη „παραινέσεις τῷ βασιλεῖ ᾄδουσιν, ἐπειδὰν πρὸς τῷ καθεύδειν γίγνηται, ὀνείρασί τε ἀγαθοῖς χρῆσθαι χρηστόν τε ἀνίστασθαι καὶ εὐξύμβολον τοῖς ὑπηκόοις.“ „πῶς οὖν,“ ἔφη „ὦ βασιλεῦ, διάκεισαι πρὸς ταῦτα; σὲ γάρ που αὐλοῦσιν.“ „οὐ καταγελῶ,“ ἔφη „δεῖ γὰρ προσίεσθαι αὐτὰ τοῦ νόμου ἕνεκεν, παραινέσεως μέντοι μηδεμιᾶς δεῖσθαι, ὅσα γὰρ ἂν ὁ βασιλεὺς μετρίως τε καὶ χρηστῶς πράττῃ, ταῦτα ἑαυτῷ δήπου χαριεῖται μᾶλλον ἢ τοῖς ὑπηκόοις.“

XXXV Τοιαῦτα διαλεχθέντες, ἀνεπαύσαντο, ἐπεὶ δὲ ἡμέρα ὑπεφαίνετο, αὐτὸς ὁ βασιλεὺς ἀφίκετο ἐς τὸ δωμάτιον, ᾧ ἐνεκάθευδον οἱ περὶ τὸν Ἀπολλώνιον, καὶ τὸν σκίμποδα ἐπιψηλαφήσας προσεῖπέ τε τὸν ἄνδρα, καὶ ἤρετο αὐτόν, ὅ τι ἐνθυμοῖτο, „οὐ γάρ που καθεύδεις“ εἶπεν „ὕδωρ πίνων καὶ καταγελῶν τοῦ οἴνου.“ „οὐ γὰρ καθεύδειν ἡγῇ“ ἔφη „τοὺς τὸ ὕδωρ πίνοντας;“ „καθεύδειν μέν,“ ἔφη „λεπτὸν δὲ ὕπνον, ὅνπερ ἄκροις αὐτῶν τοῖς ὀφθαλμοῖς ἐφιζάνειν φῶμεν, οὐ τῷ νῷ.“ „ἀμφοτέροις“ εἶπε, „καὶ ἴσως τῷ νῷ μᾶλλον· εἰ γὰρ μὴ ἀτρεμήσει ὁ νοῦς, οὐδὲ ὑποδέξονται οἱ ὀφθαλμοὶ τὸν ὕπνον· οἱ γοῦν μεμηνότες οὐδὲ καθεύδειν δύνανται διὰ τὴν τοῦ νοῦ

πήδησιν, ἀλλ' ἐς ἄλλα καὶ ἄλλα ἀπιούσης τῆς ἐννοίας
γοργότερόν τε ἀναβλέπουσι καὶ ἀναιδέστερον, ὥσπερ
οἱ ἄυπνοι τῶν δρακόντων." „ἐπεὶ τοίνυν, ὦ βασι-
λεῦ," εἶπε „σαφῶς ἡρμήνευται τὸ τοῦ ὕπνου ἔργον
καὶ ἅττα δηλοῦται (αὐτῷ) τοῖς ἀνθρώποις, σκεψώ-
μεθα, τί μειονεκτήσει ἐν τῷ ὕπνῳ τοῦ μεθύοντος ὁ
τὸ ὕδωρ πίνων." „μὴ σοφίζου," ἔφη ὁ βασιλεὺς „εἰ
γὰρ μεθύοντα ὑποθήσῃ, οὐ καθευδήσει τοῦτο, βακ-
χεύουσα γὰρ ἡ γνώμη στροβήσει τε αὐτὸν καὶ ταρα-
χῆς ἐμπλήσει· δοκοῦσί τοι πάντες οἱ ἐκ μέθης κα-
ταδαρθεῖν πειρώμενοι ἀναπέμπεσθαί τε ἐς τὸν ὄρο-
φον, καὶ αὖ ὑπόγειοι εἶναι δίνην τε ἐμπεπτωκέναι
σφίσιν, οἵα δὴ περὶ τὸν Ἰξίονα λέγεται ξυμβαίνειν.
88 οὔκουν ἀξιῶ τὸν μεθύοντα, ἀλλὰ τὸν πεπωκότα μὲν
τοῦ οἴνου, νήφοντα δὲ θεωρεῖν, ὡς καθευδήσει, καὶ
ὡς πολλῷ βέλτιον τοῦ ἀοίνου. καλέσας οὖν ὁ Ἀπολ- XXXVI
λώνιος τὸν Δάμιν „πρὸς δεινὸν ἄνδρα" ἔφη „ὁ λό-
γος καὶ σφόδρα γεγυμνασμένον τοῦ διαλέγεσθαι."
„ὁρῶ," ἔφη „καὶ τοῦτ' ἴσως ἦν τὸ μελαμπύγου τυ-
χεῖν. κἀμὲ δὲ πάνυ αἱρεῖ ὁ λόγος, ὃν εἴρηκεν· ὥρα
οὖν σοι ἀφυπνίσαντι ἀποτελεῖν αὐτόν. ἀνακουφίσας
οὖν τὴν κεφαλὴν ὁ Ἀπολλώνιος „καὶ μὴν ὅσον" ἔφη
„πλεονεκτοῦμεν οἱ τὸ ὕδωρ πίνοντες πρὸς τὸ καθ-
εύδειν ἥδιον, ἐγὼ δηλώσω τοῦ γε σοῦ λόγου ἐχό-
μενος· ὡς μὲν γὰρ τετάρακται ἡ γνώμη τοῖς μεθύ-
ουσι καὶ μανικώτερον διάκεινται, σαφῶς εἴρηκας,
ὁρῶμεν γὰρ τοὺς μέθῃ κατεσχημένους διττὰς μὲν
σελήνας δοκοῦντας βλέπειν, διττοὺς δὲ ἡλίους, τοὺς
δὲ ἧττον πεπωκότας, κἂν πάνυ νήφωσιν, οὐδὲν μὲν
τούτων ἡγουμένους, μεστοὺς δὲ εὐφροσύνης καὶ ἡδο-
νῆς, ἣ δὴ προσπίπτει σφίσιν οὐδὲ ἐξ εὐπραγίας πολ-
λάκις, καὶ μελετῶσι δὲ οἱ τοιοῦτοι δίκας οὐδὲ φθεγξά-

μενοί πω ἐν δικαστηρίῳ καὶ πλουτεῖν φασιν οὐδὲ δραχμῆς αὐτοῖς ἔνδον οὔσης. ταῦτα δέ, ὦ βασιλεῦ, μανικὰ πάθη· καὶ γὰρ αὐτὸ τὸ ἥδεσθαι διακινεῖ τὴν γνώμην καὶ πολλοὺς οἶδα τῶν σφόδρα ἡγουμένων εὖ πράττειν οὐδὲ καθεύδειν δυναμένους, ἀλλ' ἐκπηδῶντας τοῦ ὕπνου, καὶ τοῦτ' ἂν εἴη τὸ παρέχειν φροντίδας καὶ τἀγαθά. ἔστι δὲ καὶ φάρμακα ὕπνου μεμηχανημένα τοῖς ἀνθρώποις, ὧν πιόντες τε καὶ
41 ἀλειψάμενοι καθεύδουσιν ἐκτείναντες αὑτοὺς ὥσπερ ἀποθανόντες, ὅθεν μετά τινος λήθης ἀνίστανται καὶ ἄλλοσέ ποι μᾶλλόν εἰσιν ἢ οὗπερ εἶναι δοκοῦσιν. ὅτι μὲν δὴ τὰ πινόμενα, μᾶλλον δὲ τὰ ἐπαντλούμενα τῇ ψυχῇ καὶ τῷ σώματι οὐ γνήσιον οὐδὲ οἰκεῖον ἐπεσάγεται τὸν ὕπνον, ἀλλ' ἢ βαθὺν καὶ ἡμιθνῆτα ἢ βραχὺν καὶ διασπώμενον ὑπὸ τῶν ἐντρεχόντων, κἂν χρηστὰ ᾖ, ξυνθήσῃ τάχα, εἰ μὴ τὸ δύσερι μᾶλλον ἢ τὸ ἐριστικὸν σπουδάζεις. οἱ δὲ ἐμοὶ ξυμπόται τὰ μὲν ὄντα ὁρῶσιν ὡς ὄντα, τὰ δὲ οὐκ ὄντα οὔτ' 39
ἀναγράφουσιν αὑτοῖς οὔθ' ὑποτυποῦνται, κοῦφοί τε οὔπω ἔδοξαν, οὐδὲ μεστοὶ βλακείας οὐδὲ εὐηθείας ἢ ἱλαρώτεροι τοῦ προσήκοντος, ἀλλ' ἐφεστηκότες εἰσὶ καὶ λογισμοῦ πλέῳ, παραπλήσιοι δείλης τε καὶ ὁπότε ἀγορὰ πλήθει, οὐ γὰρ νυστάζουσιν οὗτοι, κἂν πόρρω τῶν νυκτῶν σπουδάζωσιν. οὐ γὰρ ἐξωθεῖ αὐτοὺς ὁ ὕπνος ὥσπερ δεσπότης βρίσας ἐς τὸν αὐχένα δεδουλωμένον ὑπὸ τοῦ οἴνου, ἀλλ' ἐλεύθεροί τε καὶ ὀρθοὶ φαίνονται, καταδαρθέντες δὲ καθαρᾷ τῇ ψυχῇ δέχονται τὸν ὕπνον οὔτε ὑπὸ τῶν εὐπραγιῶν ἀνακουφιζόμενοι αὐτοῦ οὔτε ὑπὸ κακοπραγίας τινὸς ἐκθρώσκοντες. ξύμμετρος γὰρ πρὸς ἄμφω ταῦτα ψυχὴ νήφουσα καὶ οὐδετέρου τῶν παθῶν ἥττων, ὅθεν καθεύδει ἥδιστα καὶ ἀλυπότατα μὴ ἐξισταμένη τοῦ

ὕπνου. καὶ μὴν καὶ τὸ μαντικὸν τὸ ἐκ τῶν ὀνειράτων, ὃ θειότατον τῶν ἀνθρωπίνων δοκεῖ, ῥᾷον διορᾷ μὴ ξυντεθολωμένη ὑπὸ τοῦ οἴνου, ἀλλ' ἀκήρατος δεχομένη αὐτὸ καὶ περιαθροῦσα· οἱ γοῦν ἐξηγηταὶ τῶν ὄψεων, οὓς ὀνειροπόλους οἱ ποιηταὶ καλοῦσιν, οὐκ ἂν ὑποκρίνοιντο ὄψιν οὐδεμίαν μὴ πρότερον ἐρόμενοι τὸν καιρόν, ἐν ᾧ εἶδεν. ἂν μὲν γὰρ ἑῷος ᾖ καὶ τοῦ περὶ τὸν ὄρθρον ὕπνου, ξυμβάλλονται αὐτὴν ὡς ὑγιῶς μαντευομένης τῆς ψυχῆς, ἐπειδὰν ἀπορρύψηται τὸν οἶνον, εἰ δ' ἀμφὶ πρῶτον ὕπνον ἢ μέσας νύκτας, ὅτε βεβύθισταί τε καὶ ξυντεθόλωται ἔτι ὑπὸ τοῦ οἴνου, παραιτοῦνται τὴν ὑπόκρισιν σοφοὶ ὄντες. ὡς δὲ καὶ τοῖς θεοῖς δοκεῖ ταῦτα καὶ τὸ χρησμῶδες ἐν ταῖς νηφούσαις ψυχαῖς τίθενται, σαφῶς δηλώσω· ἐγένετο, ὦ βασιλεῦ, παρ' Ἕλλησιν Ἀμφιάρεως ἀνὴρ μάντις." „οἶδα," εἶπε „λέγεις γάρ που τὸν τοῦ Οἰκλέους, ὃν ἐκ Θηβῶν ἐπανιόντα ἐπεσπάσατο ἡ γῆ ζῶντα." „οὗτος, ὦ βα-
90 σιλεῦ," ἔφη „μαντευόμενος ἐν τῇ Ἀττικῇ νῦν ὀνείρατα ἐπάγει τοῖς χρωμένοις, καὶ λαβόντες οἱ ἱερεῖς τὸν χρησόμενον σίτου τε εἴργουσι μίαν ἡμέραν καὶ οἴνου τρεῖς, ἵνα διαλαμπούσῃ τῇ ψυχῇ τῶν λογίων σπάσῃ· εἰ δὲ ὁ οἶνος ἀγαθὸν ἦν τοῦ ὕπνου φάρμακον, ἐκέλευσεν ἂν ὁ σοφὸς Ἀμφιάρεως τοὺς θεωροὺς τὸν ἐναντίον ἐσκευασμένους τρόπον καὶ οἴνου μεστούς, ὥσπερ ἀμφορέας, ἐς τὸ ἄδυτον αὐτῷ φέρεσθαι. πολλὰ δὲ καὶ μαντεῖα λέγοιμ' ἂν εὐδόκιμα παρ' Ἕλλησί τε καὶ βαρβάροις, ἐν οἷς ὁ ἱερεὺς ὕδατος, ἀλλ' οὐχὶ οἴνου σπάσας ἀποφθέγγεται τὰ ἐκ τοῦ τρίποδος. θεοφόρητον δὴ κἀμὲ ἡγοῦ καὶ πάντας, ὦ βασιλεῦ, τοὺς τὸ ὕδωρ πίνοντας· νυμφόληπτοι γὰρ ἡμεῖς καὶ βάκχοι τοῦ νήφειν." „ποιήσῃ οὖν," ἔφη „ὦ

Ἀπολλώνιε, κἀμὲ θιασώτην;" „εἴπερ μὴ φορτικὸς" εἶπε „τοῖς ὑπηκόοις δόξεις· φιλοσοφία γὰρ περὶ βασιλεῖ ἀνδρὶ ξύμμετρος μὲν καὶ ὑπανειμένη θαυμαστὴν ἐργάζεται κρᾶσιν, ὥσπερ ἐν σοὶ διαφαίνεται, ἡ δ' ἀκριβὴς καὶ ὑπερτείνουσα φορτική τε, ὦ βασιλεῦ, καὶ ταπεινοτέρα τῆς ὑμετέρας σκηνῆς φαίνεται καὶ τύφου δὲ αὐτό τι ἂν (ἔχειν) ἡγοῖντο βάσκανοι."

XXXVIII Ταῦτα διαλεχθέντες, καὶ γὰρ ἡμέρα ἤδη ἐτύγχα-
42 νεν, ἐς τὸ ἔξω προῆλθον. καὶ ξυνεὶς ὁ Ἀπολλώνιος, ὡς χρηματίζειν δέοι τὸν βασιλέα πρεσβείαις τε καὶ τοῖς τοιούτοις „σὺ μέν," ἔφη „ὦ βασιλεῦ, τὰ προσήκοντα τῇ ἀρχῇ πρᾶττε, ἐμὲ δὲ τὸν καιρὸν τοῦτον ἄνες τῷ Ἡλίῳ, δεῖ γάρ με τὴν εἰθισμένην εὐχὴν εὔξασθαι." „καὶ ἀκούοι γε εὐχομένου," ἔφη „χαριεῖται γὰρ πᾶσιν, ὁπόσοι τῇ σοφίᾳ τῇ σῇ χαίρουσιν· ἐγὼ 91
δὲ περιμενῶ σε ἐπανιόντα, καὶ γὰρ δικάσαι τινὰς χρὴ
XXXIX δίκας, αἷς παρατυχὼν τὰ μέγιστά με ὀνήσεις." ἐπανελθὼν οὖν προκεχωρηκυίας ἤδη τῆς ἡμέρας ἠρώτα περὶ ὧν ἐδίκασεν, ὁ δὲ „τήμερον" ἔφη „οὐκ ἐδίκασα, τὰ γὰρ ἱερὰ οὐ ξυνεχώρει μοι." ὑπολαβὼν οὖν ὁ Ἀπολλώνιος „ἐφ' ἱεροῖς οὖν" ἔφη „ποιεῖσθε καὶ ταύτας, ὥσπερ τὰς ἐξόδους τε καὶ τὰς στρατείας;" „νὴ Δί'" εἶπε „καὶ γὰρ ἐνταῦθα κίνδυνος, εἰ ὁ δικάζων ἀπενεχθείη τοῦ εὐθέος." εὖ λέγειν τῷ Ἀπολλωνίῳ ἔδοξε, καὶ ἤρετο αὐτὸν πάλιν, τίς εἴη, ἣν δικάσοι δίκην, „ὁρῶ γὰρ" εἶπεν „ἐφεστηκότα σε καὶ ἀποροῦντα, ὅπη ψηφίσαιο." „ὁμολογῶ" ἔφη „ἀπορεῖν, ὅθεν ξύμβουλον ποιοῦμαί σε· ἀπέδοτο μὲν γάρ τις ἑτέρῳ γῆν, ἐν ᾗ θησαυρὸς ἀπέκειτό τις οὔπω δῆλος, χρόνῳ δὲ ὕστερον ἡ γῆ ῥαγεῖσα χρυσοῦ τινα ἀνέδειξε θήκην, ἥν φησι μὲν ἑαυτῷ προσήκειν μᾶλλον ὁ τὴν γῆν ἀποδόμενος, καὶ γὰρ οὐδ'

ἂν ἀποδόσθαι τὴν γῆν, εἰ προὔμαθεν, ὅτι βίον ἐπ' αὐτῇ ἔχοι, ὁ πριάμενος δὲ αὐτὸς ἀξιοῖ πεπᾶσθαι, ἃ ἐν τῇ λοιπὸν ἑαυτοῦ γῇ εὗρε· καὶ δίκαιος μὲν ὁ ἀμφοῖν λόγος, εὐήθης δ' ἂν ἐγὼ φαινοίμην, εἰ κελεύσαιμι ἄμφω νείμασθαι τὸ χρυσίον, τουτὶ γὰρ ἂν καὶ γραῦς διαιτῴη." ὑπολαβὼν οὖν ὁ Ἀπολλώνιος „ὡς μὲν οὐ φιλοσόφω" ἔφη „τὼ ἄνδρε, δηλοῖ τὸ περὶ χρυσίου διαφέρεσθαι σφᾶς, ἄριστα δ' ἄν μοι δικάσαι δόξεις ὧδε ἐνθυμηθείς, ὡς οἱ θεοὶ πρῶτον μὲν ἐπιμέλειαν ποιοῦνται τῶν ξὺν ἀρετῇ φιλοσοφούντων, δεύτερον δὲ τῶν ἀναμαρτήτων τε καὶ μηδὲν πώποτε ἀδικεῖν δοξάντων. διδόασι δὲ τοῖς μὲν φιλοσοφοῦσι διαγιγνώσκειν εὖ τὰ θεῖά τε καὶ τὰ ἀνθρώπεια, τοῖς δ' ἄλλως χρηστοῖς βίον ἀποχρῶντα, ὡς μὴ χήτει ποτὲ τῶν ἀναγκαίων ἄδικοι γένωνται· δοκεῖ δή μοι, βασιλεῦ, καθάπερ ἐπὶ τρυτάνης ἀντικρῖναι τούτους καὶ τὸν ἀμφοῖν ἀναθεωρῆσαι βίον, οὐ γὰρ ἄν μοι δοκοῦσιν οἱ θεοὶ τὸν μὲν ἀφελέσθαι καὶ τὴν γῆν, εἰ μὴ φαῦλος ἦν, τῷ δ' αὖ καὶ τὰ ὑπὸ τῇ γῇ δοῦναι,
92 εἰ μὴ βελτίων ἦν τοῦ ἀποδομένου." ἀφίκοντο ἐς τὴν ὑστεραίαν δικασόμενοι ἄμφω, καὶ ὁ μὲν ἀποδόμενος ὑβριστής τε ἠλέγχετο καὶ θυσίας ἐκλελοιπώς, ἃς ἔδει τοῖς ἐν τῇ γῇ θεοῖς θύειν, ὁ δὲ ἐπιεικής τε ἐφαίνετο καὶ ὁσιώτατα θεραπεύων τοὺς θεούς. ἐκράτησεν οὖν ἡ τοῦ Ἀπολλωνίου γνώμη καὶ ἀπῆλθεν ὁ χρηστὸς ὡς παρὰ τῶν θεῶν ταῦτα ἔχων.

Ἐπεὶ δὲ τὰ τῆς δίκης ὧδε ἔσχε, προσελθὼν ὁ XL
Ἀπολλώνιος τῷ Ἰνδῷ „τήμερον" εἶπεν „ἡ τρίτη τῶν ἡμερῶν, ἐν αἷς ἐποιοῦ με, ὦ βασιλεῦ, ξένον, τῆς δ' ἐπιούσης ἔξω χρὴ ἐξελαύνειν ἑπόμενον τῷ νόμῳ." „ἀλλ' οὐδὲ ὁ νόμος" εἶπεν „ἤδη διαλέγεταί σοι, καὶ γὰρ τῇ αὔριον μένειν ἔξεστιν, ἐπειδὴ μετὰ

μεσημβρίαν ἀφίκου.“ „χαίρω“ ἔφη „τῷ ξενίῳ, καὶ
γάρ μοι δοκεῖς καὶ σοφίζεσθαι τὸν νόμον δι᾽ ἐμέ.“
„εἰ γὰρ καὶ λῦσαι αὐτὸν ἠδυνάμην“ εἶπε „τό γε
ὑπὲρ σοῦ. ἀλλ᾽ ἐκεῖνό μοι εἰπέ, Ἀπολλώνιε, αἱ κά-
μηλοι, ἐφ᾽ ὧν ὀχεῖσθαί σέ φασιν, οὐκ ἐκ Βαβυλῶνος
ἄγουσιν ὑμᾶς;“ „ἐκεῖθεν“ ἔφη „δόντος γε αὐτὰς
Οὐαρδάνου.“ ἔτ᾽ οὖν ὑμᾶς ἀπάγειν δυνήσονται,
43 τοσαῦτα ἤδη στάδια ἐκ Βαβυλῶνος ἥκουσαι;“ ἐσιώ-
πησε μὲν ὁ Ἀπολλώνιος, ὁ δὲ Δάμις „οὔπω συνί-
ησιν,“ ἔφη „ὦ βασιλεῦ, τῆς ἀποδημίας ὁ ἀνὴρ οὗτος,
οὐδὲ τῶν ἐθνῶν, ἐν οἷς λοιπόν ἐσμεν, ἀλλ᾽ ὡς παν-
ταχοῦ σέ τε καὶ Οὐαρδάνην ἕξων παιδιὰν ἡγεῖται τὸ
ἐς Ἰνδοὺς παρελθεῖν. τό τοι τῶν καμήλων οὐ διο-
μολογεῖται πρὸς σέ, ὃν ἔχει τρόπον· διάκεινται γὰρ
οὕτω κακῶς, ὡς αὐταὶ μᾶλλον ὑφ᾽ ἡμῶν φέρεσθαι,
καὶ δεῖ ἑτέρων. ἂν γὰρ ὀκλάσωσιν ἐν ἐρήμῳ που
τῆς Ἰνδικῆς, ἡμεῖς μὲν“ ἔφη „καθεδούμεθα τοὺς
γῦπάς τε καὶ τοὺς λύκους ἀποσοβοῦντες τῶν καμή-
λων, ἡμῶν δὲ οὐδεὶς ἀποσοβήσει, προσαπολούμεθα
γάρ.“ ὑπολαβὼν οὖν ὁ βασιλεὺς „ἐγὼ“ ἔφη „τοῦτο
ἰάσομαι, ὑμῖν τε γὰρ ἑτέρας δώσω — τεττάρων,
οἶμαι, δεῖσθε — καὶ ὁ σατράπης δὲ ὁ ἐπὶ τοῦ Ἰνδοῦ
πέμψει ἐς Βαβυλῶνα ἑτέρας τέτταρας. ἔστι δέ μοι
ἀγέλη καμήλων ἐπὶ τῷ Ἰνδῷ, λευκαὶ πᾶσαι.“ „ἡγε-
μόνα δὲ“ εἶπεν ὁ Δάμις „οὐκ ἄν, ὦ βασιλεῦ, δοίης;“
„καὶ κάμηλόν γε“ ἔφη „τῷ ἡγεμόνι δώσω καὶ ἐφό-
δια, ἐπιστελῶ δὲ καὶ Ἰάρχᾳ τῷ πρεσβυτάτῳ τῶν σο- 98
φῶν, ἵν᾽ Ἀπολλώνιον μὲν ὡς μηδὲν κακίω ἑαυτοῦ
δέξηται, ὑμᾶς δὲ ὡς φιλοσόφους τε καὶ ὀπαδοὺς ἀν-
δρὸς θείου.“ καὶ χρυσίον δὲ ἐδίδου ὁ Ἰνδὸς καὶ
ψήφους καὶ ὀθόνας καὶ μυρία τοιαῦτα· ὁ δὲ Ἀπολ-
λώνιος „χρυσίον μὲν“ ἔφη „ἱκανὸν ἑαυτῷ εἶναι

δόντος γε Οὐαρδάνου τῷ ἡγεμόνι ἀφανῶς αὐτό, τὰς δὲ ὀθόνας λαμβάνειν, ἐπειδὴ ἐοίκασι τρίβωνι τῶν ἀρχαίων τε καὶ πάνυ Ἀττικῶν. μίαν δέ τινα τῶν ψήφων ἀνελόμενος „ὦ βελτίστη" εἶπεν „ὡς ἐς καιρόν σε καὶ οὐκ ἀθεεὶ εὕρηκα" ἰσχύν, οἶμαί, τινα ἐν αὐτῇ καθεωρακὼς ἀπόρρητόν τε καὶ θείαν. οἱ δὲ ἀμφὶ τὸν Δάμιν χρυσίον μὲν οὐδ' αὐτοὶ προσίεντο, τῶν ψήφων δὲ ἱκανῶς ἐδράττοντο, ὡς θεοῖς ἀναθήσοντες, ὅτε ἐπανέλθοιεν ἐς τὰ ἑαυτῶν ἤθη.

XLI Καταμείνασι δὲ αὐτοῖς καὶ τὴν ἐπιοῦσαν, οὐ γὰρ μεθίετο σφῶν ὁ Ἰνδός, δίδωσι τὴν πρὸς τὸν Ἰάρχαν ἐπιστολὴν γεγραμμένην ὧδε·

„Βασιλεὺς Φραώτης Ἰάρχᾳ διδασκάλῳ καὶ τοῖς περὶ αὐτὸν χαίρειν.

Ἀπολλώνιος ἀνὴρ σοφώτατος σοφωτέρους ὑμᾶς ἑαυτοῦ ἡγεῖται καὶ μαθησόμενος ἥκει τὰ ὑμέτερα. πέμπετε οὖν αὐτὸν εἰδότα ὁπόσα ἴστε· ὡς ἀπολεῖται οὐδὲν τῶν μαθημάτων ὑμῖν, καὶ γὰρ λέγει ἄριστα ἀνθρώπων καὶ μέμνηται. ἰδέτω δὲ καὶ τὸν θρόνον, ἐφ' οὗ καθίσαντί μοι τὴν βασιλείαν ἔδωκας, Ἰάρχα πάτερ. καὶ οἱ ἑπόμενοι δὲ αὐτῷ ἄξιοι ἐπαίνου, ὅτι τοιοῦδε ἀνδρὸς ἥττηνται. εὐτύχει καὶ εὐτυχεῖτε."

XLII Ἐξελάσαντες δὲ τῶν Ταξίλων καὶ δύο ἡμερῶν ὁδὸν διελθόντες ἀφίκοντο ἐς τὸ πεδίον, ἐν ᾧ λέγεται πρὸς Ἀλέξανδρον ἀγωνίσασθαι Πῶρος, καὶ πύλας ἐν αὐτῷ ἰδεῖν φασι ξυγκλειούσας οὐδέν, ἀλλὰ
94 τροπαίων ἕνεκα ᾠκοδομημένας. ἀνακεῖσθαι γὰρ ἐπ' αὐτῶν τὸν Ἀλέξανδρον ἐφεστηκότα τετραρρύμοις ἅρμασιν, οἷος ἐπὶ τοῖς Δαρείου σατράπαις ἐν Ἰσσοῖς ἕστηκε. διαλείπουσαι δ' οὐ πολὺ ἀλλήλων δύο ἐξῳκοδομῆσθαι λέγονται πύλαι, καὶ φέρειν ἡ μὲν Πῶρον, ἡ δὲ Ἀλέξανδρον, ξυμβεβηκότε, οἶμαι, μετὰ

τὴν μάχην, ὁ μὲν γὰρ ἀσπαζομένῳ ἔοικεν, ὁ δὲ προσκυνοῦντι.

XLIII Ποταμὸν δὲ Ὑδραώτην ὑπερβάντες καὶ πλείω ἔθνη ἀμείψαντες ἐγένοντο πρὸς τῷ Ὑφάσιδι, στάδια δὲ ἀπέχοντες τούτου τριάκοντα βωμοῖς τε ἐνέτυχον, οἷς ἐπεγέγραπτο *ΠΑΤΡΙ ΑΜΜΩΝΙ ΚΑΙ ΗΡΑΚΛΕΙ ΑΔΕΛΦΩΙ ΚΑΙ ΑΘΗΝΑΙ ΠΡΟΝΟΙΑΙ ΚΑΙ ΔΙΙ ΟΛΥΜΠΙΩΙ ΚΑΙ ΣΑΜΟΘΡΑΙΞΙ ΚΑΒΕΙΡΟΙΣ ΚΑΙ ΙΝΔΩΙ ΗΛΙΩΙ ΚΑΙ ΔΕΛΦΩΙ*
44 *ΑΠΟΛΛΩΝΙ*, φασὶ δὲ καὶ στήλην ἀνακεῖσθαι χαλκῆν, ᾗ ἐπιγεγράφθαι *ΑΛΕΞΑΝΔΡΟΣ ΕΝΤΑΥΘΑ ΕΣΤΗ*. τοὺς μὲν δὴ βωμοὺς Ἀλεξάνδρου ἡγώμεθα τὸ τῆς ἑαυτοῦ ἀρχῆς τέρμα τιμῶντος, τὴν δὲ στήλην τοὺς μετὰ τὸν Ὕφασιν Ἰνδοὺς ἀναθεῖναι δοκῶ μοι λαμπρυνομένους ἐπὶ τῷ Ἀλέξανδρον μὴ προελθεῖν πρόσω.

Γ'.

I Περὶ δὲ τοῦ Ὑφάσιδος καὶ ὁπόσος τὴν Ἰνδικὴν 91
διαστείχει καὶ ὅ τι περὶ αὐτὸν θαῦμα, τάδε χρὴ γιγνώσκειν· αἱ πηγαὶ τοῦ ποταμοῦ τούτου βλύζουσι μὲν ἐκ πεδίου ναυσίποροι αὐτόθεν, προϊοῦσαι δὲ καὶ ναυσὶν ἤδη ἄποροί εἰσιν. ἀκρωνυχίαι γὰρ πετρῶν παραλλὰξ ὑπανίσχουσι τοῦ ὕδατος, περὶ ἃς ἀνάγκη τὸ ῥεῦμα ἑλίττεσθαι καὶ ποιεῖν τὸν ποταμὸν ἄπλουν. εὖρος δὲ αὐτῷ κατὰ τὸν Ἴστρον, ποταμῶν δὲ οὗτος δοκεῖ μέγιστος, ὁπόσοι δι' Εὐρώπης ῥέουσι. δένδρα δέ οἱ προσόμοια φύει παρὰ τὰς ὄχθας, καί τι καὶ μύρον ἐκδίδοται τῶν δένδρων, ὃ ποιοῦνται Ἰνδοὶ γαμικὸν χρίσμα, καὶ εἰ μὴ τῷ μύρῳ τούτῳ ῥάνωσι τοὺς νυμφίους οἱ ξυνιόντες ἐς τὸν γάμον,

ἀτελὴς δοκεῖ καὶ οὐκ ἐς χάριν τῇ Ἀφροδίτῃ ξυναρμοσθείς. ἀνεῖσθαι δὲ τῇ θεῷ ταύτῃ λέγουσιν αὐτό τε τὸ περὶ τῷ ποταμῷ νέμος καὶ τοὺς ἰχθῦς τοὺς ταώς, οὓς οὗτος μόνος ποταμῶν τρέφει, πεποίηνται δὲ αὐτοὺς ὁμωνύμους τοῦ ὄρνιθος, ἐπεὶ κυάνεοι μὲν αὐτοῖς οἱ λόφοι, στικταὶ δὲ αἱ φολίδες, χρυσᾶ δὲ τὰ οὐραῖα καί, ὁπότε βούλοιντο, ἀνακλώμενα. ἔστι δέ τι θηρίον ἐν τῷ ποταμῷ τούτῳ σκώληκι εἰκασμένον λευκῷ. τοῦτο οἱ τήκοντες ἔλαιον ποιοῦνται, πῦρ δὲ ἄρα τοῦ ἐλαίου τούτου ἐκδίδοται καὶ στέγει αὐτὸ πλὴν ὑέλου οὐδέν. ἁλίσκεται δὲ τῷ βασιλεῖ μόνῳ τὸ θηρίον τοῦτο πρὸς τειχῶν ἅλωσιν. ἐπειδὰν γὰρ θίγῃ τῶν ἐπάλξεων ἡ πιμελή, πῦρ ἐκκαλεῖται κρεῖττον σβεστηρίων, ὁπόσα ἀνθρώποις πρὸς τὰ πυρφόρα
96 εὕρηται. καὶ τοὺς ὄνους δὲ τοὺς ἀγρίους ἐν τοῖς ἕλεσι II
τούτοις ἁλίσκεσθαί φασιν, εἶναι δὲ τοῖς θηρίοις τούτοις ἐπὶ μετώπου κέρας, ᾧ ταυρηδόν τε καὶ οὐκ ἀγεννῶς μάχονται, καὶ ἀποφαίνειν τοὺς Ἰνδοὺς ἔκπωμα τὸ κέρας τοῦτο, οὐ γὰρ οὔτε νοσῆσαι τὴν ἡμέραν ἐκείνην ὁ ἀπ᾽ αὐτοῦ πιὼν οὔτε ἂν τρωθεὶς ἀλγῆσαι πυρός τε διεξελθεῖν ἂν καὶ μηδ᾽ ἂν φαρμάκοις ἁλῶναι ὁπόσα ἐπὶ κακῷ πίνεται, βασιλέων δὲ τὸ ἔκπωμα εἶναι καὶ βασιλεῖ μόνῳ ἀνεῖσθαι τὴν θήραν. Ἀπολλώνιος δὲ τὸ μὲν θηρίον ἑωρακέναι φησὶ καὶ ἄγασθαι αὐτὸ τῆς φύσεως, ἐρομένου δὲ αὐτὸν τοῦ Δάμιδος, εἰ τὸν λόγον τὸν περὶ τοῦ ἐκπώματος προσδέχοιτο, „προσδέξομαι“ εἶπεν „ἢν ἀθάνατον μάθω τὸν βασιλέα τῶν δεῦρο Ἰνδῶν ὄντα, τὸν γὰρ ἐμοί τε καὶ τῷ δεῖνι ὀρέγοντα πῶμα ἄνοσόν τε καὶ οὕτως ὑγιὲς πῶς οὐχὶ μᾶλλον εἰκὸς αὐτὸν ἐπεγχεῖν ἑαυτῷ τούτου καὶ ὁσημέραι πίνειν ἀπὸ τοῦ κέρατος τούτου μέχρι κραιπάλης; οὐ γὰρ διαβαλεῖ τις, οἶμαι, (τὸ) τούτῳ μεθύειν.“

III 65 Ἐνταῦθα καὶ γυναικί φασιν ἐντετυχηκέναι τὰ μὲν ἐκ κεφαλῆς ἐς μαζοὺς μέλαινῃ, τὰ δὲ ἐκ μαζῶν ἐς πόδας λευκῇ πάντα, καὶ αὐτοὶ μὲν ὡς δεῖμα φυγεῖν, τὸν δὲ Ἀπολλώνιον ξυνάψαι τε τῇ γυναικὶ τὴν χεῖρα καὶ ξυνεῖναι ὅ τι εἴη· ἱεροῦται δὲ ἄρα τῇ Ἀφροδίτῃ Ἰνδὴ τοιαύτη, καὶ τίκτεται τῇ θεῷ γυνὴ ποικίλη, καθάπερ ὁ Ἆπις Αἰγυπτίοις.

IV Ἐντεῦθέν φασιν ὑπερβαλεῖν τοῦ Καυκάσου τὸ κατατεῖνον ἐς τὴν Ἐρυθρὰν θάλασσαν, εἶναι δὲ αὐτὸ ξυνηρεφὲς ἰδέαις ἀρωμάτων. τοὺς μὲν δὴ πρῶνας τοῦ ὄρους τὸ κιννάμωμον φέρειν, προσεοικέναι δὲ αὐτὸ νέαις κλήμασι, βάσανον δὲ τοῦ ἀρώματος τὴν αἶγα εἶναι· κινναμώμου γὰρ εἴ τις αἰγὶ ὀρέξειε, κνυζήσεται πρὸς τὴν χεῖρα, καθάπερ κύων, ἀπιόντι τε ὁμαρτήσει τὴν ῥῖνα ἐς αὐτὸ ἐρείσασα, κἂν ὁ αἰπόλος ἀπάγῃ, θρηνήσει καθάπερ λωτοῦ ἀποσπωμένη. ἐν δὲ τοῖς κρημνοῖς τοῦ ὄρους λίβανοί τε ὑψηλοὶ πεφύκασι καὶ πολλὰ εἴδη ἕτερα καὶ τὰ δένδρα αἱ πεπερίδες, ὧν γεωργοὶ πίθηκοι, καὶ οὐδὲ ᾧ εἴκασται τοῦτο, παρεῖταί σφισιν, ὃν δὲ εἴρηται τρόπον, ἐγὼ δηλώσω· τὸ δένδρον ἡ πεπερὶς εἴκασται μὲν τῷ παρ' Ἕλλησιν ἄγνῳ τά τε ἄλλα καὶ τὸν κόρυμβον τοῦ καρποῦ, φύεται δὲ ἐν τοῖς ἀποτόμοις οὐκ ἐφικτὸς τοῖς ἀνθρώποις, οὗ λέγεται πιθήκων οἰκεῖν δῆμος ἐν μυχοῖς τοῦ ὄρους καὶ ὅ τι αὐτοῦ κοῖλον, οὓς πολλοῦ ἀξίους οἱ Ἰνδοὶ νομίζοντες, ἐπειδὴ τὸ πέπερι ἀποτρυγῶσι, τοὺς λέοντας ἀπ' αὐτῶν ἐρύκουσι κυσί τε καὶ ὅπλοις. ἐπιτίθεται δὲ πιθήκῳ λέων νοσῶν μὲν ὑπὲρ φαρμάκου, τὴν γὰρ νόσον αὐτῷ τὰ κρέα ἴσχει ταῦτα, γεγηρακὼς δὲ ὑπὲρ σίτου, τῆς γὰρ τῶν ἐλάφων καὶ συῶν θήρας ἔξωροι γεγονότες τοὺς πιθήκους λαφύσσουσιν ἐς τοῦτο χρώμενοι τῇ λοιπῇ

ῥώμῃ. οὐ μὴν οἱ ἄνθρωποι περιορῶσιν, ἀλλ' εὐεργέτας ἡγούμενοι τὰ θηρία ταῦτα πρὸς τοὺς λέοντας ὑπὲρ αὐτῶν αἰχμὴν αἴρονται. τὰ γὰρ πραττόμενα περὶ τὰς πεπερίδας ὧδε ἔχει· προσελθόντες οἱ Ἰνδοὶ τοῖς κάτω δένδρεσι τὸν καρπὸν ἀποθερίσαντες ἅλως ποιοῦνται μικρὰς περὶ τὰ δένδρα καὶ τὸ πέπερι περὶ αὐτὰς ξυμφοροῦσιν οἷον ῥιπτοῦντες, ὡς ἄτιμόν τι καὶ μὴ ἐν σπουδῇ τοῖς ἀνθρώποις, οἱ δὲ ἄνωθεν καὶ ἐκ τῶν ἀβάτων ἀφεωρακότες ταῦτα, νυκτὸς γενομένης ὑποκρίνονται τὸ τῶν Ἰνδῶν ἔργον καὶ τοὺς βοστρύχους τῶν δένδρων περισπῶντες ῥιπτοῦσι φέροντες ἐς τὰς ἅλως, οἱ Ἰνδοὶ δὲ ἅμα ἡμέρᾳ σωροὺς ἀναιροῦνται τοῦ ἀρώματος οὐδὲ πονήσαντες οὐδέν, ἀλλὰ ῥᾴθυμοί τε καὶ καθεύδοντες.

Ὑπεράραντες δὲ τοῦ ὄρους πεδίον ἰδεῖν φασι V
λεῖον κατατετμημένον ἐς τάφρους πλήρεις ὕδατος.
εἶναι δὲ αὐτῶν τὰς μὲν ἐπικαρσίους, τὰς δὲ ὀρθάς,
98 διηγμένας ἐκ τοῦ ποταμοῦ τοῦ Γάγγου τῆς τε χώρας
ὅρια οὔσας τοῖς τε πεδίοις ἐπαγομένας, ὁπότε ἡ γῆ
διψῴη. τὴν δὲ γῆν ταύτην ἀρίστην φασὶ τῆς Ἰνδικῆς εἶναι καὶ μεγίστην τῶν ἐκεῖ λήξεων, πεντεκαίδεκα ἡμερῶν ὁδοῦ μῆκος ἐπὶ τὸν Γάγγην, ὀκτωκαίδεκα δὲ ἀπὸ θαλάσσης ἐπὶ τὸ τῶν πιθήκων ὄρος, ᾧ ξυμπαρατείνει. πεδιὰς πᾶσα ἡ χώρα μέλαινά τε καὶ πάντων εὔφορος. ἰδεῖν μὲν γὰρ ἐν αὐτῇ στάχυας ἀνεστῶτας, ὅσον οἱ δόνακες, ἰδεῖν δὲ κυάμους τριπλασίους τῶν Αἰγυπτίων τὸ μέγεθος σήσαμόν τε καὶ κέγχρον ὑπερφυᾶ πάντα. ἐνταῦθα καὶ τὰ κάρυα φύεσθαί φασιν, ὧν πολλὰ πρὸς ἱεροῖς ἀνακεῖσθαι
τοῖς δεῦρο θαύματος ἕνεκα. τὰς δὲ ἀμπέλους φύ- 46
εσθαι μὲν μικράς, καθάπερ τὰς Λυδῶν τε καὶ Μαιόνων, ποτίμους δὲ εἶναι καὶ ἀνθοσμίας ὁμοῦ τῷ ἀπο-

τρυγᾶν. ἐνταῦθα καὶ δένδρῳ φασὶν ἐντετυχηκέναι προσεοικότι τῇ δάφνῃ, φύεσθαι δὲ αὐτοῦ κάλυκα εἰκασμένην τῇ μεγίστῃ ῥόᾳ, καὶ μῆλον ἐγκεῖσθαι τῇ κάλυκι κυάνεον μέν, ὥσπερ τῶν ὑακίνθων αἱ κάλυκες, πάντων δὲ ἥδιστον, ὁπόσα ἐξ ὡρῶν ἥκει.

VI Καταβαίνοντες δὲ τὸ ὄρος δρακόντων θήρᾳ περιτυχεῖν φασι, περὶ ἧς ἀνάγκη λέξαι· καὶ γὰρ σφόδρα εὔηθες ὑπὲρ μὲν τοῦ λαγὼ καὶ ὅπως ἁλίσκεται καὶ ἁλώσεται, πολλὰ εἰρῆσθαι τοῖς ἐς φροντίδα βαλλομένοις ταῦτα, ἡμᾶς δὲ παρελθεῖν λόγον γενναίας τε καὶ δαιμονίου θήρας μηδὲ τῷ ἀνδρὶ παραλειφθέντα, ἐς ὃν ταῦτα ἔγραψα· δρακόντων μὲν γὰρ δὴ ἀπεί- 99
ροις μήκεσι κατέζωσται πᾶσα ἡ Ἰνδικὴ χώρα καὶ μεστὰ μὲν αὐτῶν ἕλη, μεστὰ δὲ ὄρη, κενὸς δὲ οὐδεὶς λόφος. οἱ μὲν δὴ ἕλειοι νωθροί τέ εἰσι καὶ τριακοντάπηχυ μῆκος ἔχουσι καὶ κράνος αὐτοῖς οὐκ ἀνέστηκεν, ἀλλ' εἰσὶ ταῖς δρακαίναις ὅμοιοι, μέλανες δὲ ἱκανῶς τὸν νῶτον καὶ ἧττον φολιδωτοὶ τῶν ἄλλων. καὶ σοφώτερον ἧπται τοῦ λόγου περὶ αὐτῶν Ὅμηρος ἢ οἱ πολλοὶ ποιηταί, τὸν γὰρ δράκοντα τὸν ἐν Αὐλίδι τὸν πρὸς τῇ πηγῇ οἰκοῦντα περὶ νῶτα δαφοινὸν εἴρηκεν, οἱ δὲ ἄλλοι ποιηταὶ τὸν ὁμοήθη τούτῳ τὸν ἐν τῷ τῆς Νεμέας ἄλσει φασὶ καὶ λοφιὰν ἔχειν,
VII ὅπερ οὐκ ἂν περὶ τοὺς ἑλείους εὕροιμεν. οἱ δὲ ὑπὸ τὰς ὑπωρείας τε καὶ τοὺς λόφους ἴενται μὲν ἐς τὰ πεδία ἐπὶ θήρᾳ, πλεονεκτοῦσι δὲ τῶν ἑλείων πάντα, καὶ γὰρ ἐς πλέον τοῦ μήκους ἐλαύνουσι καὶ ταχύτεροι τῶν ὀξυτάτων ποταμῶν φέρονται καὶ διαφεύγει αὐτοὺς οὐδέν· τούτοις καὶ λοφιὰ φύεται νέοις μὲν ὑπανίσχουσα τὸ μέτριον, τελειουμένοις δὲ συναυξανομένη τε καὶ συνανιοῦσα ἐς πολύ, ὅτε δὴ πυρσοί τε καὶ πριόνωτοι γίγνονται. οὗτοι καὶ γενειάσκουσι

καὶ τὸν αὐχένα ὑψοῦ αἴρουσι καὶ τὴν φολίδα στίλ-
βουσι δίκην ἀργύρου, αἱ δὲ τῶν ὀφθαλμῶν κόραι
λίθος ἐστὶ διάπυρος, ἰσχὺν δ' αὐτῶν ἀμήχανον εἶναί
100 φασιν ἐς πολλὰ τῶν ἀποθέτων. γίγνεται δὲ τοῖς
θηρῶσιν ὁ πεδινὸς εὕρημα, ἐπειδὰν τῶν ἐλεφάντων
τινὰ ἐπισπάσηται, τουτὶ γὰρ ἀπόλλυσιν ἄμφω τὰ
θηρία. καὶ κέρδος τοῖς ἑλοῦσι δράκοντας ὀφθαλμοί
τε γίγνονται καὶ δορὰ καὶ ὀδόντες. εἰσὶ δὲ τὰ μὲν
ἄλλα ὅμοιοι τοῖς τῶν μεγίστων συῶν, λεπτότεροι δὲ
καὶ διάστροφοι καὶ τὴν αἰχμὴν ἄτριπτοι, καθάπερ οἱ
τῶν μεγάλων ἰχθύων. οἱ δὲ ὄρειοι δράκοντες τὴν VIII
μὲν φολίδα χρυσοῖ φαίνονται, τὸ δὲ μῆκος ὑπὲρ τοὺς
πεδινούς, γένεια δὲ αὐτοῖς βοστρυχώδη, χρυσᾶ κά-
κεῖνα, καὶ κατωφρύωνται μᾶλλον ἢ οἱ πεδινοὶ ὄμμα
τε ὑποκάθηται τῇ ὀφρύι δεινὸν καὶ ἀνειδὲς δεδορ-
κός, ὑπόχαλκόν τε ἠχὼ φέρουσιν, ἐπειδὰν τῇ γῇ
ὑποκυμαίνωσιν, ἀπὸ δὲ τῶν λόφων πυρσῶν ὄντων
πῦρ αὐτοῖς ἄττει λαμπαδίου πλέον. οὗτοι καὶ τοὺς
ἐλέφαντας αἱροῦσιν, αὐτοὶ δὲ ὑπὸ τῶν Ἰνδῶν οὕτως
ἁλίσκονται· κοκκοβαφεῖ πέπλῳ χρυσᾶ ἐνείραντες
γράμματα τίθενται πρὸ τῆς χειᾶς ὕπνον ἐγγοητεύ-
σαντες τοῖς γράμμασιν, ὑφ' οὗ νικᾶται τοὺς ὀφθαλ-
μοὺς ὁ δράκων ἀτρέπτους ὄντας, καὶ πολλὰ τῆς ἀπορ- 47
ρήτου σοφίας ἐπ' αὐτὸν ᾄδουσιν, οἷς ἄγεταί τε καὶ
τὸν αὐχένα ὑπερβαλὼν τῆς χειᾶς ἐπικαθεύδει τοῖς
γράμμασι· προσπεσόντες οὖν οἱ Ἰνδοὶ κειμένῳ πελέ-
κεις ἐναράττουσι, καὶ τὴν κεφαλὴν ἀποτεμόντες λῄ-
ζονται τὰς ἐν αὐτῇ λίθους. ἀποκεῖσθαι δέ φασιν ἐν
ταῖς τῶν ὀρείων δρακόντων κεφαλαῖς λίθους τὸ μὲν
101 εἶδος ἀνθηρὰς καὶ πάντα ἀπαυγαζούσας χρώματα,
τὴν δὲ ἰσχὺν ἀρρήτους κατὰ τὸν δακτύλιον, ὃν γε-
νέσθαι φασὶ τῷ Γύγῃ. πολλάκις δὲ καὶ τὸν Ἰνδὸν

αὐτῷ πελέκει καὶ αὐτῇ τέχνῃ συλλαβὼν ἐς τὴν αὐτοῦ χειὰν φέρων ᾤχετο μονονοὺ σείων τὸ ὄρος. οὗτοι καὶ τὰ ὄρη τὰ περὶ τὴν Ἐρυθρὰν οἰκεῖν λέγονται, σύριγμα δὲ δεινόν φασιν ἀκούεσθαι τούτων καὶ κατιόντας αὐτοὺς ἐπὶ τὴν θάλατταν πλεῖν ἐπὶ πολὺ τοῦ πελάγους. περὶ δὲ ἐτῶν μήκους τοῦ θηρίου τούτου γνῶναί τε ἄπορον καὶ εἰπεῖν ἄπιστον. τοσαῦτα περὶ δρακόντων οἶδα.

IX Τὴν δὲ πόλιν τὴν ὑπὸ τῷ ὄρει μεγίστην οὖσαν φασὶ μὲν καλεῖσθαι Πάρακα, δρακόντων δὲ ἀνακεῖσθαι κεφαλὰς ἐν μέσῃ πλείστας γυμναζομένων τῶν ἐν ἐκείνῃ Ἰνδῶν τὴν θήραν ταύτην ἐκ νέων. λέγονται δὲ καὶ ζῴων ξυνιέναι φθεγγομένων τε καὶ βουλευομένων σιτούμενοι δράκοντος οἱ μὲν καρδίαν, οἱ δὲ ἧπαρ. προϊόντες δὲ αὐλοῦ μὲν ἀκοῦσαι δόξαι νομέως δή τινος ἀγέλην τάττοντος, ἐλάφους δὲ ἄρα βουκολεῖσθαι λευκάς, ἀμέλγουσι δὲ Ἰνδοὶ ταύτας εὔτραφὲς ἡγούμενοι τὸ ἀπ᾽ αὐτῶν γάλα.

X Ἐντεῦθεν ἡμερῶν τεττάρων ὁδὸν πορευόμενοι δι᾽ εὐδαίμονος καὶ ἐνεργοῦ τῆς χώρας προσελθεῖν φασι τῇ τῶν σοφῶν τύρσει. τὸν δὲ ἡγεμόνα κελεύσαντα συνοκλάσαι τὴν κάμηλον ἀποπηδῆσαι αὐτῆς περιδεᾶ καὶ ἱδρῶτος πλέων. τὸν δὲ Ἀπολλώνιον ξυνεῖναι μὲν οὗ ἥκοι, γελάσαντα δὲ ἐπὶ τῷ τοῦ Ἰνδοῦ δέει „δοκεῖ μοι“ φάναι „οὗτος, εἰ καὶ κατέπλευσεν ἐς λιμένα μακρόν τι ἀναμετρήσας πέλαγος, ἀχθεσθῆναι ἂν τῇ γῇ καὶ δεῖσαι τὸ ἐν ὅρμῳ εἶναι.“ καὶ ἅμα εἰπὼν ταῦτα προσέταξε τῇ καμήλῳ συνιζῆσαι, 109 καὶ γὰρ δὴ καὶ ἐθὰς λοιπὸν ἦν τῶν τοιούτων, περίφοβον δὲ ἄρα ἐποίει τὸν ἡγεμόνα τὸ πλησίον τῶν σοφῶν ἥκειν, Ἰνδοὶ γὰρ δεδίασι τούτους μᾶλλον ἢ τὸν σφῶν αὐτῶν βασιλέα, ὅτι καὶ βασιλεὺς αὐτός,

ὑφ' ᾧ ἐστιν ἡ χώρα, περὶ πάντων, ἃ λεκτέα τε αὐτῷ
καὶ πρακτέα, ἐρωτᾷ τούσδε τοὺς ἄνδρας, ὥσπερ οἱ
ἐς θεοῦ πέμποντες, οἱ δὲ σημαίνουσι μέν, ὅ τι λῷον,
αὐτῷ πράττειν, ὅ τι δὲ μὴ λῷον, ἀπαγορεύουσί τε καὶ
ἀποσημαίνουσι.

Καταλύσειν δὲ μέλλοντὲς ἐν τῇ κώμῃ τῇ πλη- XI
σίον — ἀπέχει δὲ τοῦ ὄχθου τῶν σοφῶν οὔπω στά-
διον — ἰδεῖν φασι νεανίαν δρόμῳ ἥκοντα μελάντα-
τον Ἰνδῶν πάντων, ὑποστίλβειν δὲ αὐτῷ μηνοειδῶς
τὸ μεσόφρυον. τουτὶ δὲ ἀκούω χρόνοις ὕστερον καὶ
περὶ Μένωνα τὸν Ἡρώδου τοῦ σοφιστοῦ τρόφιμον,
ἀπ' Αἰθιόπων δὲ ἦν, ἐν μειρακίῳ δόξαι, προϊόντος
δὲ ἐς ἄνδρας ἐκλιπεῖν τὴν αὐγὴν ταύτην καὶ συνα-
φανισθῆναι τῇ ὥρᾳ, τὸν δὲ Ἰνδὸν χρυσῆν μὲν φέρειν
φασὶν ἄγκυραν, ἣν νομίζουσιν Ἰνδοὶ κηρύκειον ἐπὶ
τῷ πάντα ἴσχειν. προσδραμόντα δὲ τῷ Ἀπολλωνίῳ XII
φωνῇ Ἑλλάδι προσειπεῖν αὐτόν, καὶ τοῦτο μὲν οὔπω
θαυμαστὸν δόξαι διὰ τὸ καὶ τοὺς ἐν τῇ κώμῃ πάν-
τας ἀπὸ Ἑλλήνων φθέγγεσθαι, τὸ δὲ „ὁ δεῖνα χαῖρε" 48
τοῖς μὲν ἄλλοις παρασχεῖν ἔκπληξιν, τῷ δὲ ἀνδρὶ
θάρσος ὑπὲρ ὧν ἀφῖκτο, βλέψας γὰρ ἐς τὸν Δάμιν,
„παρὰ ἄνδρας" ἔφη „σοφοὺς ἀτεχνῶς ἥκομεν, ἐοί-
κασι γὰρ προγιγνώσκειν." καὶ ἅμα ἤρετο τὸν Ἰνδόν,
ὅ τι χρὴ πράττειν, ποθῶν ἤδη τὴν ξυνουσίαν, ὁ δὲ
Ἰνδὸς „τούτους μὲν" ἔφη „καταλύειν χρὴ ἐνταῦθα,
σὲ δὲ ἥκειν ὡς ἔχεις, κελεύουσι γὰρ αὐτοί." τὸ μὲν XIII
δὴ αὐτοὶ Πυθαγόρειον ἤδη τῷ Ἀπολλωνίῳ ἐφάνη
καὶ ἠκολούθει χαίρων.

Τὸν δὲ ὄχθον, ἐφ' οὗ οἱ σοφοὶ ἀνῳκισμένοι εἰσίν,
ὕψος μὲν εἶναι κατὰ τὴν Ἀθηναίων φασὶν ἀκρόπο-
103 λιν, ἀνίστασθαι δὲ ἐκ πεδίου ἄνω, εὐφυᾶ δὲ ὁμοίως
πέτραν ὀχυροῦν αὐτὸν κύκλῳ περιήκουσαν, ἧς πολ-

λαχοῦ δίχηλα ὁρᾶσθαι ἴχνη καὶ γενειάδων τύπους καὶ προσώπων καί που καὶ νῶτα ἰδεῖν ἀπωλισθηκόσιν ὅμοια, τὸν γὰρ Διόνυσον, ὅτε ξὺν Ἡρακλεῖ ἀπεπειρᾶτο τοῦ χωρίου, προσβαλεῖν μὲν αὐτῷ φασι κελεῦσαι τοὺς Πᾶνας, ὡς πρὸς τὸν σεισμὸν ἱκανούς, ἐμβροντηθέντας δὲ αὐτοὺς ὑπὸ τῶν σοφῶν πεσεῖν ἄλλον ἄλλως, καὶ τὰς πέτρας οἷον ἐντυπωθῆναι τὰ τῆς διαμαρτίας σχήματα. περὶ δὲ τῷ ὄχθῳ νεφέλην ἰδεῖν φασιν, ἐν ᾗ τοὺς Ἰνδοὺς οἰκεῖν φανερούς τε καὶ ἀφανεῖς καὶ ὅ τι βούλονται. πύλας δὲ εἰ μὲν καὶ ἄλλας εἶναι τῷ ὄχθῳ, οὐκ εἰδέναι. τὸ γὰρ περὶ αὐτὸν νέφος οὔτε ἀκλείστῳ ξυγχωρεῖν οὔτ' αὖ

XIV ξυγκεκλεισμένῳ φαίνεσθαι. αὐτὸς δὲ ἀναβῆναι μὲν κατὰ τὸ νότιον μάλιστα τοῦ ὄχθου τῷ Ἰνδῷ ἑπόμενος, ἰδεῖν δὲ πρῶτον μὲν φρέαρ ὀργυιῶν τεττάρων, οὗ τὴν αὐγὴν ἐπὶ τὸ στόμιον ἀναπέμπεσθαι κυανωτάτην οὖσαν καὶ ὁπότε ἡ μεσημβρία τοῦ ἡλίου σταίη περὶ αὐτό, ἀνιμᾶσθαι τὴν αὐγὴν ἀπὸ τῆς ἀκτῖνος καὶ χωρεῖν ἄνω παρεχομένην εἶδος θερμῆς ἴριδος. μαθεῖν δὲ ὕστερον περὶ τοῦ φρέατος, ὡς σανδαρακίνη μὲν εἴη ἡ ὑπ' αὐτῷ γῆ, ἀπόρρητον δὲ τὸ ὕδωρ ἡγοῖντο καὶ οὔτε πίνοι τις αὐτὸ οὔτε ἀνασπῴη, ὅρκιον δὲ νομίζοιτο τῇ πέριξ Ἰνδικῇ πάσῃ. πλησίον δὲ τούτου κρατῆρα εἶναι πυρός, οὗ φλόγα ἀναπέμπεσθαι μολυβδώδη, καπνὸν δὲ οὐδένα ἀπ' αὐτῆς ᾄττειν, οὐδὲ ὀσμὴν οὐδεμίαν, οὐδὲ ὑπερχυθῆναί ποτε ὁ κρατὴρ οὗτος, ἀλλ' ἀναδίδοσθαι τοσοῦτος, ὡς μὴ ὑπερβλύσαι τοῦ βόθρου. ἐνταῦθα Ἰνδοὶ καθαίρονται τῶν ἀκουσίων, ὅθεν οἱ σοφοὶ τὸ μὲν φρέαρ ἐλέγχου καλοῦσι, τὸ δὲ πῦρ ξυγγνώμης. καὶ διττὼ 104
ἑωρακέναι φασὶ πίθω λίθου μέλανος ὄμβρων τε καὶ ἀνέμων ὄντε. ὁ μὲν δὴ τῶν ὄμβρων, εἰ αὐχμῷ ἡ

Ἰνδικὴ πιέζοιτο, ἀνοιχθεὶς νεφέλας ἀναπέμπει καὶ
ὑγραίνει τὴν γῆν πᾶσαν, εἰ δὲ ὄμβροι πλεονεκτοῖεν,
ἴσχει αὐτοὺς ξυγκλειόμενος, ὁ δὲ τῶν ἀνέμων πίθος
ταὐτόν, οἶμαι, τῷ τοῦ Αἰόλου ἀσκῷ πράττει, παρ-
ανοιγνύντες γὰρ τὸν πίθον ἕνα τῶν ἀνέμων ἀνιᾶσιν
ἐμπνεῖν ὥρᾳ κἀντεῦθεν ἡ γῆ ἔρρωται. θεῶν δὲ
ἀγάλμασιν ἐντυχεῖν φασιν, εἰ μὲν Ἰνδοῖς ἢ Αἰγυ-
πτίοις, θαῦμα οὐδέν, τὰ δέ γε ἀρχαιότατα τῶν παρ'
Ἕλλησι τό τε τῆς Ἀθηνᾶς τῆς Πολιάδος καὶ τὸ τοῦ
Ἀπόλλωνος τοῦ Δηλίου καὶ τὸ τοῦ Διονύσου τοῦ
Λιμναίου καὶ τὸ τοῦ Ἀμυκλαίου καὶ ὁπόσα ὧδε ἀρ-
χαῖα, ταῦτα ἱδρύεσθαί τε τοὺς Ἰνδοὺς τούτους καὶ 49
νομίζειν Ἑλληνικοῖς ἤθεσι, φασὶ δ' οἰκεῖν τὰ μέσα
τῆς Ἰνδικῆς. καὶ τὸν ὄχθον ὀμφαλὸν ποιοῦνται τοῦ
λόφου τούτου, πῦρ τε ἐπ' αὐτοῦ ὀργιάζουσιν, ὅ φασιν
ἐκ τῶν τοῦ ἡλίου ἀκτίνων αὐτοὶ ἕλκειν· τούτῳ καὶ
τὸν ὕμνον ἡμέραν ἅπασαν ἐς μεσημβρίαν ᾄδουσιν.

105 Ὁποῖοι μὲν δὴ καὶ οἱ ἄνδρες καὶ ὅπως οἰκοῦντες XV
τὸν ὄχθον, αὐτὸς ὁ ἀνὴρ δίεισιν· ἐν μιᾷ γὰρ τῶν
πρὸς Αἰγυπτίους ὁμιλιῶν „εἶδον“ φησὶν „Ἰνδοὺς
Βραχμᾶνας οἰκοῦντας ἐπὶ τῆς γῆς καὶ οὐκ ἐπ' αὐτῆς,
καὶ ἀτειχίστως τετειχισμένους, καὶ οὐδὲν κεκτημέ-
νους ἢ τὰ πάντων“ ταυτὶ δὲ ἐκεῖνος μὲν σοφώτερον
ἔγραψεν, ὁ δέ γε Δάμις φησὶ χαμευνίᾳ μὲν αὐτοὺς
χρῆσθαι, τὴν γῆν δὲ ὑποστρωννύναι πόας, ἃς ἂν
αὐτοὶ αἱρῶνται, καὶ μετεωροποροῦντας δὴ ἰδεῖν ἀπὸ
τῆς γῆς ἐς πήχεις δύο, οὐ θαυματοποιίας ἕνεκα, τὸ
γὰρ φιλότιμον τοῦτο παραιτεῖσθαι τοὺς ἄνδρας, ἀλλ'
ὁπόσα τῷ Ἡλίῳ ξυναποβαίνοντες τῆς γῆς δρῶσιν,
ὡς πρόσφορα τῷ θεῷ πράττοντας. τό τοι πῦρ, ὃ
ἀπὸ τῆς ἀκτῖνος ἐπισπῶνται καίτοι σωματοειδὲς ὂν
οὔτε ἐπὶ βωμοῦ καίειν αὐτοὺς οὔτε ἐν ἰπνοῖς φυλάτ-

τειν, ἀλλ' ὥςπερ τὰς αὐγάς, αἳ ἐξ ἡλίου τε ἀνακλῶνται καὶ ὕδατος, οὕτω μετέωρόν τε ὁρᾶσθαι αὐτὸ καὶ σαλεῦον ἐν τῷ αἰθέρι. τὸν μὲν οὖν δὴ Ἥλιον ὑπὲρ τῶν ὡρῶν, ἃς ἐπιτροπεύει αὐτός, ἵν' ἐς καιρὸν τῇ γῇ ἴωσι καὶ ἡ Ἰνδικὴ εὖ πράττῃ, νύκτωρ δὲ λιπαροῦσι τὴν ἀκτῖνα μὴ ἄχθεσθαι τῇ νυκτί, μένειν δέ, ὡς ὑπ' αὐτῶν ἤχθη. τοιοῦτον μὲν δὴ τοῦ Ἀπολλωνίου τὸ „ἐν τῇ γῇ τε εἶναι τοὺς Βραχμᾶνας καὶ οὐκ ἐν τῇ γῇ“. τὸ δὲ „ἀτειχίστως τετειχισμένους“ δηλοῖ τὸν ἀέρα, ὑφ' ᾧ ζῶσιν, ὑπαίθριοι γὰρ δοκοῦντες αὐλίζεσθαι σκιάν τε ὑπεραίρουσιν αὐτῶν καὶ ὕοντος οὐ ψεκάζονται καὶ ὑπὸ τῷ ἡλίῳ εἰσίν, ἐπει- 106
δὰν αὐτοὶ βούλωνται. τὸ δὲ „μηδὲν κεκτημένους τὰ πάντων ἔχειν“ ὧδε ὁ Δάμις ἐξηγεῖται· πηγαί, ὁπόσαι τοῖς βάκχοις παρὰ τῆς γῆς ἀναθρώσκουσιν, ἐπειδὰν ὁ Διόνυσος αὐτούς τε καὶ τὴν γῆν σείσῃ, φοιτῶσι καὶ τοῖς Ἰνδοῖς τούτοις ἑστιωμένοις τε καὶ ἑστιῶσιν· εἰκότως οὖν ὁ Ἀπολλώνιος τοὺς μηδὲν μὲν ἐκ παρασκευῆς, αὐτοσχεδίως δέ, ἃ βούλονται, πορίζομένους, ἔχειν φησίν, ἃ μὴ ἔχουσιν. κομᾶν δὲ ἐπιτηδεύουσιν, ὥσπερ Λακεδαιμόνιοι πάλαι καὶ Θούριοι Ταραντῖνοί τε καὶ Μήλιοι καὶ ὁπόσοις τὰ Λακωνικὰ ἦν ἐν λόγῳ, μίτραν τε ἀναδοῦνται λευκήν, καὶ γυμνὸν αὐτοῖς βάδισμα καὶ τὴν ἐσθῆτα ἐσχηματίζοντο παραπλησίως ταῖς ἐξωμίσιν. ἡ δὲ ὕλη τῆς ἐσθῆτος ἔριον αὐτοφυὲς ἡ γῆ φύει, λευκὸν μὲν ὥσπερ τὸ Παμφύλων, μαλακώτερον δὲ τίκτει, ἡ δὲ πιμελὴ οἷα ἔλαιον ἀπ' 107
αὐτοῦ λείβεται. τοῦτο ἱερὰν ἐσθῆτα ποιοῦνται καὶ εἴ τις ἕτερος παρὰ τοὺς Ἰνδοὺς τούτους ἀνασπῴη αὐτό, οὐ μεθίεται ἡ γῆ τοῦ ἐρίου. τὴν δὲ ἰσχὺν τοῦ δακτυλίου καὶ τῆς ῥάβδου, ἃ φορεῖν αὐτοὺς ἄμφω, δύνασθαι μὲν πάντα, δύω δὲ ἀρρήτω τετιμῆσθαι.

Προσιόντα δὲ τὸν Ἀπολλώνιον οἱ μὲν ἄλλοι σοφοὶ XVI
προσήγοντο ἀσπαζόμενοι ταῖς χερσίν, ὁ δὲ Ἰάρχας
ἐκάθητο μὲν ἐπὶ δίφρου ὑψηλοῦ — χαλκοῦ δὲ μέλα-
νος ἦν καὶ πεποίκιλτο χρυσοῖς ἀγάλμασιν, οἱ δὲ τῶν
ἄλλων δίφροι χαλκοῖ μέν, ἄσημοι δὲ ἦσαν, ὑψηλοὶ
δὲ ἧττον, ὑπεκάθηντο γὰρ τῷ Ἰάρχᾳ — τὸν δὲ Ἀπολ-
λώνιον ἰδὼν φωνῇ τε ἠσπάσατο Ἑλλάδι καὶ τὰ τοῦ
Ἰνδοῦ γράμματα ἀπῄτει. θαυμάσαντος δὲ τοῦ Ἀπολ- 50
λωνίου τὴν πρόγνωσιν καὶ γράμμα γε ἓν ἔφη λεί-
πειν τῇ ἐπιστολῇ, δέλτα εἰπών, παρῆλθε γὰρ αὐτὸν
γράφοντα. καὶ ἐφάνη τοῦτο ὧδε ἔχον· ἀναγνοὺς δὲ
τὴν ἐπιστολὴν „πῶς,“ ἔφη „ὦ Ἀπολλώνιε, περὶ
ἡμῶν φρονεῖτε;“ „πῶς“ εἶπεν „ἢ ὡς δηλοῖ τὸ ὑμῶν
ἕνεκα ἥκειν με ὁδόν, ἣν μήπω τις τῶν ὅθεν περ ἐγὼ
ἀνθρώπων;“ „τί δὲ ἡμᾶς πλέον οἴει σαυτοῦ γιγνώ-
σκειν;“ „ἐγὼ μὲν“ εἶπε „σοφώτερά τε ἡγοῦμαι τὰ
ὑμέτερα καὶ πολλῷ θειότερα. εἰ δὲ μηδὲν πλέον ὧν
οἶδα παρ' ὑμῖν εὕροιμι, μεμαθηκὼς ἂν εἴην καὶ τὸ
μηκέτ' ἔχειν ὅ τι μάθοιμι.“ ὑπολαβὼν οὖν ὁ Ἰνδὸς
„οἱ μὲν ἄλλοι“ ἔφη „τοὺς ἀφικνουμένους ἐρωτῶσι,
ποταποί τε ἥκουσι καὶ ἐφ' ὅ τι, ἡμῖν δὲ σοφίας ἐπί-
108 δειξιν πρώτην ἔχει τὸ μὴ ἀγνοῆσαι τὸν ἥκοντα.
ἔλεγχε δὲ πρῶτον τοῦτο.“ καὶ εἰπὼν ταῦτα πατρό-
θεν τε διῄει τὸν Ἀπολλώνιον καὶ μητρόθεν καὶ τὰ
ἐν Αἰγαῖς πάντα καὶ ὡς προσῆλθεν αὐτῷ ὁ Δάμις
καὶ εἰ δή τι ἐσπούδασαν ὁδοιποροῦντες ἢ σπουδά-
ζοντος ἑτέρου εἶδον, πάντα ταῦθ' ὥσπερ κοινωνήσας
αὐτοῖς τῆς ἀποδημίας ὁ Ἰνδὸς ἀπνευστί τε καὶ σα-
φῶς εἶρεν. ἐκπλαγέντος δὲ τοῦ Ἀπολλωνίου καὶ
ὁπόθεν εἰδείη, ἐπερομένου „καὶ σὺ μέτοχος“ ἔφη
„τῆς σοφίας ταύτης ἥκεις, ἀλλ' οὔπω πάσης.“ „δι-
δάξῃ οὖν με“ ἔφη „τὴν σοφίαν πᾶσαν;“ „καὶ ἀφθό-

νως γε," εἶπε ,,τουτὶ γὰρ σοφώτερον τοῦ βασκαίνειν τε καὶ κρύπτειν τὰ σπουδῆς ἄξια, καὶ ἄλλως, Ἀπολλώνιε, μεστόν σε ὁρῶ τῆς μνημοσύνης, ἣν ἡμεῖς μάλιστα θεῶν ἀγαπῶμεν." ,,ἦ γὰρ καθεώρακας," εἶπεν ,,ὅπως πέφυκα;" ,,ἡμεῖς," ἔφη ,,ὦ Ἀπολλώνιε, πάντα ὁρῶμεν τὰ τῆς ψυχῆς εἴδη ξυμβόλοις αὐτὰ μυρίοις ἐξιχνεύοντες. ἀλλ' ἐπεὶ μεσημβρία πλησίον καὶ τὰ πρόσφορα τοῖς θεοῖς χρὴ παρασκευάσαι, νῦν μὲν ταῦτ' ἐκπονῶμεν, μετὰ ταῦτα δέ, ὁπόσα βούλει, διαλεγώμεθα, παρατύγχανε δὲ πᾶσι τοῖς δρωμένοις." ,,νὴ Δί'," εἶπεν ,,ἀδικοίην ἂν τὸν Καύκασον καὶ τὸν Ἰνδόν, οὓς ὑπερβὰς δι' ὑμᾶς ἥκω, εἰ μὴ πάντων
XVII ἐμφοροίμην ὧν δρῴητε." ,,ἐμφοροῦ" ἔφη ,,καὶ ἴωμεν." ἐλθόντες οὖν ἐπὶ πηγήν τινα ὕδατος, ἥν φησιν ὁ Δάμις ἰδὼν ὕστερον ἐοικέναι τῇ ἐν Βοιωτοῖς Δίρκῃ, πρῶτα μὲν ἐγυμνώθησαν, εἶτα ἐχρίσαντο τὰς κεφαλὰς ἠλεκτρώδει φαρμάκῳ, τὸ δὲ οὕτω τι τοὺς Ἰνδοὺς ἔθαλπεν, ὡς ἀτμίζειν τὸ σῶμα καὶ τὸν ἱδρῶτα χωρεῖν ἀστακτί, καθάπερ τῶν πυρὶ λουομένων, εἶτα ἔρριψαν ἑαυτοὺς ἐς τὸ ὕδωρ καὶ λουσάμενοι ὧδε πρὸς τὸ ἱερὸν ἐβάδιζον ἐστεφανωμένοι καὶ μεστοὶ τοῦ ὕμνου. περιστάντες δὲ ἐν χοροῦ σχήματι καὶ κορυφαῖον ποιησάμενοι τὸν Ἰάρχαν ὀρθαῖς ταῖς ῥάβδοις τὴν γῆν ἔπληξαν, ἡ δὲ κυρτωθεῖσα δίκην κύματος ἀνέπεμψεν αὐτοὺς ἐς δίπηχυ τοῦ ἀέρος. οἱ 100
δὲ ᾖδον ᾠδήν, ὁποῖος ὁ παιὰν ὁ τοῦ Σοφοκλέους, ὃν Ἀθήνησι τῷ Ἀσκληπιῷ ᾄδουσιν. ἐπεὶ δὲ ἐς τὴν γῆν κατῆραν, καλέσας ὁ Ἰάρχας τὸ μειράκιον τὸ τὴν ἄγκυραν φέρον ,,ἐπιμελήθητι" ἔφη ,,τῶν Ἀπολλωνίου ἑταίρων." ὁ δὲ πολλῷ θᾶττον ἢ οἱ ταχεῖς τῶν ὀρνίθων πορευθείς τε καὶ ἐπανελθὼν ,,ἐπιμεμέλημαι" ἔφη. θεραπεύσαντες οὖν τὰ πολλὰ τῶν ἱερῶν

ἀνεπαύοντο ἐν τοῖς θάκοις, ὁ δὲ Ἰάρχας πρὸς τὸ μειράκιον „ἔκφερε“ εἶπε „τῷ σοφῷ Ἀπολλωνίῳ τὸν Φραώτου θρόνον, ἵν' ἐπ' αὐτοῦ διαλέγοιτο.“ ὡς δὲ XVIII
ἐκάθισεν „ἐρώτα,“ ἔφη „ὅ τι βούλει, παρ' ἄνδρας γὰρ ἥκεις πάντα εἰδότας.“ ἤρετο οὖν ὁ Ἀπολλώνιος, εἰ καὶ αὑτοὺς ἴσασιν, οἰόμενος αὐτόν, ὥσπερ Ἕλληνες, χαλεπὸν ἡγεῖσθαι τὸ ἑαυτὸν γνῶναι, ὁ δὲ ἐπιστρέψας παρὰ τὴν τοῦ Ἀπολλωνίου δόξαν „ἡμεῖς“ ἔφη „πάντα γιγνώσκομεν, ἐπειδὴ πρώτους ἑαυτοὺς γιγνώσκομεν, οὐ γὰρ ἂν προσέλθοι τις ἡμῶν τῇ φιλοσοφίᾳ ταύτῃ μὴ πρῶτον εἰδὼς ἑαυτόν.“ ὁ δὲ Ἀπολλώνιος ἀναμνησθεὶς ὧν τοῦ Φραώτου ἤκουσε 51
καὶ ὅπως ὁ φιλοσοφήσειν μέλλων ἑαυτὸν βασανίσας ἐπιχειρεῖ, τούτῳ ξυνεχώρησε τῷ λόγῳ, τουτὶ γὰρ καὶ περὶ ἑαυτοῦ ἐπέπειστο. πάλιν οὖν ἤρετο, τίνας αὑτοὺς ἡγοῖντο, ὁ δὲ „θεοὺς“ εἶπεν, ἐπερομένου δὲ αὐτοῦ, διὰ τί, „ὅτι“ ἔφη „ἀγαθοί ἐσμεν ἄνθρωποι.“ τοῦτο τῷ Ἀπολλωνίῳ τοσαύτης ἔδοξεν εὐπαιδευσίας εἶναι μεστόν, ὡς εἰπεῖν αὐτὸ καὶ πρὸς Δομετιανὸν ὕστερον ἐν τοῖς ὑπὲρ ἑαυτοῦ λόγοις. ἀναλαβὼν οὖν XIX
τὴν ἐρώτησιν „περὶ ψυχῆς δὲ“ εἶπε „πῶς φρονεῖτε;“ „ὥς γε“ εἶπε „Πυθαγόρας μὲν ὑμῖν, ἡμεῖς
110 δὲ Αἰγυπτίοις παρεδώκαμεν.“ „εἴποις ἂν οὖν,“ ἔφη „καθάπερ ὁ Πυθαγόρας Εὔφορβον ἑαυτὸν ἀπέφηνεν, ὅτι καὶ σύ, πρὶν ἐς τοῦθ' ἥκειν τὸ σῶμα, Τρώων τις ἢ Ἀχαιῶν ἦσθα ἢ ὁ δεῖνα;“ ὁ δὲ Ἰνδὸς „Τροία μὲν ἀπώλετο“ εἶπεν „ὑπὸ τῶν πλευσάντων Ἀχαιῶν τότε, ὑμᾶς δὲ ἀπολωλέκασιν οἱ ἐπ' αὐτῇ λόγοι· μόνους γὰρ ἄνδρας ἡγούμενοι τοὺς ἐς Τροίαν στρατεύσαντας ἀμελεῖτε πλειόνων τε καὶ θειοτέρων ἀνδρῶν, οὓς ἥ τε ὑμετέρα γῆ καὶ ἡ Αἰγυπτίων καὶ ἡ Ἰνδῶν ἤνεγκεν. ἐπεὶ τοίνυν ἤρου με περὶ τοῦ

προτέρου σώματος, εἰπέ μοι, τίνα θαυμασιώτερον ἡγῇ τῶν ἐπὶ Τροίαν τε καὶ ὑπὲρ Τροίας ἐλθόντων;“ „ἐγὼ“ ἔφη „Ἀχιλλέα τὸν Πηλέως τε καὶ Θέτιδος, οὗτος γὰρ δὴ κάλλιστός τε εἶναι τῷ Ὁμήρῳ ὕμνηται καὶ παρὰ πάντας τοὺς Ἀχαιοὺς μέγας ἔργα τε αὐτοῦ μεγάλα οἶδε. καὶ μεγάλων ἀξιοῖ τοὺς Αἴαντάς τε καὶ Νιρέας, οἳ μετ᾽ ἐκεῖνον καλοί τε αὐτῷ καὶ γενναῖοι ᾄδονται.“ „πρὸς τοῦτον,“ ἔφη „Ἀπολλώνιε, καὶ τὸν πρόγονον θεώρει τὸν ἐμόν, μᾶλλον δὲ τὸ πρόγονον σῶμα, τουτὶ γὰρ καὶ Πυθαγόρας Εὔφορβον ἡγεῖτο.

XX ἦν τοίνυν“ ἔφη „χρόνος, ὅτ᾽ Αἰθίοπες μὲν ᾤκουν ἐνταῦθα, γένος Ἰνδικόν, Αἰθιοπία δ᾽ οὔπω ἦν, ἀλλ᾽ ὑπὲρ Μερόην τε καὶ Καταδούπους ὥριστο Αἴγυπτος, αὐτὴ καὶ τὰς πηγὰς τοῦ Νείλου παρεχομένη καὶ ταῖς ἐκβολαῖς ξυναπολήγουσα. ὃν μὲν δὴ χρόνον ᾤκουν ἐνταῦθα οἱ Αἰθίοπες ὑποκείμενοι βασιλεῖ Γάγγῃ, ἥ τε γῆ αὐτοὺς ἱκανῶς ἔφερβε 111 καὶ οἱ θεοὶ σφῶν ἐπεμελοῦντο, ἐπεὶ δὲ ἀπέκτειναν τὸν βασιλέα τοῦτον, οὔτε τοῖς ἄλλοις Ἰνδοῖς καθαροὶ ἔδοξαν, οὔτε ἡ γῆ ξυνεχώρει αὐτοῖς ἵστασθαι, τήν τε γὰρ σποράν, ἣν ἐς αὐτὴν ἐποιοῦντο, πρὶν ἐς κάλυκα ἥκειν, ἔφθειρε τούς τε τῶν γυναικῶν τόκους ἀτελεῖς ἐποίει καὶ τὰς ἀγέλας πονήρως ἔβοσκε, πόλιν τε ὅποι βάλοιντο, ὑπεδίδου ἡ γῆ καὶ ὑπεχώρει κάτω. καὶ γάρ τι καὶ φάσμα τοῦ Γάγγου προϊόντας αὐτοὺς ἤλαυνεν ἐνταραττόμενον τῷ ὁμίλῳ, ὃ οὐ πρότερον ἀνῆκε, πρίν γε δὴ τοὺς αὐθέντας καὶ τοὺς τὸ αἷμα χερσὶ πράξαντας τῇ γῇ καθιέρευσαν. ἦν δὲ ἄρα ὁ Γάγγης οὗτος δεκάπηχυς μὲν τὸ μῆκος, τὴν δὲ ὥραν οἷος οὔπω τις ἀνθρώπων, ποταμοῦ δὲ Γάγγου παῖς· τὸν δὲ πατέρα τὸν ἑαυτοῦ τὴν Ἰνδικὴν ἐπικλύζοντα αὐτὸς ἐς τὴν Ἐρυθρὰν ἔτρεψε καὶ διήλλαξεν αὐτὸν

τῇ γῇ, ὅθεν ἡ γῆ ζῶντι μὲν ἄφθονα ἔφερεν, ἀπο-
θανόντι δὲ ἐτιμώρει. ἐπεὶ δὲ τὸν Ἀχιλλέα Ὅμηρος
ἄγει μὲν ὑπὲρ Ἑλένης ἐς Τροίαν, φησὶ δὲ αὐτὸν δώ-
δεκα μὲν πόλεις ἐκ θαλάττης ᾑρηκέναι, πεζῇ δὲ ἕν-
δεκα, γυναῖκά τε ὑπὸ τοῦ βασιλέως ἀφαιρεθέντα ἐς
μῆνιν ἀπενεχθῆναι, ὅτε δὴ ἀτεράμονα καὶ ὠμὸν
δόξαι, σκεψώμεθα τὸν Ἰνδὸν πρὸς ταῦτα· πόλεων
μὲν τοίνυν ἑξήκοντα οἰκιστὴς ἐγένετο, αἵπερ εἰσὶ
δοκιμώτατοι τῶν τῇδε — τὸ δὲ πορθεῖν πόλεις ὅστις 52
εὐκλεέστερον ἡγεῖται τοῦ ἀνοικίζειν πόλιν οὐκ ἔστι
— Σκύθας δὲ τοὺς ὑπὲρ Καύκασόν ποτε στρατεύ-
σαντας ἐπὶ τήνδε τὴν γῆν ἀπεώσατο. τὸ δὲ ἐλευθε-
ροῦντα τὴν ἑαυτοῦ γῆν ἄνδρα ἀγαθὸν φαίνεσθαι
πολλῷ βέλτιον τοῦ δουλείαν ἐπάγειν πόλει καὶ ταῦθ᾽
ὑπὲρ γυναικός, ἣν εἰκὸς μηδὲ ἄκουσαν ἡρπάσθαι.
ξυμμαχίας δὲ αὐτῷ γενομένης πρὸς τὸν ἄρχοντα τῆς
χώρας, ἧς νῦν Φραώτης ἄρχει, κἀκείνου παρανομώ-
τατά τε καὶ ἀσελγέστατα γυναῖκα ἀφελομένου αὐτὸν
οὐ παρέλυσε τοὺς ὅρκους, οὕτω βεβαίως ὀμωμοκέναι
112 φήσας, ὡς μηδὲ ὁπότε ἠδικεῖτο λυπεῖν αὐτόν. καὶ XXI
πλείω διῄειν ἂν τοῦ ἀνδρός, εἰ μὴ ἐς ἔπαινον ὤκνουν 21
ἑαυτοῦ καθίστασθαι, εἰμὶ γάρ σοι ἐκεῖνος, τουτὶ
δὲ ἐδήλωσα γεγονὼς ἔτη τέτταρα· ἑπτὰ γάρ ποτε
ἀδαμάντινα τοῦ Γάγγου τούτου ξίφη ἐς γῆν πήξαν-
τος ὑπὲρ τοῦ μηδὲν δεῖμα ἐμπελάζειν τῇ χώρᾳ καὶ
τῶν θεῶν θύειν μὲν κελευόντων ἥκοντας, οὗ πέπηγε
ταῦτα, τὸ δὲ χωρίον οὐκ ἐξηγουμένων, ἐν ᾧ ἐπεπή-
γει, παῖς ἐγὼ κομιδῇ τυγχάνων ἤγαγον τοὺς ἐξηγη-
τὰς ἐπὶ τάφρον καὶ ὀρύττειν προσέταξα ἐκεῖ φήσας
κατατεθεῖσθαι αὐτά. καὶ μήπω θαυμάσῃς τοὐμόν, XXII
εἰ ἐξ Ἰνδοῦ ἐς Ἰνδὸν διεδόθην· οὗτος γὰρ“ δείξας 22
τι μειράκιον εἴκοσί που γεγονὸς ἔτη „πέφυκε μὲν

πρὸς φιλοσοφίαν ὑπὲρ πάντας ἀνθρώπους, ἔρρωται δέ, ὡς ὁρᾷς, καὶ κατεσκεύασται γενναίως τὸ σῶμα, καρτερεῖ δὲ πῦρ καὶ τομὴν πᾶσαν, καὶ τοιόσδε ὢν ἀπεχθάνεται τῇ φιλοσοφίᾳ.“ „τί οὖν,“ εἶπεν „ὦ Ἰάρχα, τὸ μειρακίου πάθος; δεινὸν γὰρ λέγεις, εἰ ξυντεταγμένος οὕτως ὑπὸ τῆς φύσεως μὴ ἀσπάζεται τὴν φιλοσοφίαν, μηδὲ ἐρᾷ τοῦ μανθάνειν καὶ ταῦτα ὑμῖν ξυνών.“ „οὐ ξύνεστιν,“ εἶπεν „ἀλλ᾽ ὥσπερ οἱ λέοντες, ἄκων εἴληπται, καὶ καθεῖρκται μέν, ὑποβλέπει δὲ ἡμῶν τιθασευόντων αὐτὸν καὶ καταψώντων. γέγονε μὲν οὖν τὸ μειράκιον τοῦτο Παλαμήδης ὁ ἐν Τροίᾳ, κέχρηται δὲ ἐναντιωτάτοις Ὀδυσσεῖ καὶ Ὁμήρῳ, τῷ μὲν ξυνθέντι ἐπ᾽ αὐτὸν τέχνας, ὑφ᾽ 115 ὧν κατελιθώθη, τῷ δὲ οὐδὲ ἔπους αὐτὸν ἀξιώσαντι. καὶ ἐπειδὴ μήθ᾽ ἡ σοφία αὐτόν τι, ἣν εἶχεν, ὤνησε, μήτε Ὁμήρου ἐπαινέτου ἔτυχεν, ὑφ᾽ οὗ πολλοὶ καὶ τῶν μὴ πάνυ σπουδαίων ἐς ὄνομα ἤχθησαν, Ὀδυσσέως τε ἥττητο ἀδικῶν οὐδέν, διαβέβληται πρὸς φιλοσοφίαν καὶ ὀλοφύρεται τὸ ἑαυτοῦ πάθος. ἔστι δὲ οὗτος Παλαμήδης, ὃς καὶ γράφει μὴ μαθὼν γράμματα.“

XXIII Τοιαῦτα διαλεγομένων προσελθὼν τῷ Ἰάρχᾳ ἄγγελος „ὁ βασιλεὺς“ ἔφη „περὶ δείλην πρώτην ἀφίξεται ξυνεσόμενος ὑμῖν περὶ τῶν ἑαυτοῦ πραγμάτων.“ ὁ δὲ „ἡκέτω,“ εἶπε „καὶ γὰρ ἂν καὶ βελτίων ἀπέλθοι γνοὺς ἄνδρα Ἕλληνα.“ καὶ εἰπὼν ταῦτα πάλιν τοῦ προτέρου λόγου εἴχετο. ἤρετο οὖν τὸν Ἀπολλώνιον „σὺ δ᾽ ἂν εἴποις“ ἔφη „τὸ πρῶτον σῶμα καὶ ὅστις πρὸ τοῦ νῦν ἦσθα;“ ὁ δὲ εἶπεν „ἐπειδὴ ἄδοξον ἦν μοι ἐκεῖνο, ὀλίγα αὐτοῦ μέμνημαι.“ ὑπολαβὼν οὖν ὁ Ἰάρχας „εἶτα ἄδοξον“ ἔφη „ἡγῇ τὸ γενέσθαι κυβερνήτης Αἰγυπτίας νεώς;

τουτὶ γάρ σε ὁρῶ γεγονότα.“ „ἀληθῆ μὲν“ εἶπεν
„λέγεις, ὦ Ἰάρχα, τουτὶ γὰρ ἀτεχνῶς ἐγενόμην,
ἡγοῦμαι δ᾽ αὐτὸ οὐκ ἄδοξον μόνον, ἀλλὰ καὶ κατα-
βεβλημένον, καὶ τοσούτου μὲν ἄξιον τοῖς ἀνθρώποις,
ὅσου περ τὸ ἄρχειν καὶ τὸ στρατοῦ ἡγεῖσθαι, κακῶς
δὲ ἀκοῦον ὑπὸ τῶν καθαπτομένων τῆς θαλάττης.
τὸ γοῦν γενναιότατον τῶν ἐμοὶ πραχθέντων οὐδὲ
ἐπαίνου τις ἠξίωσε τότε.“ „τί δὲ δὴ γενναῖον εἰργά-
σθαι φήσεις ἢ τὸ περιβεβληκέναι Μαλέαν τε καὶ 53
114 Σούνιον χαλινώσας ἐκφερομένην τὴν ναῦν, καὶ τὸ
κατὰ πρύμναν τε καὶ πρῷραν τῶν ἀνέμων, ὁπόθεν
ἐκδοθήσονται, σαφῶς διεγνωκέναι ἑρμάτων τε ὑπερ-
ᾶραι τὸ σκάφος ἐν Εὐβοίᾳ κοίλῃ, οὗπερ πολλὰ τῶν
ἀκρωτηρίων ἀναπέπηγεν;“ ὁ δὲ Ἀπολλώνιος „ἐπεί XXIV
με“ εἶπεν „ἐς κυβερνητικὸν ἐμβιβάζεις λόγον, ἄκουε,
ὃ δοκῶ μοι τότε ὑγιῶς πρᾶξαι· τὴν θάλατταν ποτε
τῶν Φοινίκων λῃσταὶ ὑπεκάθηντο καὶ ἐφοίτων περὶ
τὰς πόλεις ἀναμανθάνοντες τίς τί ἄγοι. κατιδόντες
οὖν ἐμπορίαν λαμπρὰν τῆς νεὼς οἱ τῶν λῃστῶν
πρόξενοι διελέγοντό μοι ἀπολαβόντες με, πόσον τι
μεθέξοιμι τοῦ ναύλου, ἐγὼ δὲ χιλίων ἔφην, ἐπειδὴ
τέτταρες ἐκυβέρνων τὴν ναῦν. „οἰκία δὲ“ ἔφασαν
„ἔστι σοι;“ „καλύβη πονηρὰ“ ἔφην „περὶ τὴν νῆσον
τὴν Φάρον, οὗ πάλαι ποτὲ ὁ Πρωτεὺς ᾤκει.“ „βού-
λοιο ἂν οὖν“ ἤροντό με „γενέσθαι σοι γῆν μὲν ἀντὶ
θαλάττης, οἰκίαν δὲ ἀντὶ τῆς καλύβης, τὸ δὲ ναῦ-
λον δεκάκις τοῦτο κακῶν τε ἐξελθεῖν μυρίων, ἃ ἀπὸ
τῆς θαλάττης ἀνοιδούσης ἐγχρίπτει τοῖς κυβερνῶ-
σιν;“ βούλεσθαι μὲν εἶπον, οὐ μὴν ἁρπαγῶν γε
ἐμαυτὸν ἀξιοῦν, ὁπότε σοφώτερος ἐμαυτοῦ γέγονα
καὶ στεφάνων ἠξίωμαι παρὰ τῆς τέχνης. προ[illegible]
δ᾽ αὐτῶν καὶ βαλάντιά μοι δραχμῶν μυρίων δ[illegible]

φασκόντων, εἰ γενοίμην αὐτοῖς, ὃ ἐβούλοντο, λέγειν ἤδη παρεκελευσάμην ὡς μηδὲν ἐλλείψων τοῦ πᾶς ἀνὴρ γενέσθαι σφίσι· λέγουσι δὴ μελεδωνοὶ μὲν εἶναι λῃστῶν, δεῖσθαι δέ μου μὴ ἀφελέσθαι αὐτοὺς τὸ τὴν ναῦν ἑλεῖν, μηδὲ ἐς ἄστυ ἐκπλεῦσαι, ὁπότε ἐκεῖθεν ἄραιμι, ἀλλ' ὑφορμίσασθαι τῷ ἀκρωτηρίῳ, τὰς ναῦς γὰρ τὰς λῃστρικὰς ἐν περιβολῇ ἑστάναι, καὶ ὀμνύναι μοι ἐβούλοντο μήτ' αὐτόν με ἀποκτενεῖν καὶ ἀνήσειν δὲ τὸν θάνατον οἷς ἂν ἐγὼ παραιτῶμαι. ἐγὼ δὲ νουθετεῖν μὲν αὐτοὺς οὐκ ἀσφαλὲς ἐμαυτῷ ἡγούμην δείσας μὴ ἀπογνόντες ἐμβάλωσι μετεώρῳ τῇ νηὶ καὶ ἀπολώμεθά που τοῦ πελάγους, ὡς δὲ ὑπουργῆσαι (ὑπεσχόμην), ἃ ἐβούλοντο, ὀμνύναι ἔφην αὐτοὺς δεῖν ἦ μὴν ἀληθεύσειν ταῦτα. 111
ὀμοσάντων τοίνυν, καὶ γὰρ ἐν ἱερῷ διελέγοντο, „χωρεῖτε“ ἔφην „ἐπὶ τὰ τῶν λῃστῶν πλοῖα, ἡμεῖς γὰρ νύκτωρ ἀφήσομεν.“ καὶ πιθανώτερος ἐδόκουν ἔτι περὶ τοῦ νομίσματος διαλεγόμενος, ὡς δόκιμον ἀπαριθμηθείη μοι καὶ μὴ πρότερον ἢ τὴν ναῦν ἕλωσιν. οἱ μὲν δὴ ἐχώρουν, ἐγὼ δὲ ἧκα ἐς τὸ πέλαγος ὑπεράρας τοῦ ἀκρωτηρίου.“ „ταῦτ' οὖν,“ εἶπεν ὁ Ἰάρχας „Ἀπολλώνιε, δικαιοσύνης ἡγῇ ἔργα;“ „καὶ πρός γε“ ἔφη „φιλανθρωπίας, τὸ γὰρ μὴ ἀποδόσθαι ψυχὰς ἀνθρώπων, μηδ' ἀπεμπολῆσαι τὰ τῶν ἐμπόρων, χρημάτων τε κρείττω γενέσθαι ναύτην ὄντα πολλὰς
XXV ἀρετὰς οἶμαι ξυνειληφέναι.“ γελάσας οὖν ὁ Ἰνδὸς „ἔοικας“ ἔφη „τὸ μὴ ἀδικεῖν δικαιοσύνην ἡγεῖσθαι, τουτὶ δὲ οἶμαι καὶ πάντας Ἕλληνας· ὡς γὰρ ἐγώ ποτε Αἰγυπτίων δεῦρο ἀφικομένων ἤκουσα, φοιτῶσι μὲν ὑμῖν ἀπὸ τῆς Ῥώμης ἡγεμόνες γυμνὸν ἠρμένοι τὸν πέλεκυν ἐφ' ὑμᾶς, οὔπω γιγνώσκοντες, εἰ φαύλων ἄρξουσιν, ὑμεῖς δέ, εἰ μὴ πωλοῖεν τὰς δίκας

οὗτοι, φατὲ αὐτοὺς δικαίους εἶναι. τουτὶ δὲ καὶ τοὺς τῶν ἀνδραπόδων καπήλους ἀκούω ἐκεῖ πράττειν, εἰ γὰρ ἀφίκοιντο κατάγοντες ὑμῖν ἀνδράποδα Καρικὰ καὶ τὸ ἦθος αὐτῶν ἐφερμηνεύοιεν ὑμῖν, ἔπαινον ποιοῦνται τῶν ἀνδραπόδων τὸ μὴ κλέπτειν αὐτά. τοὺς μὲν δὴ ἄρχοντας, οἷς ὑποκεῖσθαί φατε, τοιούτων ἀξιοῦτε, καὶ λαμπρύνοντες αὐτοὺς ἐπαίνοις, οἷς περ τὰ ἀνδράποδα, ζηλωτοὺς πέμπετε, ὡς οἴεσθε, 54
οἱ δέ γε σοφώτατοι ποιηταὶ ὑμῶν οὐδ' εἰ βούλεσθε δίκαιοί τε καὶ χρηστοὶ εἶναι, ξυγχωροῦσιν ὑμῖν γενέσθαι. τὸν γὰρ Μίνω τὸν ὠμότητι ὑπερβαλόμενον πάντας καὶ δουλωσάμενον ταῖς ναυσὶ τοὺς ἐπὶ θαλάττῃ τε καὶ ἐν θαλάττῃ δικαιοσύνης σκήπτρῳ τιμῶντες ἐν Ἅιδου καθίζουσι διαιτᾶν ταῖς ψυχαῖς, τὸν δ'
116 αὖ Τάνταλον, ἐπειδὴ χρηστός τε ἦν καὶ τοῖς φίλοις τῆς ὑπαρχούσης αὐτῷ παρὰ τῶν θεῶν ἀθανασίας μετεδίδου, ποτοῦ τε εἴργουσι καὶ σίτου, εἰσὶ δὲ οἳ καὶ λίθους αὐτῷ ἐπικρεμάσαντες δεινὰ ἐφυβρίζουσι θείῳ τε καὶ ἀγαθῷ ἀνδρί, οὓς ἐβουλόμην ἂν μᾶλλον λίμνην αὐτῷ περιβλύσαι νέκταρος, ἐπειδὴ φιλανθρώπως αὐτοῦ καὶ ἀφθόνως προὔπινε." καὶ ἅμα λέγων ταῦτα ἐπεδείκνυ ἄγαλμα ἐν ἀριστερᾷ, ᾧ ἐπεγέγραπτο ΤΑΝΤΑΛΟΣ. τὸ μὲν δὴ ἄγαλμα τετράπηχυ ἦν, ἀνδρὶ δὲ ἐῴκει πεντηκοντούτῃ καὶ τρόπον Ἀργολικὸν ἔσταλτο, παρήλλαττε δὲ τὴν χλαμύδα, ὥσπερ οἱ Θετταλοί, φιάλην τε προὔπινεν ἀποχρῶσαν ἑνὶ διψῶντι, ἐν ᾗ στάλαγμα ἐκάχλαζεν ἀκηράτου πώματος οὐχ ὑπερβλύζον τῆς φιάλης. ὅ τι μὲν οὖν ἡγοῦνται αὐτὸ καὶ ἐφ' ὅτῳ ἀπ' αὐτοῦ πίνουσι, δηλώσω αὐτίκα. πλὴν ἀλλὰ ἡγεῖσθαι χρὴ τὸν Τάνταλον μὴ τῇ γλώττῃ ἐφέντα, κοινωνήσαντα δὲ ἀνθρώποις τοῦ νέκταρος ὑπὸ τῶν ποιητῶν ἐλαύνεσθαι, θεοῖς δὲ μὴ

διαβεβλῆσθαι αὐτόν, οὐ γὰρ ἄν, εἰ θεοῖς ἀπήχθετο, κριθῆναί ποτε ὑπὸ τῶν Ἰνδῶν ἀγαθὸν θεοφιλεστάτων ὄντων καὶ μηδὲν ἔξω τοῦ θείου πραττόντων.

XXVI Διατρίβοντας δὲ αὐτοὺς περὶ τὸν λόγον τοῦτον θόρυβος ἐκ τῆς κώμης προσέβαλεν, ἀφῖκτο δὲ ἄρα ὁ βασιλεὺς μηδικώτερον κατεσκευασμένος καὶ ὄγκου μεστός. ἀχθεσθεὶς οὖν ὁ Ἰάρχας „εἰ δὲ Φραώτης“ ἔφη „καταλύων ἐτύγχανεν, εἶδες ἂν ὥσπερ ἐν μυστηρίῳ σιωπῆς μεστὰ πάντα.“ ἐκ τούτου μὲν δὴ ξυνῆκεν ὁ Ἀπολλώνιος, ὡς βασιλεὺς ἐκεῖνος οὐκ ὀλίγῳ μέρει, φιλοσοφίᾳ δὲ πάσῃ τοῦ Φραώτου λείποιτο, ῥᾳθύμους δὲ ἰδὼν τοὺς σοφοὺς καὶ μηδὲν παρασκευάζοντας, ὧν δεῖ τῷ βασιλεῖ μετὰ μεσημ- 117
βρίαν ἥκοντι „ποῖ“ ἔφη „ὁ βασιλεὺς διαιτήσεται;“ „ἐνταῦθα,“ ἔφασαν, „ὧν γὰρ ἕνεκα ἥκει, νύκτωρ διαλεγόμεθα, ἐπειδὴ καὶ βελτίων ὁ καιρὸς πρὸς βουλάς.“ „καὶ τράπεζα“ ἔφη „παρακείσεται ἥκοντι;“ „νὴ Δί᾽,“ εἶπον „παχεῖά τε καὶ πάντα ἔχουσα, ὁπόσα ἐνταῦθα.“ „παχέως οὖν“ ἔφη „διαιτᾶσθε;“ „ἡμεῖς μὲν“ ἔφασαν „λεπτῶς, πλείονα γὰρ ἡμῖν ἐξὸν σιτίζεσθαι μικροῖς χαίρομεν, τῷ δὲ βασιλεῖ πολλῶν δεῖ, βούλεται γάρ. σιτήσεται δὲ ἔμψυχον μὲν οὐδέν, οὐ γὰρ θέμις ἐνταῦθα, τραγήματα δὲ καὶ ῥίζας καὶ ὡραῖα, ὁπόσα νῦν ἡ Ἰνδικὴ ἔχει ὁπόσα τε αἱ ἐς
XXVII νέωτα ὧραι δώσουσιν. ἀλλ᾽ ἰδοὺ“ ἔφη „οὗτος.“ προῄει δὲ ἄρα ὁ βασιλεὺς ἀδελφῷ τε καὶ υἱῷ ἅμα χρυσῷ τε ἀστράπτων καὶ ψήφοις. ὑπανισταμένου δὲ τοῦ Ἀπολλωνίου, κατεῖχεν αὐτὸν ὁ Ἰάρχας ἐν τῷ θρόνῳ, μηδὲ γὰρ αὐτοῖς πάτριον εἶναι τοῦτο. τούτοις ὁ Δάμις αὐτὸς μὲν οὔ φησι παρατυχεῖν διὰ τὸ τὴν ἡμέραν ἐκείνην ἐν τῇ κώμῃ διαιτᾶσθαι, Ἀπολλωνίου δὲ ἀκηκοὼς ἐγγράψαι αὐτὰ ἐς τὸν αὑτοῦ

λόγον. φησὶ τοίνυν καθημένοις μὲν αὐτοῖς τὸν βασιλέα προτείνοντα τὴν χεῖρα οἷον εὔχεσθαι τοῖς ἀνδράσι, τοὺς δὲ ἐπινεύειν, ὥσπερ ξυντιθεμένους οἷς ᾔτει, τὸν δὲ ὑπερήδεσθαι τῇ ἐπαγγελίᾳ, καθάπερ ἐς θεοῦ ἥκοντα. τὸν δὲ ἀδελφὸν τοῦ βασιλέως καὶ τὸν υἱὸν κάλλιστον μειράκιον ὄντα μηδὲν ὁρᾶσθαι βέλτιον ἢ εἰ ἀνδράποδα τουτωνὶ τῶν ἀκολούθων ἦσαν.
μετὰ ταῦτα ἐξαναστῆναι τὸν Ἰνδὸν καὶ φωνὴν ἱέντα 55
κελεύειν αὐτὸν σίτου ἅπτεσθαι, προσδεξαμένου δ' αὐτοῦ καὶ τοῦτο μάλιστα ἀσμένως τρίποδες μὲν ἐξεπορεύθησαν Πυθικοὶ τέτταρες αὐτόματοι, καθάπερ
118 οἱ Ὁμήρειοι προϊόντες, οἰνοχόοι δ' ὑπ' αὐτοῖς χαλκοῦ μέλανος, οἷοι παρ' Ἕλλησιν οἱ Γανυμήδεις τε καὶ οἱ Πέλοπες. ἡ γῆ δὲ ὑπεστόρνυ πόας μαλακωτέρας ἢ αἱ εὐναί. τραγήματα δὲ καὶ ἄρτοι καὶ λάχανα καὶ τρωκτὰ ὡραῖα, πάντα ἐν κόσμῳ ἐφοίτα διακείμενα ἥδιον ἢ εἰ ὀψοποιοὶ αὐτὰ παρεσκεύαζον, τῶν δὲ τριπόδων οἱ μὲν δύο οἴνου ἐπέρρεον, τοῖν δυοῖν δὲ ὁ μὲν ὕδατος θερμοῦ κρήνην παρεῖχεν, ὁ δὲ αὖ ψυχροῦ. αἱ δ' ἐξ Ἰνδῶν φοιτῶσαι λίθοι παρ' Ἕλλησι μὲν ἐς ὅρμους τε καὶ δακτυλίους ἐμβιβάζονται διὰ σμικρότητα, παρὰ δὲ Ἰνδοῖς οἰνοχόαι τε ψυκτῆρές τε γίγνονται διὰ μέγεθος καὶ κρατῆρες ἡλίκοι ἐμπλῆσαι τέτταρας ὥρᾳ ἔτους διψῶντας. τοὺς δὲ οἰνοχόους τοὺς χαλκοῦς ἀρύεσθαι μέν φησι ξυμμέτρως τοῦ τε οἴνου καὶ τοῦ ὕδατος, περιελαύνειν δὲ τὰς κύλικας, ὥσπερ ἐν τοῖς πότοις. κατακεῖσθαι δὲ αὐτοὺς ὡς ἐν ξυσσιτίῳ μέν, οὐ μὴν πρόκριτόν γε τὸν βασιλέα, τοῦτο δὴ τὸ παρ' Ἕλλησί τε καὶ Ῥωμαίοις πολλοῦ ἄξιον, ἀλλ' ὡς ἔτυχέ γε, οὗ ἕκαστος ὥρμησεν.

Ἐπεὶ δὲ προήει ὁ πότος „προπίνω σοι," ὁ Ἰάρ- XXVIII

χας εἶπεν „ὦ βασιλεῦ, ἄνδρα Ἕλληνα τὸν Ἀπολλώ-
νιον ὑποκεκλιμένον αὐτῷ δείξας καὶ τῇ χειρὶ προση-
μαίνων, ὅτι γενναῖός τε εἴη καὶ θεῖος. ὁ δὲ βασι-
λεὺς „ἤκουσα“ ἔφη „προσήκειν Φραώτῃ τοῦτόν τε
καὶ τοὺς ἐν τῇ κώμῃ καταλύοντας.“ „ὀρθῶς“ ἔφη
„καὶ ἀληθῶς ἤκουσας, ἐκεῖνος γὰρ κἀνταῦθα ξενίζει
αὐτόν.“ „τί“ ἔφη „ἐπιτηδεύοντα;“ „τί δ᾽ ἄλλο
γε“ εἶπεν „ἢ ἅπερ ἐκεῖνος;“ „οὐδὲν“ ἔφη „ξένον
εἴρηκας ἀσπαζόμενον ἐπιτήδευσιν, ἣ μηδὲ ἐκείνῳ
ξυνεχώρησε γενναίῳ γενέσθαι.“ ὁ μὲν δὴ Ἰάρχας
„σωφρονέστερον,“ ἔφη „ὦ βασιλεῦ, περὶ φιλοσοφίας
τε καὶ Φραώτου γίγνωσκε, τὸν μὲν γὰρ χρόνον, ὃν
μειράκιον ἦσθα, ξυνεχώρει σοι ἡ νεότης τὰ τοιαῦτα,
ἐπεὶ δὲ ἐς ἄνδρας ἐξαλλάττεις ἤδη, φειδώμεθα τῶν
ἀνοήτων τε καὶ εὐκόλων.“ ὁ δὲ Ἀπολλώνιος ἑρμη- 110
νεύοντος τοῦ Ἰάρχα „σοὶ δὲ τί,“ ἔφη „ὦ βασιλεῦ,
τὸ μὴ φιλοσοφῆσαι δέδωκεν;“ „ἐμοὶ δὲ ἀρετὴν πᾶ-
σαν καὶ τὸ εἶναί με τὸν αὐτὸν τῷ Ἡλίῳ.“ ὁ δὲ ἐπι-
στομίζων αὐτοῦ τὸν τῦφον „εἰ ἐφιλοσόφεις,“ εἶπεν
„οὐκ ἂν ταῦτα ᾤου.“ „σὺ δέ, ἐπειδὴ φιλοσοφεῖς,
ὦ βέλτιστε,“ ἔφη „τί περὶ σαυτοῦ οἴει;“ „τό γε
ἀνὴρ“ ἔφη „ἀγαθὸς δοκεῖν, εἰ φιλοσοφοίην.“ ἀνα-
τείνας οὖν τὴν χεῖρα ἐς τὸν οὐρανὸν „νὴ τὸν Ἥλιον,“
ἔφη „Φραώτου μεστὸς ἥκεις.“ ὁ δὲ ἕρμαιόν γε ἐποι-
ήσατο τὸν λόγον καὶ ὑπολαβὼν „οὐ μάτην ἀποδεδή-
μηταί μοι,“ εἶπεν „εἰ Φραώτου μεστὸς γέγονα· εἰ
δὲ κἀκείνῳ νῦν ἐντύχοις, πάνυ φήσεις αὐτὸν ἐμοῦ
μεστὸν εἶναι, καὶ γράφειν δὲ ὑπὲρ ἐμοῦ πρὸς σὲ
ἐβούλετο, ἀλλ᾽ ἐπειδὴ ἔφασκεν ἄνδρα ἀγαθὸν εἶναί
σε, παρῃτησάμην τὸν ὄχλον τῆς ἐπιστολῆς, ἐπεὶ μηδὲ
XXIX ἐκείνῳ τις ὑπὲρ ἐμοῦ ἐπέστειλεν.“ ἡ μὲν δὴ πρώτη
παροινία τοῦ βασιλέως ἐνταῦθα ἔληξεν· ἀκούσας

γὰρ ἐπαινεῖσθαι αὐτὸν ὑπὸ τοῦ Φραώτου τῆς τε
ὑποψίας ἐπελάθετο καὶ ὑφεὶς τοῦ τόνου „χαῖρε,“
ἔφη „ἀγαθὲ ξένε.“ ὁ δὲ Ἀπολλώνιος „καὶ σύ, βα-
σιλεῦ,“ εἶπεν „ἔοικας γὰρ νῦν ἥκοντι.“ τίς σε ἔφη
„πρὸς ἡμᾶς ἤγαγεν;“ „οὗτοι“ εἶπεν „οἵ θεοί τε
καὶ σοφοὶ ἄνδρες.“ „περὶ ἐμοῦ δέ,“ ἔφη „ὦ ξένε,
τίς λόγος ἐν τοῖς Ἕλλησιν;“ „ὅσος γε“ εἶπε „καὶ
περὶ Ἑλλήνων ἐνταῦθα.“ „οὐδὲν,“ ἔφη „τῶν παρ’
Ἕλλησιν ἔγωγε λόγου ἀξιῶ.“ „ἀπαγγελῶ ταῦτα,“ 56
εἶπε „καὶ στεφανώσουσί σε ἐν Ὀλυμπίᾳ. καὶ προσ- XXX
κλιθεὶς τῷ Ἰάρχᾳ „τοῦτον μὲν“ ἔφη „μεθύειν ἔα, 11
σὺ δέ μοι εἰπὲ τοῦ χάριν τοὺς περὶ αὐτὸν τούτους
ἀδελφόν, ὥς φατέ, καὶ υἱὸν ὄντας οὐκ ἀξιοῦτε κοι-
νῆς τραπέζης, οὐδὲ ἄλλης τιμῆς οὐδεμιᾶς;“ „ὅτι“
ἔφη „βασιλεύσειν ποτὲ ἡγοῦνται, δεῖ δὲ αὐτοὺς ὑπερ-
ορωμένους παιδεύεσθαι τὸ μὴ ὑπερορᾶν.“ ὀκτω-
καίδεκα δὲ ὁρῶν τοὺς σοφοὺς πάλιν τὸν Ἰάρχαν
ἤρετο, τί βούλοιτο αὐτοῖς τὸ εἶναι τοσούτους; „οὔτε
γὰρ τῶν τετραγώνων ὁ ἀριθμός, οὔτε τῶν εὐδοκι-
120 μούντων τε καὶ τιμωμένων, καθάπερ ὁ τῶν δέκα
καὶ ὁ τῶν δώδεκα καὶ ὁ ἑκκαίδεκα καὶ ὁπόσοι τοι-
οίδε.“ ὑπολαβὼν οὖν ὁ Ἰνδὸς „οὔτε ἡμεῖς“ ἔφη
„ἀριθμῷ δουλεύομεν οὔτε ἀριθμὸς ἡμῖν, ἀλλ’ ἀπὸ
σοφίας τε καὶ ἀρετῆς προτιμώμεθα, καὶ ὁτὲ μὲν
πλείους τῶν νῦν ὄντων ἐσμέν, ὁτὲ δὲ ἐλάττους. τόν
τοι πάππον τὸν ἐμαυτοῦ ἀκούω καταλεχθῆναι μὲν ἐς
ἑβδομήκοντα σοφοὺς ἄνδρας νεώτατον αὐτὸν ὄντα,
προελθόντα δὲ ἐς τριάκοντα καὶ ἑκατὸν ἔτη κατα-
λειφθῆναι μόνον ἐνταῦθα τῷ μήτ’ ἐκείνων τινὰ λεί-
πεσθαι ἔτι μήτε εἶναί ποι τότε τῆς Ἰνδικῆς ἢ φιλό-
121 σοφον ἢ γενναίαν φύσιν. Αἰγυπτίων τοίνυν ἐν τοῖς
εὐδαιμονεστάτοις γραψάντων αὐτόν, ἐπειδὴ μόνος

ἐτῶν τεττάρων ἐξηγήσατο τούτου τοῦ θρόνου, παρῄνει παύσασθαι ὀνειδίζοντας Ἰνδοῖς σοφῶν ὀλιγανδρίαν. ἡμεῖς δέ, ὦ Ἀπολλώνιε, καὶ τὰ Ἠλείων πάτρια Αἰγυπτίων ἀκούοντες καὶ τοὺς Ἑλλανοδίκας, οἳ προΐστανται τῶν Ὀλυμπίων, δέκα ὄντας, οὐκ ἐπαινοῦμεν τὸν νόμον τὸν ἐπὶ τοῖς ἀνδράσι κείμενον, κλήρῳ γὰρ ξυγχωροῦσι τὴν αἵρεσιν, ὃς προνοεῖ οὐδέν, καὶ γὰρ ἂν καὶ τῶν φαυλοτέρων τις αἱρεθείη ὑπὸ τοῦ κλήρου. εἰ δέ γε ἀριστίνδην ἢ καὶ κατὰ ψῆφον ᾑροῦντο τοὺς ἄνδρας, οὐκ ἂν ἡμάρτανον; παραπλησίως· ὁ γὰρ τῶν δέκα ἀριθμὸς ἀπαραίτητος ὢν ἢ πλειόνων ὄντων ἀνδρῶν δικαίων ἀφῃρεῖτο ἂν ἐνίους τὸ ἐπὶ τούτῳ τιμᾶσθαι ἢ οὐκ ὄντων δικαίων δέκα οὐδεὶς δόξει· ὅθεν πολλῷ σοφώτερον ἐφρόνουν ἂν Ἠλεῖοι ἀριθμῷ μὲν ἄλλοτε ἄλλοι ὄντες, δικαιότητι δὲ οἱ αὐτοί.“

XXXI Ταῦτα σπουδάζοντας αὐτοὺς ὁ βασιλεὺς ἐκκρούειν ἐπειρᾶτο διείργων αὐτοὺς παντὸς λόγου καὶ ἀεί τι ἔμπληκτον καὶ ἀμαθὲς λέγων. πάλιν οὖν ἤρετο ὑπὲρ τοῦ σπουδάζοιεν, ὁ δὲ Ἀπολλώνιος „διαλεγόμεθα μὲν ὑπὲρ μεγάλων καὶ τῶν παρ' Ἕλλησιν εὐδοκιμωτάτων, σὺ δ' ἂν μικρὰ ταῦτα ἡγοῖο, φῂς γὰρ διαβεβλῆσθαι πρὸς τὰ Ἑλλήνων.“ „διαβέβλημαι μὲν ἀληθῶς,“ εἶπεν „ἀκοῦσαι δ' ὅμως βούλομαι, δοκεῖτε γάρ μοι λέγειν ὑπὲρ Ἀθηναίων τῶν Ξέρξου δούλων.“ ὁ δὲ „ὑπὲρ ἄλλων μὲν“ ἔφη „διαλεγόμεθα, ἐπεὶ δ' ἀτόπως τε καὶ ψευδῶς Ἀθηναίων ἐπεμνήσθης, ἐκεῖνό μοι εἰπέ· εἰσί σοι, βασιλεῦ, δοῦλοι;“ „δισμύριοι,“ ἔφη „καὶ οὐδὲ ἐώνημαί γε αὐτῶν οὐδένα, ἀλλ' εἰσὶν οἰκογενεῖς πάντες.“ πάλιν οὖν ἤρετο ἑρμηνεύοντος τοῦ Ἰάρχα, πότερ' αὐτὸς ἀποδιδράσκοι τοὺς αὑτοῦ δούλους ἢ οἱ δοῦλοι ἐκεῖνον,

ὁ δὲ ὑβρίζων αὐτὸν „τὸ μὲν ἐρώτημα“ ἔφη „ἀνδρα-
122 ποδῶδες, ὅμως δ' οὖν ἀποκρίνομαι τὸν ἀποδιδρά-
σκοντα δοῦλόν τε εἶναι καὶ ἄλλως κακόν, δεσπότην
δὲ οὐκ ἂν ἀποδρᾶναι τοῦτον, ὃν ἔξεστιν αὐτῷ στρε-
βλοῦν τε καὶ ξαίνειν.“ „οὐκοῦν,“ ἔφη „ὦ βασιλεῦ,
δοῦλος εἶναι Ἀθηναίων Ξέρξης ὑπὸ σοῦ ἀποπέφαν-
ται καὶ ὡς κακὸς δοῦλος ἀποδρᾶναι αὐτούς, ἡττη-
θεὶς γὰρ ὑπ' αὐτῶν τῇ ναυμαχίᾳ τῇ περὶ τὰ στενὰ
καὶ δείσας περὶ ταῖς ἐν Ἑλλησπόντῳ σχεδίαις ἐν μιᾷ
νηὶ ἔφυγε.“ „καὶ μὴν καὶ ἐνέπρησεν“ ἔφη „τὰς
Ἀθήνας ταῖς ἑαυτοῦ χερσίν.“ ὁ δὲ Ἀπολλώνιος 57
„τούτου μέν,“ εἶπεν „ὦ βασιλεῦ, τοῦ τολμήματος
ἔδωκε δίκας, ὡς οὔπω τις ἕτερος· οὓς γὰρ ἀπολω-
λεκέναι ᾤετο, τούτους ἀποδρὰς ᾤχετο. ἐγὼ δὲ καὶ
(τὰ) Ξέρξου θεωρῶν ἐπὶ μὲν τῇ διανοίᾳ, καθ' ἣν
ἐστράτευσεν, ἡγοίμην ἂν αὐτὸν ἀξίως δοξασθῆναι
ἐνίοις, ὅτι Ζεὺς εἴη, ἐπὶ δὲ τῇ φυγῇ κακοδαιμονέ-
στατον ἀνθρώπων ὑπείληφα· εἰ γὰρ ἐν χερσὶ τῶν
Ἑλλήνων ἀπέθανε, τίς μὲν ἂν λόγων λαμπροτέρων
ἠξιώθη; τῷ δ' ἂν μείζω τάφον ἐπεσημήναντο Ἕλλη-
νες; ἀγωνία δ' ἐνόπλιος καὶ ἀγωνία μουσικὴ τίς οὐκ
ἂν ἐπ' αὐτῷ ἐτέθη; εἰ γὰρ Μελικέρται καὶ Παλαί-
μονες καὶ Πέλοψ ὁ ἐπηλύτης Λυδός, οἱ μὲν ἔτι πρὸς
μαζῷ ἀποθανόντες, ὁ δὲ τὴν Ἀρκαδίαν τε καὶ τὴν
Ἀργολίδα καὶ τὴν ἐντὸς Ἰσθμοῦ δουλωσάμενος ἐς
θείαν μνήμην ὑπὸ τῶν Ἑλλήνων ἤρθησαν, τί οὐκ
ἂν ἐπὶ Ξέρξῃ ἐγένετο ὑπ' ἀνδρῶν ἀσπαζομένων τε
ἀρετὰς φύσει καὶ ἔπαινον αὐτῶν ἡγουμένων τὸ ἐπαι-
νεῖν οὓς νικῶσιν;“

Ταῦτα τοῦ Ἀπολλωνίου λέγοντος ἐς δάκρυα XXXII
ἀπήχθη ὁ βασιλεύς, καὶ „ὦ φίλτατε,“ εἶπεν „οἵους 31
ἄνδρας ἑρμηνεύεις μοι τοὺς Ἕλληνας εἶναι.“ „πόθεν

οὖν, ὦ βασιλεῦ, χαλεπῶς πρὸς αὐτοὺς εἶχες;“ „δια- 123 βάλλουσιν,“ εἶπεν „ὦ ξένε, τὸ Ἑλλήνων γένος οἱ ἐξ Αἰγύπτου φοιτῶντες ἐνταῦθα, σφᾶς μὲν αὐτοὺς ἱεροὺς τε καὶ σοφοὺς ἀποφαίνοντες καὶ νομοθέτας θυσιῶν τε καὶ τελετῶν, ὁπόσας νομίζουσιν οἱ Ἕλληνες, ἐκείνους δὲ οὐδὲν ὑγιὲς εἶναι φάσκοντες, ἀλλ' ὑβριστάς τε καὶ ξυγκλύδας καὶ ἀναρχίαν πᾶσαν καὶ μυθολόγους καὶ τερατολόγους καὶ πένητας μέν, ἐνδεικνυμένους δὲ τοῦτο οὐχ ὡς σεμνόν, ἀλλ' ὑπὲρ ξυγγνώμης τοῦ κλέπτειν, σοῦ δὲ ἀκούων ταῦτα καὶ ὅπως φιλότιμοί τε καὶ χρηστοί εἰσι, σπένδομαί τε λοιπὸν τοῖς Ἕλλησι καὶ δίδωμι αὐτοῖς ἐπαινεῖσθαί τε ὑπ' ἐμοῦ καὶ εὔχεσθαί με ὑπὲρ Ἑλλήνων ὅ τι δύναμαι καὶ τοὺς Αἰγυπτίους ὑπ' ἐμοῦ ἀπιστεῖσθαι.“ ὁ δὲ Ἰάρχας „κἀγώ,“ ἔφη „ὦ βασιλεῦ, ἐγίγνωσκον, ὅτι σοι τὰ ὦτα διέφθορεν ὑπὸ τῶν Αἰγυπτίων τούτων, διῄειν δὲ ὑπὲρ Ἑλλήνων οὐδέν, ἔστ' ἂν ξυμβόλου τοιούτου τύχῃς, ἀλλ' ἐπεὶ βελτίων γέγονας ὑπ' ἀνδρὸς σοφοῦ, νῦν μὲν ἡμῖν ἡ Ταντάλου φιλοτησία πινέσθω καὶ καθεύδωμεν δι' ἃ χρὴ νύκτωρ σπουδάσαι, λόγων δὲ Ἑλληνικῶν, πλεῖστοι δ' οὗτοι τῶν κατ' ἀνθρώπους, ἐμπλήσω σε λοιπὸν ἐγὼ χαίροντα, ὁπότε ἀφίκοιο.“ καὶ ἅμα ἐξῆρχε τοῖς ξυμπόταις πρῶτος ἐς τὴν φιάλην κύπτων, ἡ δὲ ἐπότιζεν ἱκανῶς πάντας, τὸ γὰρ νᾶμα ἀφθόνως ἐπεδίδου, καθάπερ δὴ τοῖς πηγαίοις ἀναδιδομένοις, ἔπιέ τε καὶ ὁ Ἀπολλώνιος, ὑπὲρ γὰρ φιλότητος Ἰνδοῖς τὸ ποτὸν τοῦτο εὕρηται. ποιοῦνται δὲ αὐτοῦ οἰνοχόον Τάνταλον, ἐπειδὴ φιλικώτατος ἀνθρώπων ἔδοξεν.

XXXIII Πιόντας δὲ αὐτοὺς ἐδέξατο ἡ γῆ εὐναῖς, ἃς αὐτὴ ὑπεστόρνυ. ἐπεὶ δὲ νὺξ μέση ἐγένετο, πρῶτον μὲν ἀναστάντες τὴν ἀκτῖνα μετέωροι ὕμνησαν, ὥσπερ

124 ἐν τῇ μεσημβρίᾳ, εἶτα τῷ βασιλεῖ ξυνεγένοντο,
ὁπόσα ἐδεῖτο. παρατυχεῖν μὲν οὖν τὸν Ἀπολλώνιον
οἷς ἐσπούδασεν ὁ βασιλεὺς οὔ φησιν ὁ Δάμις, οἴε-
σθαι δ' αὐτὸν περὶ τῶν τῆς ἀρχῆς ἀπορρήτων τὴν
ξυνουσίαν πεποιῆσθαι. θύσας οὖν ἅμα ἡμέρᾳ προσ-
ῆλθε τῷ Ἀπολλωνίῳ καὶ ἐκάλει ἐπὶ ξένια ἐς τὰ βα-
σίλεια, ζηλωτὸν ἀποπέμψειν φάσκων ἐς Ἕλληνας, ὁ
δὲ ἐπῄνει μὲν ταῦτα, οὐ μὴν ἐπιδώσειν γε ἑαυτὸν
ἔφασκεν ἀνδρὶ μηδὲν ὁμοίῳ, καὶ ἄλλως πλείω χρό-
νον ἀποδημῶν τοῦ εἰκότος αἰσχύνεσθαι τοὺς οἴκοι
φίλους ὑπερορᾶσθαι δοκοῦντας. ἀντιβολεῖν δὲ τοῦ 58
βασιλέως φάσκοντος καὶ ἀνελευθέρως ἤδη προσκει-
μένου „βασιλεὺς“ ἔφη „ταπεινότερον αὑτοῦ περὶ
ὧν αἰτεῖ διαλεγόμενος ἐπιβουλεύει.“ προσελθὼν
οὖν ὁ Ἰάρχας „ἀδικεῖς,“ εἶπεν „ὦ βασιλεῦ „τὸν
ἱερὸν οἶκον ἀπάγων ἐνθένδε ἄνδρα ἄκοντα, καὶ ἄλ-
λως τῶν προγιγνωσκόντων οὗτος ὢν οἶδε τὴν ξυν-
ουσίαν αὐτῷ τὴν πρὸς σὲ μὴ ἐπ' ἀγαθῷ τῷ ἑαυτοῦ
ἐσομένην, ἴσως δὲ οὐδ' αὐτῷ σοι χρηστόν τι ἕξου-
σαν.“ ὁ μὲν δὴ κατῄει ἐς τὴν κώμην, ὁ γὰρ θεσμὸς XXXIV
τῶν σοφῶν οὐ ξυνεχώρει τῷ βασιλεῖ ξυνεῖναί σφισιν
ὑπὲρ μίαν ἡμέραν, ὁ δὲ Ἰάρχας πρὸς τὸν ἄγγελον
„καὶ Δάμιν“ εἶπε „τῶν δεῦρο ἀπορρήτων ἀξιοῦμεν
καὶ ἡκέτω, τῶν δὲ ἄλλων ἐπιμελοῦ ἐν τῇ κώμῃ.“
Ὡς δὲ ἀφίκετο, ξυνιζήσαντες, ὥσπερ εἰώθεσαν, ξυν-
εχώρουν τῷ Ἀπολλωνίῳ ἐρωτᾶν, ἤρετό τε ἐκ τίνων
ξυγκεῖσθαι τὸν κόσμον ἡγοῖντο, οἱ δὲ ἔφασαν „ἐκ
στοιχείων.“ „μῶν“ ἔφη „τεττάρων;“ „οὐ τεττά-
ρων,“ ἔφη ὁ Ἰάρχας „ἀλλὰ πέντε.“ „καὶ τί ἂν“
ἔφη „πέμπτον γένοιτο παρὰ τὸ ὕδωρ τε καὶ τὸν ἀέρα
καὶ τὴν γῆν καὶ τὸ πῦρ;“ „ὁ αἰθήρ,“ εἶπεν „ὃν
125 ἡγεῖσθαι χρὴ γένεσιν θεῶν εἶναι, τὰ μὲν γὰρ τοῦ

ἀέρος ἕλκοντα θνητὰ πάντα, τὰ δὲ τοῦ αἰθέρος ἀθά-
νατά τε καὶ θεῖα.“ πάλιν ἤρετο, τί τῶν στοιχείων
πρῶτον γένοιτο, ὁ δὲ Ἰάρχας „ὁμοῦ“ ἔφη „πάντα,
τὸ γὰρ ζῷον κατὰ μέρος οὐ τίκτεται.“ „ζῷον“ ἔφη
„ἡγῶμαι τὸν κόσμον;“ „ἤν γε“ ἔφη „ὑγιῶς γιγνώ-
σκῃς, αὐτὸς γὰρ ζωογονεῖ πάντα.“ „θῆλυν“ εἶπεν
„αὐτὸν καλῶμεν ἢ τῆς ἄρσενός τε καὶ ἀντικειμένης
φύσεως;“ „ἀμφοῖν,“ ἔφη „αὐτὸς γὰρ αὑτῷ ξυγ-
γιγνόμενος τὰ μητρός τε καὶ πατρὸς ἐς τὴν ζωογονίαν
πράττει ἔρωτά τε ἑαυτοῦ ἴσχει θερμότερον ἢ ἕτερόν
τι ἑτέρου, ὃς ἁρμόττει αὐτὸν καὶ ξυνίστησιν· ἀπει-
κὸς δὲ οὐδὲν ἑαυτῷ ξυμφύεσθαι. καὶ ὥσπερ χειρῶν
τε καὶ ποδῶν ἔργον πεποίηται ἡ τοῦ ζῴου κίνησις
καὶ ὁ ἐν αὐτῷ νοῦς, ὑφ᾽ οὗ ὁρμᾷ, οὕτως ἡγώμεθα
καὶ τὰ μέρη τοῦ κόσμου διὰ τὸν ἐκείνου νοῦν ἐπι-
τήδεια παρέχειν αὑτὰ τοῖς τικτομένοις τε καὶ κυου-
μένοις πᾶσι. καὶ γὰρ τὰ πάθη τὰ ἐξ αὐχμῶν φοι-
τῶντα κατὰ τὸν ἐκείνου φοιτᾷ νοῦν, ἐπειδὰν ἐκ- 126
πεσοῦσα ἡ δίκη τῶν ἀνθρώπων ἀτίμως πράττῃ, ποι-
μαίνεταί τε χειρὶ οὐ μιᾷ τόδε τὸ ζῷον, ἀλλὰ πολλαῖς
τε καὶ ἀρρήτοις, αἷς χρῆται, ἀχαλίνωτον μὲν διὰ
XXXV μέγεθος, εὐήνιον δὲ κινεῖται καὶ εὐάγωγον. καὶ
παράδειγμα μὲν οὐκ οἶδ᾽ ὅ τι ἀρκέσει τῷ λόγῳ με-
γίστῳ τε ὄντι καὶ πρόσω ἐννοίας, ὑποκείσθω δὲ
ναῦς, οἵαν Αἰγύπτιοι ξυντιθέντες ἐς τὴν θάλατταν
τὴν ἡμεδαπὴν ἀφιᾶσιν ἀγωγίμων Ἰνδικῶν ἀντιδι-
δόντες Αἰγύπτια, θεσμοῦ γὰρ παλαιοῦ περὶ τὴν
Ἐρυθρὰν ὄντος, ὃν βασιλεὺς Ἐρύθρας ἐνόμισεν, ὅτε
τῆς θαλάττης ἐκείνης ἦρχε, μακρῷ μὲν πλοίῳ μὴ
ἐσπλεῖν ἐς αὐτὴν Αἰγυπτίους, στρογγύλῃ δ᾽ αὖ μιᾷ
νηὶ χρῆσθαι, σοφίζονται πλοῖον Αἰγύπτιοι πρὸς
πολλὰ τῶν παρ᾽ ἑτέροις καὶ παραπλευρώσαντες αὐτὸ

ἁρμονίαις, ὁπόσαι ναῦν ξυνιστᾶσι, τοίχοις τε ὑπεράραντες καὶ ἱστῷ καὶ πηξάμενοι πλείους οἰκίας, οἵας ἐπὶ τῶν σελμάτων, πολλοὶ μὲν κυβερνῆται τῆς νεὼς ταύτης ὑπὸ τῷ πρεσβυτάτῳ τε καὶ σοφωτάτῳ πλέουσι, πολλοὶ δὲ κατὰ πρῷραν ἄρχοντες ἄριστοί τε καὶ δεξιοὶ ναῦται καὶ πρὸς ἱστία πηδῶντες, ἔστι δέ τι τῆς νεὼς ταύτης καὶ ὁπλιτεῦον, πρὸς γὰρ τοὺς κολπίτας βαρβάρους, οἳ ἐν δεξιᾷ τοῦ ἔσπλου κεῖν-
127 ται, παρατάττεσθαι δεῖ τὴν ναῦν, ὅτε ληΐζοιντο αὐτὴν ἐπιπλέοντες. τοῦτο ἡγώμεθα καὶ περὶ τόνδε τὸν κόσμον εἶναι, θεωροῦντες αὐτὸν πρὸς τὸ τῆς ναυτιλίας σχῆμα, τὴν μὲν γὰρ δὴ πρώτην καὶ τελεωτάτην ἕδραν ἀποδοτέον θεῷ γενέτορι τοῦδε τοῦ ζῴου, τὴν δὲ ἐπ' ἐκείνῃ θεοῖς, οἳ τὰ μέρη αὐτοῦ κυβερνῶσι, 59
καὶ τῶν γε ποιητῶν ἀποδεχώμεθα, ἐπειδὰν πολλοὺς μὲν φάσκωσιν ἐν τῷ οὐρανῷ θεοὺς εἶναι, πολλοὺς δὲ ἐν θαλάττῃ, πολλοὺς δὲ ἐν πηγαῖς τε καὶ νάμασι, πολλοὺς δὲ περὶ γῆν, εἶναι δὲ καὶ ὑπὸ γῆν τινας. τὸν δὲ ὑπὸ γῆν τόπον, εἴπερ ἐστίν, ἐπειδὴ φρικώδη αὐτὸν καὶ φθαρτικὸν ᾄδουσιν, ἀποτάττωμεν τοῦ κόσμου."

Ταῦτα τοῦ Ἰνδοῦ διελθόντος ἐκπεσεῖν ὁ Δάμις XXXVI
ἑαυτοῦ φησιν ὑπ' ἐκπλήξεως καὶ ἀναβοῆσαι μέγα, μὴ γὰρ ἄν ποτε νομίσαι ἄνδρα Ἰνδὸν ἐς τοῦτο ἐλάσαι γλώττης Ἑλλάδος, μηδ' ἄν, εἴπερ τὴν γλῶτταν ἠπίστατο, τοσῇδε εὐροίᾳ καὶ ὥρᾳ διελθεῖν ταῦτα. ἐπαινεῖ δὲ αὐτοῦ καὶ βλέμμα καὶ μειδίαμα καὶ τὸ μὴ ἀθεεὶ δοκεῖν ἐκφέρειν τὰς δόξας. τόν τοι Ἀπολλώνιον εὐσχημόνως τε καὶ ἀψοφητὶ τοῖς λόγοις χρώμενον ὅμως ἐπιδοῦναι μετὰ τὸν Ἰνδὸν τοῦτον, καὶ ὅπου καθήμενος διαλέγοιτο, θαμὰ δὲ τοῦτο ἔπραττε, προσεοικέναι τῷ Ἰάρχᾳ. ἐπαινεσάντων δὲ τῶν XXXVII

ἄλλων πρὸς τῇ φωνῇ τὰ εἰρημένα, πάλιν ὁ Ἀπολλώνιος ἤρετο, πότερα τὴν θάλατταν μείζω ἡγοῖντο ἢ τὴν γῆν, ὁ δὲ Ἰάρχας „εἰ μὲν πρὸς τὴν θάλατταν“ ἔφη „ἡ γῆ ἐξετάζοιτο, μείζων ἔσται, τὴν γὰρ θάλατταν αὕτη ἔχει, εἰ δὲ πρὸς πᾶσαν τὴν ὑγρὰν οὐσίαν θεωροῖτο, ἥττω τὴν γῆν ἀποφαινοίμεθα ἄν, καὶ γὰρ ἐκείνην τὸ ὕδωρ φέρει.“

XXXVIII Μεταξὺ δὲ τῶν λόγων τούτων ἐφίσταται τοῖς 128
σοφοῖς ὁ ἄγγελος Ἰνδοὺς ἄγων σωτηρίας δεομένους. καὶ παρῆγε γύναιον ἱκετεῦον ὑπὲρ παιδός, ὃν ἔφασκε μὲν ἑκκαίδεκα ἔτη γεγονέναι, δαιμονᾶν δὲ δύο ἔτη, τὸ δὲ ἦθος τοῦ δαίμονος εἴρωνα εἶναι καὶ ψεύστην. ἐρομένου δέ τινος τῶν σοφῶν, ὁπόθεν λέγοι ταῦτα, „τοῦ παιδὸς τούτου“ ἔφη „τὴν ὄψιν εὐπρεπεστέρου ὄντος ὁ δαίμων ἐρᾷ καὶ οὐ ξυγχωρεῖ αὐτῷ νοῦν ἔχειν, οὐδὲ ἐς διδασκάλου βαδίσαι ἐᾷ ἢ τοξότου, οὐδὲ οἴκοι εἶναι, ἀλλ' ἐς τὰ ἔρημα τῶν χωρίων ἐκτρέπει, καὶ οὐδὲ τὴν φωνὴν ὁ παῖς τὴν ἑαυτοῦ ἔχει, ἀλλὰ βαρὺ φθέγγεται καὶ κοῖλον, ὥσπερ οἱ ἄνδρες, βλέπει δὲ ἑτέροις ὀφθαλμοῖς μᾶλλον ἢ τοῖς ἑαυτοῦ. κἀγὼ μὲν ἐπὶ τούτοις κλάω τε καὶ ἐμαυτὴν δρύπτω καὶ νουθετῶ τὸν υἱόν, ὁπόσα εἰκός, ὁ δὲ οὐκ οἶδέ με. διανοουμένης δέ μου τὴν ἐνταῦθα ὁδόν, τουτὶ δὲ πέρυσι διενοήθην, ἐξηγόρευσεν ὁ δαίμων ἑαυτὸν ὑποκριτῇ χρώμενος τῷ παιδί, καὶ δῆτα ἔλεγεν εἶναι μὲν εἴδωλον ἀνδρός, ὃς πολέμῳ ποτὲ ἀπέθανεν, ἀποθανεῖν δὲ ἐρῶν τῆς ἑαυτοῦ γυναικός, ἐπεὶ δὲ ἡ γυνὴ περὶ τὴν εὐνὴν ὕβρισε τριταίου κειμένου γαμηθεῖσα ἑτέρῳ, μισῆσαι μὲν ἐκ τούτου τὸ γυναικῶν ἐρᾶν, μεταρρυῆναι δὲ ἐς τὸν παῖδα τοῦτον. ὑπισχνεῖτο δέ, εἰ μὴ διαβάλλοιμι αὐτὸν πρὸς ὑμᾶς, δώσειν τῷ παιδὶ πολλὰ ἐσθλὰ καὶ ἀγαθά. ἐγὼ μὲν δὴ

ἔπαθόν τι πρὸς ταῦτα, ὁ δὲ διάγει με πολὺν ἤδη
χρόνον καὶ τὸν ἐμὸν οἶκον ἔχει μόνος οὐδὲν μέτριον
οὐδὲ ἀληθὲς φρονῶν.“ ἤρετο οὖν ὁ σοφὸς πάλιν,
εἰ πλησίον εἴη ὁ παῖς, ἡ δὲ οὐκ ἔφη, πολλὰ μὲν γὰρ
ὑπὲρ τοῦ ἀφικέσθαι αὐτὸν πρᾶξαι „ὁ δ' ἀπειλεῖ κρη-
μνοὺς καὶ βάραθρα καὶ ἀποκτενεῖν μοι τὸν υἱόν, εἰ
δικαζοίμην αὐτῷ δεῦρο.“ „θάρσει,“ ἔφη ὁ σοφός
„οὐ γὰρ ἀποκτενεῖ αὐτὸν ἀναγνοὺς ταῦτα“ καί τινα
ἐπιστολὴν ἀνασπάσας τοῦ κόλπου ἔδωκε τῇ γυναικί,
ἐπέσταλτο δὲ ἄρα ἡ ἐπιστολὴ πρὸς τὸ εἴδωλον ξὺν
129 ἀπειλῇ καὶ ἐκπλήξει. καὶ μὴν καὶ χωλεύων τις XXXIX
ἀφίκετο γεγονὼς μὲν ἤδη τριάκοντα ἔτη, λεόντων δὲ 60
θηρατὴς δεινός, ἐμπεπτωκότος δὲ αὐτῷ λέοντος ὠλι-
σθήκει τὸν γλουτὸν καὶ τοῦ σκέλους ἑτέρως εἶχεν.
ἀλλ' αἱ χεῖρες αὐτῷ καταψῶσαι τὸν γλουτὸν ἐς ὀρ-
θὸν τοῦ βαδίσματος ὁ νεανίας ἦλθε. καὶ ὀφθαλμὼ
δέ τις ἐρρυηκὼς ἀπῆλθε πᾶν ἔχων τὸ ἐν αὐτοῖς φῶς,
καὶ ἄλλος τὴν χεῖρα ἀδρανὴς ὢν ἐγκρατὴς ᾤχετο.
γυνὴ δέ τις ἑπτὰ ἤδη γαστέρας δυστοκοῦσα δεομέ-
νου ὑπὲρ αὐτῆς τἀνδρὸς ὧδε ἰάθη· τὸν ἄνδρα ἐκέ-
λευσεν, ἐπειδὰν τίκτῃ ἡ γυνή, λαγὼν ὑπὸ κόλπῳ
ζῶντα ἐσφέρεσθαι οὗ τίκτει, καὶ περιελθόντα αὐτὴν
ἀφεῖναι ὁμοῦ τὸν λαγών, συνεκδοθῆναι γὰρ ἂν τῷ
ἐμβρύῳ τὴν μήτραν, εἰ μὴ ὁ λαγὼς αὐτίκα ἐξενε-
χθείη θύραζε. πατρὸς δ' αὖ τινος εἰπόντος, ὡς γέ- XL
νοιντο μὲν αὐτῷ παῖδες, ἀποθάνοιεν δὲ ὁμοῦ τῷ
ἄρξασθαι οἶνον πίνειν ὑπολαβὼν εἶπεν ὁ Ἰάρχας
„καὶ βελτίους ἀποθανόντες ἐγένοντο, οὐ γὰρ ἂν διέ-
φυγον τὸ μὴ μανῆναι, θερμοτέρων, ὡς φαίνεται,
σπερμάτων φύντες. οἴνου μὲν οὖν ἀφεκτέον τοῖς ἐξ
ὑμῶν, ὡς δὲ μηδὲ ἐς ἐπιθυμίαν ποτὲ οἴνου κατα-
σταῖεν, εἴ σοι πάλιν παιδίον γένοιτο, γέγονε δὲ

ἑβδόμην ἡμέραν, ὡς ὁρῶ, τὴν γλαῦκα τὴν ὄρνιν χρὴ ἐπιφυλάττειν, οὗ νεοττεύει, καὶ τὰ ᾠὰ σπάσαντα δοῦναι μασᾶσθαι τῷ βρέφει συμμέτρως ἕψοντα, εἰ γὰρ βρώσεταί τι τούτων, πρὶν οἴνου γεύσεται, μῖσος αὐτῷ πρὸς τὸν οἶνον ἐμφύσεται καὶ σωφρονέστατα διακείσεται μόνου ξυγκεκραμένος τοῦ ἐν τῇ φύσει θερμοῦ.“

Τούτων οὖν ἐμπιπλάμενοι καὶ τοὺς ἄνδρας ἐκπληττόμενοι τῆς ἐς πάντα σοφίας παμπόλλους ὁσημέραι λόγους ἠρώτων, πολλοὺς δὲ καὶ αὐτοὶ ἠρω-
XLI τῶντο. τῆς μὲν οὖν διαλεκτικῆς ξυνουσίας ἄμφω μετεῖχον, τὰς δὲ ἀπορρήτους σπουδάς, αἷς ἀστρικὴν [ἢ] μαντείαν κατενόουν καὶ τὴν πρόγνωσιν ἐσπού- 130
δαζον θυσιῶν τε ἥπτοντο καὶ κλήσεων, αἷς θεοὶ χαίρουσι, μόνον φησὶν ὁ Δάμις τὸν Ἀπολλώνιον ξυμφιλοσοφεῖν τῷ Ἰάρχᾳ, καὶ ξυγγράψαι μὲν ἐκεῖθεν περὶ μαντείας ἀστέρων βίβλους τέτταρας, ὧν καὶ Μοιραγένης ἐπεμνήσθη, ξυγγράψαι δὲ περὶ θυσιῶν καὶ ὡς ἄν τις ἑκάστῳ θεῷ προσφόρως τε καὶ κεχαρισμένως θύοι. τὰ μὲν δὴ τῶν ἀστέρων καὶ τὴν τοιαύτην μαντικὴν πᾶσαν ὑπὲρ τὴν ἀνθρωπείαν ἡγοῦμαι φύσιν καὶ οὐδ' εἰ κέκτηταί τις οἶδα, τὸ δὲ περὶ θυσιῶν ἐν πολλοῖς μὲν ἱεροῖς εὗρον, ἐν πολλαῖς δὲ πόλεσι, πολλοῖς δὲ ἀνδρῶν σοφῶν οἴκοις, καὶ τί ἄν τις ἑρμηνεύοι αὐτὸ σεμνῶς ξυντεταγμένον καὶ κατὰ τὴν ἠχὼ τοῦ ἀνδρός; φησὶ δὲ ὁ Δάμις καὶ δακτυλίους ἑπτὰ τὸν Ἰάρχαν τῷ Ἀπολλωνίῳ δοῦναι τῶν ἑπτὰ ἐπωνύμους ἀστέρων, οὓς φορεῖν τὸν Ἀπολλώ-
XLII νιον κατὰ ἕνα πρὸς τὰ ὀνόματα τῶν ἡμερῶν. περὶ δὲ προγνώσεως λόγου αὐτοῖς ποτε ὄντος καὶ τοῦ Ἀπολλωνίου προσκειμένου τῇ σοφίᾳ ταύτῃ καὶ τὰς πλείους τῶν διαλέξεων ἐς τοῦτο ξυντείνοντος, ἐπαι-

νῶν αὐτὸν ὁ Ἰάρχας „οἱ μαντικῇ“ ἔφη „χαίροντες,
ὦ χρηστὲ Ἀπολλώνιε, θεῖοί τε ὑπ᾿ αὐτῆς γίγνονται
καὶ πρὸς σωτηρίαν ἀνθρώπων πράττουσι. τὸ γάρ,
ἃ χρὴ ἐς θεοῦ ἀφικόμενον εὑρέσθαι, ταῦτα αὖ, ὦ
χρηστέ, ἐφ᾿ ἑαυτοῦ προϊδέσθαι προειπεῖν τε ἑτέροις,
ἃ μήπω ἴσασι, πανολβίου τινὸς ἡγοῦμαι καὶ ταὐτὸν 61
ἰσχύοντος τῷ Ἀπόλλωνι τῷ Δελφικῷ. ἐπεὶ δὲ ἡ
τέχνη τοὺς ἐς θεοῦ φοιτῶντας ἐπὶ τῷ χρήσασθαι καθα-
131 ροὺς κελεύει βαδίζοντας φοιτᾶν, ἢ „ἔξιθι τοῦ νεὼ“
πρὸς αὐτοὺς ἐρεῖ, δοκεῖ μοι καὶ τὸν προγνωσόμενον
ἄνδρα ὑγιῶς ἑαυτοῦ ἔχειν καὶ μήτε κηλῖδα προσμε-
μάχθαι τῇ ψυχῇ μηδεμίαν μήτε οὐλὰς ἁμαρτημάτων
ἐντετυπῶσθαι τῇ γνώμῃ, καθαρῶς δὲ αὐτὸν προφη-
τεύειν ἑαυτοῦ καὶ τοῦ περὶ τῷ στέρνῳ τρίποδος
συνιέντα. γεγωνότερον γὰρ οὕτω καὶ ἀληθέστερον
τὰ λόγια ἐκδώσει· ὅθεν οὐ χρὴ θαυμάζειν, εἰ καὶ
σὺ τὴν ἐπιστήμην ξυνείληφας τοσοῦτον ἐν τῇ ψυχῇ
φέρων αἰθέρα.“ καὶ χαριεντιζόμενος ἅμα πρὸς τὸν XLIII
Δάμιν „σὺ δ᾿ οὐδὲν“ ἔφη „προγιγνώσκεις, Ἀσσύριε,
καὶ ταῦτα ξυνὼν ἀνδρὶ τοιούτῳ;“ „νὴ Δί᾿,“ εἶπε
„τά γε ἐμαυτῷ ἀναγκαῖα· ἐπειδὴ γὰρ πρώτῳ ἐνέ-
τυχον τῷ Ἀπολλωνίῳ τούτῳ καὶ σοφίας μοι ἔδοξε
πλέως δεινότητός τε καὶ σωφροσύνης καὶ τοῦ καρτε-
ρεῖν ὀρθῶς, ἐπεὶ δὲ καὶ μνημοσύνην ἐν αὐτῷ εἶδον,
πολυμαθέστατόν τε καὶ φιλομαθίας ἥττω, δαιμόνιόν
τί μοι ἐγένετο, καὶ ξυγγενόμενος αὐτῷ σοφὸς μὲν
ᾠήθην δόξειν ἐξ ἰδιώτου τε καὶ ἀσόφου, πεπαιδευ-
μένος δὲ ἐκ βαρβάρου, ἑπόμενος δὲ αὐτῷ καὶ ξυσπου-
δάζων ὄψεσθαι μὲν Ἰνδούς, ὄψεσθαι δὲ ὑμᾶς, Ἕλ-
λησί τε ἐπιμίξειν Ἕλλην ὑπ᾿ αὐτοῦ γενόμενος. τὰ
μὲν δὴ ὑμέτερα περὶ μεγάλων ὄντα Δελφοὺς ἡγεῖσθε
καὶ Δωδώνην καὶ ὅ τι βούλεσθε, τἀμὰ δέ, ἐπειδὴ

Δάμις μὲν ὁ προγιγνώσκων αὐτά, προγιγνώσκει δ'
ὑπὲρ αὑτοῦ μόνου, γραὸς ἔστω ἀγυρτρίας μαντευο-
XLIV μένης ὑπὲρ προβατίων καὶ τῶν τοιούτων.“ ἐπὶ τού-
τοις μὲν δὴ ἐγέλασαν οἱ σοφοὶ πάντες, καταστάντος
δὲ τοῦ γέλωτος ἐπανῆγεν ὁ Ἰάρχας ἐς τὸν περὶ τῆς
μαντικῆς λόγον, καὶ πολλὰ μὲν αὐτὴν ἀγαθὰ ἔλεγε
τοὺς ἀνθρώπους εἰργάσθαι, μέγιστον δὲ τὸ τῆς ἰατρι-
κῆς δῶρον· οὐ γὰρ ἄν ποτε τοὺς σοφοὺς Ἀσκληπιά-
δας ἐς ἐπιστήμην τούτου παρελθεῖν, εἰ μὴ παῖς
Ἀπόλλωνος Ἀσκληπιὸς γενόμενος καὶ κατὰ τὰς ἐκεί-
νου φήμας τε καὶ μαντείας ξυνθεὶς τὰ πρόσφορα 132
ταῖς νόσοις φάρμακα παισί τε ἑαυτοῦ παρέδωκε καὶ
τοὺς ξυνόντας ἐδιδάξατο, τίνας μὲν δεῖ προσάγειν
πόας ὑγροῖς ἕλκεσι, τίνας δὲ αὐχμηροῖς καὶ ξηροῖς
ξυμμετρίας τε ποτίμων φαρμάκων, ὑφ' ὧν ὕδεροι
ἀποχετεύονται καὶ αἷμα ἴσχεται φθόαι τε παύονται
καὶ τὰ οὕτω κοῖλα. καὶ τὰ τῶν ἰοβόλων δὲ ἄκη καὶ
τὸ τοῖς ἰοβόλοις αὐτοῖς ἐς πολλὰ τῶν νοσημάτων
χρῆσθαι τίς ἀφαιρήσεται τὴν μαντικήν; οὐ γάρ μοι
δοκοῦσιν ἄνευ τῆς προγιγνωσκούσης σοφίας θαρσῆ-
σαί ποτε ἄνθρωποι τὰ πάντων ὀλεθριώτατα φαρμά-
κων ἐγκαταμῖξαι τοῖς σῴζουσιν.

XLV Ἐπεὶ δὲ καὶ ὅδε ὁ λόγος ἀναγέγραπται τῷ Δά-
μιδι σπουδασθεὶς ἐκεῖ περὶ τῶν ἐν Ἰνδοῖς μυθολο-
γουμένων θηρίων τε καὶ πηγῶν καὶ ἀνθρώπων,
μηδ' ἐμοὶ παραλειπέσθω, καὶ γὰρ κέρδος (ἂν) εἴη
μήτε πιστεύειν, μήτε ἀπιστεῖν πᾶσιν. ἤρετο γὰρ δὴ
ὁ Ἀπολλώνιος „ἔστι τι ζῷον ἐνταῦθα μαρτιχόρας;
ὁ δὲ Ἰάρχας „καὶ τίνα“ ἔφη „φύσιν τοῦ ζῴου τού-
του ἤκουσας; εἰκὸς γὰρ καὶ περὶ εἴδους αὐτοῦ (τι)
λέγεσθαι.“ „λέγεται“ εἶπε „μεγάλα καὶ ἄπιστα,
62 τετράπουν μὲν γὰρ εἶναι αὐτό, τὴν κεφαλὴν δὲ

ἀνθρώπῳ εἰκάσθαι, λέοντι δὲ ὡμοιῶσθαι τὸ μέγεθος,
τὴν δὲ οὐρὰν τοῦ θηρίου τούτου πηχυαίας ἐκφέρειν
καὶ ἀκανθώδεις τὰς τρίχας, ἃς βάλλειν ὥσπερ τοξεύ-
ματα ἐς τοὺς θηρῶντας αὐτό." ἐρομένου δὲ αὐτοῦ
καὶ περὶ τοῦ χρυσοῦ ὕδατος, ὅ φασιν ἐκ πηγῆς βλύ-
ζειν, καὶ περὶ τῆς ψήφου τῆς ἅπερ ἡ μαγνῆτις
ποιούσης ἀνθρώπων τε ὑπὸ γῆν οἰκούντων καὶ
133 πυγμαίων αὖ καὶ σκιαπόδων ὑπολαβὼν ὁ Ἰάρχας
„περὶ μὲν ζῴων ἢ φυτῶν" εἶπεν „ἢ πηγῶν, ὧν αὐ-
τὸς ἐνταῦθα ἥκων εἶδες, τί ἄν σοι λέγοιμι; σὸν γὰρ
ἤδη νῦν ἐξηγεῖσθαι αὐτὰ ἑτέροις· θηρίον δὲ τοξεῦον
ἢ χρυσοῦ πηγὰς ὕδατος οὔπω ἐνταῦθα ἤκουσα. περὶ XLVI
μέντοι τῆς ψήφου τῆς ἐπισπωμένης τε καὶ ξυνδού-
σης ἑαυτῇ λίθους ἑτέρας οὐ χρὴ ἀπιστεῖν· ἔστι γάρ
σοι καὶ ἰδεῖν τὴν λίθον καὶ θαυμάσαι τὰ ἐν αὐτῇ
πάντα. γίγνεται μὲν γὰρ ἡ μεγίστη κατὰ ὄνυχα
δακτύλου τούτου," δείξας τὸν ἑαυτοῦ ἀντίχειρα
„κυίσκεται δὲ ἐν γῇ κοίλῃ βάθος ὀργυιαὶ τέτταρες,
τοσοῦτον δὲ αὐτῇ περίεστι τοῦ πνεύματος, ὡς ὑποι-
δεῖν τὴν γῆν καὶ κατὰ πολλὰ ῥήγνυσθαι κυισκομέ-
νης ἐν αὐτῇ τῆς λίθου. μαστεῦσαι δὲ αὐτὴν οὐδενὶ
ἔξεστιν, ἀποδιδράσκει γάρ, εἰ μὴ μετὰ λόγου ἀνα-
σπῷτο ἀλλ' ἡμεῖς μόνοι τὰ μὲν δράσαντες, τὰ δὲ
εἰπόντες ἀναιρούμεθα τὴν παντάρβην· ὄνομα γὰρ
αὐτῇ τοῦτο. νύκτωρ μὲν οὖν ἡμέραν ἀναφαίνει,
καθάπερ τὸ πῦρ, ἔστι γὰρ πυρσὴ καὶ ἀκτινώδης, εἰ
δὲ μεθ' ἡμέραν ὁρῷτο, βάλλει τοὺς ὀφθαλμοὺς μαρ-
μαρυγαῖς μυρίαις. τὸ δὲ ἐν αὐτῇ φῶς πνεῦμά ἐστιν
ἀρρήτου ἰσχύος, πᾶν γὰρ τὸ ἐγγὺς ἑσποιεῖ αὐτῇ. τί
λέγω τὸ ἐγγύς; ἔστι σοι λίθους, ὁπόσας βούλει, κατα-
ποντῶσαί ποι ἢ τῶν ποταμῶν ἢ τῆς θαλάττης καὶ
μηδὲ ἐγγὺς ἀλλήλων, ἀλλὰ σποράδας καὶ ὡς ἔτυχεν,

ἡ δὲ ἐς αὐτὰς καθιμηθεῖσα ξυλλέγεται πάσας τῇ
τοῦ πνεύματος διαδόσει καὶ ὑποκείσονται αὐτῇ βο-
XLVII τρυδὸν αἱ λίθοι, καθάπερ σμῆνος.“ καὶ εἰπὼν
ταῦτα ἔδειξε τὴν λίθον αὐτήν τε καὶ ὁπόσα ἐργάζε-
ται. τοὺς δὲ πυγμαίους οἰκεῖν μὲν ὑπογείους, κεῖ-
σθαι δὲ ὑπὲρ τὸν Γάγγην ζῶντας τρόπον, ὃς πᾶσιν 134
εἴρηται. σκιάποδας δὲ ἀνθρώπους ἢ μακροκεφάλους
ἢ ὁπόσα Σκύλακος ξυγγραφαὶ περὶ τούτων ᾄδουσιν,
οὔτε ἄλλοσέ ποι βιοτεύειν τῆς γῆς οὔτε μὴν ἐν Ἰν-
XLVIII δοῖς. ὃν δ᾽ ὀρύττουσι χρυσὸν οἱ γρῦπες, πέτραι
εἰσὶν οἷον σπινθῆρσιν ἐστιγμέναι ταῖς τοῦ χρυσοῦ
ῥανίσιν, ἃς λιθοτομεῖ τὸ θηρίον τοῦτο τῇ τοῦ ῥάμ-
φους ἰσχύι. τὰ γὰρ θηρία ταῦτα εἶναί τε ἐν Ἰνδοῖς
καὶ ἱεροὺς νομίζεσθαι τοῦ Ἡλίου τέθριππά τε αὐτῶν
ὑποζευγνύναι τοῖς ἀγάλμασι τοὺς τὸν Ἥλιον ἐν Ἰν-
δοῖς γράφοντας μέγεθός τε καὶ ἀλκὴν εἰκάσθαι αὐ-
τοὺς τοῖς λέουσιν, ὑπὸ δὲ πλεονεξίας τῶν πτερῶν
αὐτοῖς τε ἐκείνοις ἐπιτίθεσθαι καὶ τῶν ἐλεφάντων
δὲ καὶ δρακόντων ὑπερτέρους εἶναι. πέτονται δὲ
οὔπω μέγα, ἀλλ᾽ ὅσον οἱ βραχύποροι ὄρνιθες, μὴ
γὰρ ἐπτιλῶσθαι σφᾶς, ὡς ὄρνισι πάτριον, ἀλλ᾽ ὑμέσι
τοὺς ταρσοὺς ὑφάνθαι πυρσοῖς, ὡς εἶναι κυκλώσαν-
τας πέτεσθαί τε καὶ ἐκ μετεώρου μάχεσθαι, τὴν
63 τίγριν δὲ αὐτοῖς ἀνάλωτον εἶναι μόνην, ἐπειδὴ τὸ
XLIX τάχος αὐτὴν ἐσποιεῖ τοῖς ἀνέμοις. καὶ τὸν φοίνικα
δὲ τὸν ὄρνιν τὸν διὰ πεντακοσίων ἐτῶν ἐς Αἴγυπτον 135
ἥκοντα πέτεσθαι μὲν ἐν τῇ Ἰνδικῇ τὸν χρόνον τοῦ-
τον, εἶναι δὲ ἕνα ἐκδιδόμενον τῶν ἀκτίνων καὶ χρυσῷ
λάμποντα, μέγεθος ἀετοῦ καὶ εἶδος, ἐς καλιάν τε
ἱζάνειν τὴν ἐκ τοῦ ἀρώματος ποιουμένην αὐτῷ πρὸς
ταῖς τοῦ Νείλου πηγαῖς. ἃ δὲ Αἰγύπτιοι περὶ αὐτοῦ
ᾄδουσιν, ὡς ἐς Αἴγυπτον φέρεται, καὶ Ἰνδοὶ ξυμ-

μαρτυροῦσι προσᾴδοντες τῷ λόγῳ τὸ τὸν φοίνικα τὸν ἐν τῇ καλιᾷ τηκόμενον προπεμπτηρίους ὕμνους αὑτῷ ᾄδειν. τουτὶ δὲ καὶ τοὺς κύκνους φασὶ δρᾶν οἱ σοφώτερον αὐτῶν ἀκούοντες.

Τοιαίδε μὲν αἱ πρὸς τοὺς σοφοὺς ξυνουσίαι L
Ἀπολλωνίῳ ἐγένοντο μηνῶν τεττάρων ἐκεῖ διατρίψαντι καὶ ξυλλαβόντι λόγους φανερούς τε καὶ ἀπορρήτους πάντας, ἐπεὶ δὲ ἐξελαύνειν ἐβούλετο, τὸν μὲν ἡγεμόνα καὶ τὰς καμήλους πείθουσιν αὐτὸν ἀποπέμψαι τῷ Φραώτῃ μετ᾿ ἐπιστολῆς, αὐτοὶ δὲ ἡγεμόνα ἕτερον καὶ καμήλους δόντες προέπεμπον αὐτὸν εὐδαιμονίζοντες αὑτούς τε κἀκεῖνον. ἀσπασάμενοι δὲ τὸν Ἀπολλώνιον καὶ θεὸν τοῖς πολλοῖς εἶναι δόξειν οὐ τεθνεῶτα μόνον, ἀλλὰ καὶ ζῶντα φήσαντες αὐτοὶ μὲν ὑπέστρεψαν ἐς τὸ φροντιστήριον* ἐπιστρεφόμενοι πρὸς τὸν ἄνδρα καὶ δηλοῦντες, ὅτι ἄκοντες αὐτοῦ ἀπαλλάττονται, ὁ δὲ Ἀπολλώνιος ἐν δεξιᾷ μὲν τὸν Γάγγην ἔχων, ἐν ἀριστερᾷ δὲ τὸν Ὕφασιν κατῄει ἐπὶ τὴν θάλατταν ἡμερῶν δέκα ὁδὸν ἀπὸ τοῦ ἱεροῦ ὄχθου. κατιοῦσι δ᾿ αὐτοῖς πολλαὶ μὲν στρουθοὶ ἐφαίνοντο, πολλοὶ δὲ ἄγριοι βόες, πολλοὶ δὲ ὄνοι καὶ λέοντες καὶ παρδάλεις καὶ τίγρεις καὶ πιθήκων γένος ἕτερον παρὰ τοὺς ἐν ταῖς πεπερίσι, μέλανές τε γὰρ καὶ λά-
136 σιοι ἦσαν καὶ τὰ εἴδη κύνειοι καὶ σμικροῖς ἀνθρώποις ἴσοι. διαλεγόμενοι δὲ περὶ τῶν ὁρωμένων, ὁποῖα εἰώθεσαν, ἀφίκοντο ἐπὶ τὴν θάλατταν, ἐν ᾗ κατεσκεύαστο ἐμπόρια μικρά, καὶ πλοῖα δὲ ἐν αὐτοῖς ὥρμει πορθμεῖα παραπλήσια τοῖς Τυρρηνοῖς. τὴν δὲ θάλατταν τὴν Ἐρυθρὰν εἶναι μὲν κυανωτάτην, ὠνομάσθαι δέ, ὥς εἶπον, ἀπὸ Ἐρύθρα βασιλέως, ὃς ἐπωνόμασεν ἑαυτὸν ἐκείνῳ τῷ πελάγει. ἐνταῦθα ἥκων LI
τὰς μὲν καμήλους ἀπέπεμψε τῷ Ἰάρχᾳ μετ᾿ ἐπιστολῆς

„*Ἀπολλώνιος Ἰάρχᾳ καὶ* (*τοῖς*) *ἑτέροις σοφοῖς χαίρειν. ἀφικομένῳ μοι πεζῇ πρὸς ὑμᾶς δεδώκατε τὴν θάλατταν, ἀλλὰ καὶ σοφίας τῆς ἐν ὑμῖν κοινωνήσαντες δεδώκατε καὶ διὰ τοῦ οὐρανοῦ πορεύεσθαι. μεμνήσομαι τούτων καὶ πρὸς Ἕλληνας κοινωνήσω τε λόγων ὡς παροῦσιν ὑμῖν, εἰ μὴ μάτην ἔπιον τοῦ Ταντάλου.*
LII *ἔρρωσθε ἀγαθοὶ φιλόσοφοι.*“ *αὐτὸς δὲ ἐπιβὰς νεὼς ἐκομίζετο λείῳ καὶ εὐφόρῳ πνεύματι θαυμάζων τὸ στόμα τοῦ Ὑφάσιδος, ὡς φοβερῶς δι' αὐτοῦ ἐκχεῖται· τελευτῶν γάρ, ὡς ἔφην, ἐς χωρία πετρώδη καὶ στενὰ καὶ κρημνοὺς ἐκπίπτει, δι' ὧν καταρρηγνὺς ἐς τὴν θάλατταν ἑνὶ στόματι χαλεπὸς δοκεῖ τοῖς ἄγαν τῇ γῇ προσκειμένοις.*

LIII *Καὶ μὴν καὶ τὸ τοῦ Ἰνδοῦ στόμα ἰδεῖν φασι,* 137
πόλιν δὲ ἐπ' αὐτοῦ κεῖσθαι Πάταλα περίρρυτον τῷ Ἰνδῷ, ἐς ἣν τὸ ναυτικὸν τοῦ Ἀλεξάνδρου ἐλθεῖν, ᾧ ναύαρχον ἐπιτετάχθαι Νέαρχον οὐκ ἀγύμναστον τῆς θαλαττίου τάξεως. ἃ δὲ Ὀρθαγόρᾳ περὶ τῆς Ἐρυ-
64 *θρᾶς εἴρηται, καὶ ὅτι μήτε ἡ ἄρκτος ἐν αὐτῇ φαίνοιτο, μήτε σημαίνοιντο τὴν μεσημβρίαν οἱ πλέοντες οἵ τε ἐπίδηλοι τῶν ἀστέρων ἐξαλλάττοιεν τῆς ἑαυτῶν τάξεως, δοκεῖ καὶ Δάμιδι, καὶ χρὴ πιστεύειν ὑγιῶς τε καὶ κατὰ τὸν ἐκεῖ οὐρανὸν εἰρῆσθαι ταῦτα. μνημονεύουσι καὶ νήσου μικρᾶς, ᾗ ὄνομα εἶναι Βίβλον, ἐν ᾗ* [*τὸ τοῦ κογχυλίου μέγεθος καὶ*] *οἱ μύες ὄστρεά τε καὶ τὰ τοιαῦτα δεκαπλάσια τῶν Ἑλληνικῶν τὸ μέγεθος ταῖς πέτραις προσπέφυκεν. ἁλίσκεται δὲ καὶ λίθος ἐκεῖ μαργαρὶς ἐν ὀστράκῳ λευκῷ καρδίας τόπον ἔχουσα τῷ ὀστρέῳ.*

LIV *Κατασχεῖν δέ φασι καὶ ἐς Πηγάδας τῆς τῶν Ὠρειτῶν χώρας, οἱ δὲ Ὠρεῖται, χαλκαῖ μὲν αὐτοῖς αἱ πέτραι, χαλκῆ δὲ ἡ ψάμμος, χαλκοῦν δὲ ψῆγμα* 138

οἱ ποταμοὶ ἄγουσι. χρυσῖτιν δὲ ἡγοῦνται τὴν γῆν διὰ τὴν εὐγένειαν τοῦ χαλκοῦ.

Φασὶ δὲ καὶ τοῖς Ἰχθυοφάγοις ἐντυχεῖν, οἷς πόλιν εἶναι Στόβηρα, διφθέρας δὲ τούτους ἐνῆφθαι μεγίστων ἰχθύων, καὶ τὰ πρόβατα τὰ ἐκείνῃ ἰχθυώδη εἶναι καὶ φαγεῖν ἄτοπα, τοὺς γὰρ ποιμένας βόσκειν αὐτὰ τοῖς ἰχθύσιν, ὥσπερ ἐν Καρίᾳ τοῖς σύκοις. Καρμανοὶ δὲ Ἰνδοὶ γένος ἥμερον εὔιχθυν οὕτω νέμονται θάλατταν, ὡς μηδ' ἀποθέτους ποιεῖσθαι τοὺς ἰχθῦς, μηδέ, ὥσπερ ὁ Πόντος, ταριχεύειν, ἀλλ' ὀλίγους μὲν αὐτῶν ἀποδίδοσθαι, τοὺς δὲ πολλοὺς ἀσπαίροντας ἀποδιδόναι τῇ θαλάττῃ. LV

Προσπλεῦσαί φασι καὶ Βαλάροις, ἐμπόριον δὲ εἶναι τὰ Βάλαρα μεστὸν μυρρινῶν τε καὶ φοινίκων καὶ δάφνας ἐν αὐτῷ ἰδεῖν καὶ πηγαῖς διαρρεῖσθαι τὸ χωρίον. κῆποι δὲ ὁπόσοι τρωκτοὶ καὶ ὁπόσοι ἀνθέων κῆποι, βρύειν αὐτὸ καὶ λιμένας μεστοὺς γαλήνης ἐν αὐτῷ εἶναι. προκεῖσθαι δὲ τοῦ χωρίου τούτου νῆσον ἱεράν, ἣν καλεῖσθαι Σέληρα καὶ στάδια μὲν ἑκατὸν εἶναι τῷ πορθμῷ, νηρηίδα δὲ οἰκεῖν ἐν αὐτῇ δεινὴν δαίμονα, πολλοὺς γὰρ τῶν πλεόντων ἁρπάζειν καὶ μηδὲ ταῖς ναυσὶ ξυγχωρεῖν πεῖσμα ἐκ τῆς νήσου βάλλεσθαι. LVI

Ἄξιον δὲ μηδὲ τὸν περὶ τῆς ἑτέρας μαργαρίτιδος παρελθεῖν λόγον, ἐπεὶ μηδὲ Ἀπολλωνίῳ μειρακιώδης ἔδοξεν, ἀλλὰ πλάττεται ἥδιστος καὶ τῶν ἐν τῇ θαλαττουργίᾳ θαυμασιώτατος. τὰ γὰρ τετραμμένα τῆς νήσου πρὸς τὸ πέλαγός ἐστι μὲν ἄπειρος πυθμὴν θαλάττης, φέρει δὲ ὄστρεον ἐν ἐλύτρῳ λευκῷ μεστὸν
139 πιμελῆς, οὐδὲ γὰρ λίθον φύει οὐδένα. γαλήνην δὲ ἐπιφυλάξαντες καὶ τὴν θάλατταν αὐτοὶ λεάναντες, τουτὶ δὲ ἡ τοῦ ἐλαίου ἐπιρροὴ πράττει, καταδύεταί LVII

τις ἐπὶ τὴν θήραν τοῦ ὀστρέου τὰ μὲν ἄλλα κατεσκευασμένος, ὥσπερ οἱ τὰς σπογγιὰς κείροντες, ἔστι δὲ αὐτῷ καὶ πλινθὶς σιδηρᾶ καὶ ἀλάβαστρος μύρου. παριζήσας οὖν ὁ Ἰνδὸς τῷ ὀστρέῳ δέλεαρ
65 αὐτοῦ τὸ μύρον ποιεῖται, τὸ δὲ ἀνοίγνυταί τε καὶ μεθύει ὑπ' αὐτοῦ, κέντρῳ δὲ διελαθὲν ἀποπτύει τὸν ἰχῶρα, ὁ δὲ ἐκδέχεται αὐτὸν τῇ πλινθίδι τύπους ὀρωρυγμένῃ. λιθοῦται δὲ τὸ ἐντεῦθεν καὶ ῥυθμίζεται, καθάπερ ἡ φύσει μαργαρὶς κἄστιν ἡ μαργαρὶς αἷμα λευκὸν ἐξ ἐρυθρᾶς τῆς θαλάττης. ἐπιτίθεσθαι δὲ τῇ θήρᾳ ταύτῃ καὶ τοὺς Ἀραβίους φασὶν ἀντιπέρας οἰκοῦντας. τὸ δὲ ἐντεῦθεν θηριώδη μὲν τὴν θάλατταν εἶναι πᾶσαν, ἀγελάζεσθαι δὲ ἐν αὐτῇ τὰ κήτη, τὰς δὲ ναῦς ἔρυμα τούτου κωδωνοφορεῖν κατὰ πρύμναν τε καὶ πρῷραν, τὴν δὲ ἠχὼ ἐκπλήττειν τὰ θηρία, καὶ μὴ ἐᾶν ἐμπελάζειν ταῖς ναυσί.

LVIII Καταπλεύσαντες δὲ ἐς τὰς ἐκβολὰς τοῦ Εὐφράτου φασὶν ἐς Βαβυλῶνα δι' αὐτοῦ ἀναπλεῦσαι παρὰ τὸν Οὐαρδάνην, καὶ τυχόντες αὐτοῦ οἷου ἐγίγνωσκον, ἐπὶ τὴν Νῖνον ἐλθεῖν αὖθις, καὶ τῆς Ἀντιοχείας συνήθως ὑβριζούσης καὶ μηδὲν τῶν Ἑλληνικῶν ἐσπουδακυίας ἐπὶ θάλαττάν τε καταβῆναι τὴν ἐπὶ Σελεύκειαν νεώς τε ἐπιτυχόντες προσπλεῦσαι Κύπρῳ κατὰ τὴν Πάφον, οὗ τὸ τῆς Ἀφροδίτης ἕδος, ὃ ξυμβολικῶς ἱδρυμένον θαυμάσαι τὸν Ἀπολλώνιον, καὶ πολλὰ τοὺς ἱερέας ἐς τὴν ὁσίαν τοῦ ἱεροῦ διδαξάμενον ἐς Ἰωνίαν πλεῦσαι θαυμαζόμενον ἱκανῶς καὶ μεγάλων ἀξιούμενον παρὰ τοῖς τὴν σοφίαν τιμῶσιν.

Δ'.

140 Ἐπεὶ δὲ εἶδον τὸν ἄνδρα ἐν Ἰωνίᾳ παρελθόντα I
ἐς τὴν Ἔφεσον, οὐδὲ οἱ βάναυσοι ἔτι πρὸς ταῖς ἑαυ-
τῶν τέχναις ἦσαν, ἀλλ' ἠκολούθουν ὁ μὲν σοφίας,
ὁ δὲ εἴδους, ὁ δὲ διαίτης, ὁ δὲ σχήματος, οἱ δὲ πάν-
των ὁμοῦ θαυμασταὶ ὄντες, λόγοι τε περὶ αὐτοῦ
ἐφοίτων οἱ μὲν ἐκ τοῦ Κολοφῶνι μαντείου κοινωνὸν
τῆς ἑαυτοῦ σοφίας καὶ ἀτεχνῶς σοφὸν καὶ τὰ τοι-
αῦτα τὸν ἄνδρα ᾄδοντες, οἱ δὲ ἐκ Διδύμων, οἱ δὲ
ἐκ τοῦ περὶ τὸ Πέργαμον ἱεροῦ, πολλοὺς γὰρ τῶν
ὑγιείας δεομένων ὁ θεὸς ἐκέλευσε προσφοιτᾶν τῷ
Ἀπολλωνίῳ, τουτὶ γὰρ αὐτός τε βούλεσθαι καὶ δο-
κεῖν ταῖς Μοίραις. ἐφοίτων καὶ πρεσβεῖαι πρὸς αὐ-
τὸν ἐκ τῶν πόλεων ξένον τε αὐτὸν ἡγούμενοι καὶ
141 βίου ξύμβουλον βωμῶν τε ἱδρύσεως καὶ ἀγαλμάτων,
ὁ δὲ ἕκαστα τούτων τὰ μὲν ἐπιστέλλων, τὰ δὲ ἀφίξε-
σθαι φάσκων διωρθοῦτο. πρεσβευσαμένης δὲ καὶ
τῆς Σμύρνης καὶ ὅ τι μὲν δέοιτο οὐκ εἰπούσης, ἐκλι-
παρούσης δὲ ἀφικέσθαι, ἤρετο τὸν πρεσβευτήν, ὅ τι
αὐτοῦ δέοιντο, ὁ δὲ „ἰδεῖν" ἔφη „καὶ ὀφθῆναι."
ὁ δὲ Ἀπολλώνιος „ἀφίξομαι" εἶπε „δοίητε δέ, ὦ II
Μοῦσαι, καὶ ἐρασθῆναι ἀλλήλων."

Τὴν μὲν δὴ διάλεξιν τὴν πρώτην ἀπὸ τῆς κρη-
πῖδος τοῦ νεὼ πρὸς τοὺς Ἐφεσίους διελέχθη, οὐχ
ὥσπερ οἱ Σωκρατικοί, ἀλλὰ τῶν μὲν ἄλλων ἀπάγων
τε καὶ ἀποσπουδάζων, φιλοσοφίᾳ δὲ μόνῃ ξυμβου- 66
λεύων προσέχειν καὶ σπουδῆς ἐμπιπλάναι τὴν Ἔφε-
σον μᾶλλον ἢ ῥᾳθυμίας τε καὶ ἀγερωχίας, ὁπόσην
εὗρεν· ὀρχηστῶν γὰρ ἡττημένοι καὶ πρὸς πυρρίχαις
αὐτοὶ ὄντες αὐλῶν μὲν πάντα μεστὰ ἦν, μεστὰ δὲ
ἀνδρογύνων, μεστὰ δὲ κτύπων· ὁ δὲ καίτοι μετα-

θεμένων τῶν Ἐφεσίων πρὸς αὐτὸν οὐκ ἠξίου περιορᾶν ταῦτα, ἀλλ' ἐξῄρει αὐτὰ καὶ διέβαλλε τοῖς πολ-
III λοῖς. τὰς δὲ ἄλλας διαλέξεις περὶ τὰ ἄλση τὰ ἐν τοῖς ξυστοῖς δρόμοις ἐποιεῖτο, διαλεγομένου δέ ποτε περὶ κοινωνίας καὶ διδάσκοντος, ὅτι χρὴ τρέφειν τε ἀλλή- 142
λους καὶ ὑπ' ἀλλήλων τρέφεσθαι, στρουθοὶ μὲν ἐκάθηντο ἐπὶ τῶν δένδρων σιωπῶντες, εἷς δὲ αὐτῶν προσπετόμενος ἐβόα, παρακελεύεσθαί τι δοκῶν τοῖς ἄλλοις, οἱ δέ, ὡς ἤκουσαν, αὐτοί τε ἀνέκραγον καὶ ἀρθέντες ἐπέτοντο ὑπὸ τῷ ἑνί. ὁ μὲν δὴ Ἀπολλώνιος εἴχετο τοῦ λόγου γιγνώσκων μέν, ἐφ' ὅ τι οἱ στρουθοὶ πέτοιντο, πρὸς δὲ τοὺς πολλοὺς οὐχ ἑρμηνεύων αὐτό, ἐπεὶ δὲ ἀνέβλεψαν ἐς αὐτοὺς πάντες καὶ ἀνοήτως ἔνιοι τερατῶδες αὐτὸ ἐνόμισαν, παραλλάξας ὁ Ἀπολλώνιος τοῦ λόγου „παῖς“ εἶπεν „ὤλισθεν ἀπάγων πυροὺς ἐν σκάφῃ καὶ κακῶς αὐτοὺς ξυλλεξάμενος αὐτὸς μὲν ἀπελήλυθε, πολλοὺς δ' ἐσκεδασμένους ἀπολέλοιπεν ἐν στενωπῷ τῷ δεῖνι, ὁ δὲ στρουθὸς παρατυχὼν οὗτος πρόξενος τοῖς ἄλλοις ἥκει τοῦ ἑρμαίου καὶ ποιεῖται αὐτοὺς ξυσσίτους.“ οἱ μὲν δὴ πλεῖστοι τῶν ἀκροωμένων δρόμῳ ἐπὶ τοῦτο ᾤχοντο, ὁ δὲ Ἀπολλώνιος πρὸς τοὺς παρόντας διῄει τὸν λόγον, ὃν περὶ τῆς κοινωνίας προὔθετο, καὶ ἐπειδὴ ἀφίκοντο βοῶντές τε καὶ μεστοὶ θαύματος „οἱ μὲν στρουθοὶ“ εἶπεν „ὁρᾶτε, ὡς ἐπιμελοῦνταί τε ἀλλήλων καὶ κοινωνίᾳ χαίρουσιν, ἡμεῖς δὲ οὐκ ἀξιοῦμεν, ἀλλὰ κἂν κοινωνοῦντα ἑτέροις ἴδωμεν, ἐκεῖνον μὲν ἀσωτίαν καὶ τρυφὴν καὶ τὰ τοιαῦτα ἡγούμεθα, τοὺς δὲ ὑπ' αὐτοῦ τρεφομένους παρασίτους τε καὶ κόλακας φαμέν. καὶ τί λοιπὸν ἀλλ' ἢ ξυγκλείσαντας αὐτούς, ὥσπερ τοὺς σιτευομένους τῶν ὀρνίθων, ἐν σκότῳ γαστρίζεσθαι, μέχρις ἂν διαρραγῶμεν παχυνόμενοι;“

Λοιμοῦ δὲ ὑφέρποντος τὴν Ἔφεσον καὶ οὔπω IV
ἀνοιδούσης τῆς νόσου ξυνῆκε μὲν ὁ Ἀπολλώνιος τῆς
προσβολῆς, ξυνεὶς δὲ προὔλεγε πολλαχοῦ τε τῶν δια-
λέξεων „ὦ γῆ, μένε ὁμοία,“ καὶ τοιαῦτα ἐπεφθέγγετο
143 *ξὺν ἀπειλῇ· „τούσδε σῶζε“ καὶ „οὐ παρελεύσῃ ἐν-*
ταῦθα.“ οἱ δ' οὐ προσεῖχον καὶ τερατολογίαν τὰ
τοιαῦτα ᾤοντο τοσῷδε μᾶλλον, ὅσῳ καὶ ἐς πάντα τὰ
ἱερὰ φοιτῶν ἀποτρέπειν αὐτὸ ἐδόκει καὶ ἀπεύχεσθαι.
ἐπεὶ δὲ ἀνοήτως εἶχον τοῦ πάθους, ἐκείνοις μὲν οὐ-
δὲν ᾤετο δεῖν ἐπαρκεῖν ἔτι, τὴν δὲ ἄλλην Ἰωνίαν
περιῄει διορθούμενος τὰ παρ' ἑκάστοις καὶ διαλεγό-
μενος ἀεί τι σωτήριον τοῖς παροῦσιν.

Ἀφικνουμένῳ δὲ αὐτῷ ἐς τὴν Σμύρναν προσα- V
πήντων μὲν οἱ Ἴωνες, καὶ γὰρ ἔτυχον Πανιώνια
θύοντες, ἀναγνοὺς δὲ καὶ ψήφισμα Ἰωνικόν, ἐν ᾧ
ἐδέοντο αὐτοῦ κοινωνῆσαί σφισι τοῦ ξυλλόγου, καὶ
ὀνόματι προστυχὼν ἥκιστα Ἰωνικῷ, Λούκουλλος γάρ
τις ἐπεγέγραπτο τῇ γνώμῃ, πέμπει ἐπιστολὴν ἐς τὸ
144 *κοινὸν αὐτῶν ἐπίπληξιν ποιούμενος περὶ τοῦ βαρ-*
βαρισμοῦ τούτου· καὶ γὰρ δὴ καὶ Φαβρίκιον καὶ
τοιούτους ἑτέρους ἐν τοῖς ἐψηφισμένοις εὗρεν. ὡς
μὲν οὖν ἐρρωμένως ἐπέπληξε, δηλοῖ ἡ περὶ τούτου
ἐπιστολή. παρελθὼν δὲ ἐπ' ἄλλης ἡμέρας ἐς τοὺς VI
Ἴωνας, „τίς“ ἔφη „ὁ κρατὴρ οὗτος;“ οἱ δὲ ἔφασαν
„Πανιώνιος.“ ἀρυσάμενος οὖν καὶ σπείσας, „ὦ
θεοί,“ εἶπεν „Ἰώνων ἡγεμόνες, δοίητε τῇ καλῇ ἀποι-
κίᾳ ταύτῃ θαλάττῃ ἀσφαλεῖ χρῆσθαι καὶ μηδὲν τῇ
γῇ κακὸν ἐξ αὐτῆς προσκωμάσαι, μηδ' Αἰγαίωνα
σεισίχθονα τινάξαι ποτὲ τὰς πόλεις.“ τοιαῦτα ἐπε-
θείαζε προορῶν, οἶμαι, τὰ χρόνοις ὕστερον περί τε 67
Σμύρναν περί τε Μίλητον περί τε Χίον καὶ Σάμον
καὶ πολλὰς τῶν Ἰάδων ξυμβάντα.

VII Σπουδῇ δὲ ὁρῶν τοὺς Σμυρναίους ἁπάντων 145 ἁπτομένους λόγων ἐπερρώννυε καὶ σπουδαιοτέρους ἐποίει, φρονεῖν τε ἐκέλευεν ἐφ᾽ ἑαυτοῖς μᾶλλον ἢ τῷ τῆς πόλεως εἴδει, καὶ γάρ, εἰ καὶ καλλίστη πόλεων, ὁπόσαι ὑπὸ ἡλίῳ εἰσί, καὶ τὸ πέλαγος οἰκειοῦται, ζεφύρου τε πηγὰς ἔχει, ἀλλ᾽ ἀνδράσιν ἐστεφανῶσθαι αὐτὴν ἥδιον ἢ στοαῖς τε καὶ γραφαῖς καὶ χρυσῷ πλείονι τοῦ * ὄντος. τὰ μὲν γὰρ οἰκοδομήματα ἐπὶ ταὐτοῦ μένειν οὐδαμοῦ ὁρώμενα πλὴν ἐκείνου τοῦ μέρους τῆς γῆς, ἐν ᾧ ἐστιν, ἄνδρας δὲ ἀγαθοὺς πανταχοῦ μὲν ὁρᾶσθαι, πανταχοῦ δὲ φθέγγεσθαι, τὴν δὲ πόλιν, ἧς γεγόνασιν, ἀποφαίνειν τοσαύτην, ὅσοι περ αὐτοὶ γῆν ἐπελθεῖν δύνανται. ἔλεγε δὲ τὰς μὲν πόλεις τὰς οὕτω καλὰς ἐοικέναι τῷ τοῦ Διὸς ἀγάλματι, ὃς ἐν Ὀλυμπίᾳ τῷ Φειδίᾳ ἐκπεποίηται, καθῆσθαι γὰρ αὐτὸ — οὕτως τῷ δημιουργῷ ἔδοξε — τοὺς δὲ ἄνδρας ἐπὶ πάντα ἥκοντας μηδὲν ἀπεοικέναι τοῦ Ὁμηρείου Διός, ὃς ἐν πολλαῖς ἰδέαις Ὁμήρῳ πεποίηται θαυμασιώτερον ξυγκείμενος τοῦ ἐλεφαντίνου· τὸν μὲν γὰρ ἐν γῇ φαίνεσθαι, τὸν δὲ ἐς πάντα ἐν τῷ οὐρανῷ ὑπονοεῖσθαι.

VIII Καὶ μὴν καὶ περὶ τοῦ πῶς ἂν πόλεις ἀσφαλῶς οἰκοῖντο ξυνεφιλοσόφει τοῖς Σμυρναίοις, διαφερομένους ὁρῶν ἀλλήλοις καὶ μὴ ξυγκειμένους τὰς γνώμας· ἔλεγε γὰρ δὴ τὴν ὀρθῶς οἰκησομένην πόλιν ὁμονοίας στασιαζούσης δεῖσθαι, τούτου δὲ ἀπιθάνως τε καὶ οὐκ ἐς τὸ ἀκόλουθον εἰρῆσθαι δόξαντος, ξυνεὶς ὁ Ἀπολλώνιος, ὅτι μὴ ἕπονται οἱ πολλοὶ τῷ λόγῳ „λευκὸν μὲν“ ἔφη „καὶ μέλαν οὐκ ἄν ποτε ταὐτὸν γένοιτο, οὐδ᾽ ἂν τῷ γλυκεῖ τὸ πικρὸν ὑγιῶς ξυγκραθείη, ὁμόνοια δὲ στασιάσει σωτηρίας ἕνεκα τῶν πόλεων. 146 ὃ δὲ λέγω, τοιοῦτον ἡγώμεθα· στάσις ἡ μὲν

ἐπὶ ξίφη καὶ τὸ καταλιθοῦν ἀλλήλους ἄγουσα ἀπέστω πόλεως, ᾗ παιδοτροφίας τε δεῖ καὶ νόμων καὶ ἀνδρῶν, ἐφ' οἷς λόγοι καὶ ἔργα, φιλοτιμία δὲ ἡ πρὸς ἀλλήλους ὑπὲρ τοῦ κοινοῦ καὶ πῶς ἂν ὁ μὲν γνώμης εἴποι βελτίω γνώμην, ὁ δ' ἑτέρου ἄμεινον ἀρχῆς προσταίη, ὁ δὲ πρεσβεύσειεν, ὁ δ' ἐξοικοδομήσαιτο λαμπρότερον τῆς ἑτέρου ἐπιστατείας, ἔρις, οἶμαι, αὕτη ἀγαθὴ καὶ στάσις πρὸς ἀλλήλους ὑπὲρ τοῦ κοινοῦ. τὸ δ' ἄλλον ἄλλο ἐπιτηδεύοντας ἐς τὸ τῆς πόλεως ὄφελος ξυμφέρειν Λακεδαιμονίοις μὲν εὔηθες ἐδόκει πάλαι, τὰ γὰρ πολεμικὰ ἐξεπονεῖτό (σφισι) καὶ ἐς τοῦτο ἔρρωντο πάντες καὶ τούτου μόνου ἥπτοντο, ἐμοὶ δ' ἄριστον δοκεῖ τὸ πράττειν ἕκαστον, ὅ τι οἶδε καὶ ὅ τι δύναται. εἰ γὰρ ὁ μὲν ἀπὸ δημαγωγίας θαυμασθήσεται, ὁ δὲ ἀπὸ σοφίας, ὁ δὲ ἀπὸ τοῦ ἐς τὸ κοινὸν πλουτεῖν, ὁ δὲ ἀπὸ τοῦ χρηστὸς εἶναι, ὁ δὲ ἀπὸ τοῦ ἐμβριθὴς καὶ μὴ ξυγγνώμων τοῖς ἁμαρτάνουσιν, ὁ δὲ ἀπὸ τοῦ μὴ διαβεβλῆσθαι τὰς χεῖρας, εὖ κείσεται ἡ πόλις, μᾶλλον δὲ ἑστήξει.“ καὶ IX
ἅμα διιὼν ταῦτα ναῦν εἶδε τῶν τριαρμένων ἐκπλέουσαν καὶ τοὺς ναύτας ἄλλον ἄλλως ἐς τὸ ἀνάγεσθαι αὐτὴν πράττοντας. ἐπιστρέφων οὖν τοὺς παρόντας „ὁρᾶτε“ εἶπε „τὸν τῆς νεὼς δῆμον, ὡς οἱ μὲν τὰς ἐφολκίδας ἐμβεβήκασιν ἐρετικοὶ ὄντες, οἱ δ' ἀγκύρας ἀνιμῶσί τε καὶ ἀναρτῶσιν, οἱ δὲ ὑπέχουσι τὰ ἱστία τῷ ἀνέμῳ, οἱ δὲ ἐκ πρύμνης τε καὶ 68
πρῴρας προορῶσιν; εἰ δὲ ἓν τούτων εἷς ἐλλείψει τι τῶν ἑαυτοῦ ἔργων ἢ ἀμαθῶς τῆς ναυτικῆς ἅψεται, πονήρως πλευσοῦνται καὶ ὁ χειμὼν αὐτοὶ δόξουσιν· εἰ δὲ φιλοτιμήσονται πρὸς ἑαυτοὺς καὶ στασιάσουσι μὴ κακίων ἕτερος ἑτέρου δόξαι, καλοὶ μὲν ὅρμοι τῇ νηὶ ταύτῃ, μεστὰ δὲ εὐδίας τε καὶ εὐπλοίας πάντα,

Ποσειδῶν δὲ Ἀσφάλειος ἡ περὶ αὐτοῖς εὐβουλία δόξει.“

X Τοιούτοις μὲν δὴ λόγοις ξυνεῖχε τὴν Σμύρναν,
ἐπεὶ δὲ ἡ νόσος τοῖς Ἐφεσίοις ἐνέπεσε καὶ οὐδὲν 147
ἦν πρὸς αὐτὴν αὔταρκες, ἐπρεσβεύοντο παρὰ τὸν Ἀπολλώνιον, ἰατρὸν ποιούμενοι αὐτὸν τοῦ πάθους, ὁ δὲ οὐκ ᾤετο δεῖν ἀναβάλλεσθαι τὴν ὁδόν, ἀλλ' εἰπὼν „ἴωμεν“ ἦν ἐν Ἐφέσῳ, τοῦ Πυθαγόρου, οἶμαι, ἐκεῖνο πράττων τὸ ἐν Θουρίοις ὁμοῦ καὶ Μεταποντίοις εἶναι. ξυναγαγὼν οὖν τοὺς Ἐφεσίους „θαρσεῖτε,“ ἔφη „τήμερον γὰρ παύσω τὴν νόσον,“ καὶ εἰπὼν ἦγεν ἡλικίαν πᾶσαν ἐπὶ τὸ θέατρον, οὗ τὸ τοῦ Ἀποτροπαίου ἵδρυται. πτωχεύειν δέ τις ἐνταῦθα ἐδόκει γέρων ἐπιμύων τοὺς ὀφθαλμοὺς τέχνῃ, καὶ πήραν ἔφερε καὶ ἄρτου ἐν αὐτῇ τρύφος, ῥάκεσί τε ἠμφίεστο καὶ αὐχμηρῶς εἶχε τοῦ προσώπου. περιστήσας οὖν τοὺς Ἐφεσίους αὐτῷ „βάλλετε τὸν θεοῖς ἐχθρὸν“ εἶπε „ξυλλεξάμενοι τῶν λίθων ὡς πλείστους“. θαυμαζόντων δὲ τῶν Ἐφεσίων, ὅ τι λέγοι, καὶ δεινὸν ἡγουμένων, εἰ ξένον ἀποκτενοῦσιν ἀθλίως οὕτω πράττοντα, καὶ γὰρ ἱκέτευε καὶ πολλὰ ἐπὶ ἐλέῳ ἔλεγεν, ἐνέκειτο παρακελευόμενος τοῖς Ἐφεσίοις ἐρείδειν τε καὶ μὴ ἀνιέναι. ὡς δὲ ἀκροβολισμῷ τινες ἐπ' αὐτῷ ἐχρήσαντο καὶ (ὁ) καταμύειν δοκῶν ἀνέβλεψεν ἀθρόον πυρός τε μεστοὺς τοὺς ὀφθαλμοὺς ἔδειξε, ξυνῆκαν οἱ Ἐφέσιοι τοῦ δαίμονος καὶ κατελίθωσαν οὕτως αὐτόν, ὡς κολωνὸν λίθων περὶ αὐτὸν χώσασθαι. διαλιπὼν δὲ ὀλίγον ἐκέλευσεν ἀφελεῖν τοὺς λίθους, καὶ τὸ θηρίον, ὃ ἀπεκτόνασι, γνῶναι. γυμνωθέντος οὖν τοῦ βεβλῆσθαι δοκοῦντος ὁ μὲν
ἠφάνιστο, κύων δὲ τὸ μὲν εἶδος ὅμοιος τῷ ἐκ Μο- 148
λοττῶν, μέγεθος δὲ κατὰ τὸν μέγιστον λέοντα ξυν-

εἶναι μεμνημένῳ, ἃ ὑπ' αὐτῶν ἔπαθεν ἀπιστησάν-
των πρὸς αὐτὸν ὑπὲρ τοῦ γάμου, ἐγὼ δὲ οὔτε μετέχω
τι τοῦ Ἰλίου διαλέξομαί τε αὐτῷ χαριέστερον ἢ οἱ
τότε ἑταῖροι, κἂν ἀποκτείνῃ με, ὥς φατε, μετὰ Μέ-
μνονος δήπου καὶ Κύκνου κείσομαι καὶ ἴσως με ἐν
καπέτῳ κοίλῃ, καθάπερ τὸν Ἕκτορα, ἡ Τροία θά-
ψει." τοιαῦτα πρὸς τοὺς ἑταίρους ἀναμὶξ παίξας τε
καὶ σπουδάσας προσέβαινε τῷ κολωνῷ μόνος, οἱ δὲ
XII ἐβάδιζον ἐπὶ τὴν ναῦν ἑσπέρας ἤδη. ὁ δὲ Ἀπολλώ-
νιος περὶ ὄρθρον ἥκων „ποῦ" ἔφη „Ἀντισθένης ὁ
Πάριος"; ἑβδόμην δὲ οὗτος ἡμέραν ἐτύγχανεν ἤδη
προσπεφοιτηκὼς αὐτῷ ἐν Ἰλίῳ. ὑπακούσαντος δὲ
τοῦ Ἀντισθένους „προσήκεις τι", ἔφη „ὦ νεανία,
τῇ Τροίᾳ"; „σφόδρα", εἶπεν „εἰμὶ γὰρ δὴ ἄνωθεν
Τρώς". „ἦ καὶ Πριαμίδης;" „νὴ Δί'," εἶπεν „ἐκ
τούτου γὰρ δὴ ἀγαθός τε οἶμαι κἀξ ἀγαθῶν εἶναι".
„εἰκότως οὖν" ἔφη „ὁ Ἀχιλλεὺς ἀπαγορεύει μοι μὴ
ξυνεῖναί σοι, κελεύσαντος γὰρ αὐτοῦ πρεσβεῦσαί με
πρὸς τοὺς Θετταλοὺς περὶ ὧν αἰτιᾶται σφᾶς, ὡς
ἠρόμην, τί ἂν πρὸς τούτῳ ἕτερον πρὸς χάριν αὐτῷ
πράττοιμι, τὸ μειράκιον ἔφη τὸ ἐκ Πάρου μὴ ποιού-
μενος ξυνέμπορον τῆς ἑαυτοῦ σοφίας, Πριαμίδης τε
γὰρ ἱκανῶς ἐστι καὶ τὸν Ἕκτορα ὑμνῶν οὐ παύε-
XIII ται." ὁ μὲν δὴ Ἀντισθένης ἄκων ἀπῆλθεν, ἐπεὶ δὲ
ἡμέρα ἐγένετο καὶ τὸ πνεῦμα ἐκ τῆς γῆς ἐπεδίδου
περί τε ἀναγωγὴν ἡ ναῦς εἶχεν, ἐπέρρεον αὐτῇ σμι-
κρᾷ οὔσῃ πλείους ἕτεροι βουλόμενοι τῷ Ἀπολλωνίῳ
ξυμπλεῖν, καὶ γὰρ μετόπωρον ἤδη ἐτύγχανε καὶ ἡ 150
θάλαττα ἧττον βεβαία. πάντες οὖν καὶ χειμῶνος καὶ
πυρὸς καὶ τῶν χαλεπωτάτων κρείττω τὸν ἄνδρα
ἡγούμενοι ξυνεμβαίνειν ἤθελον καὶ ἐδέοντο προσ-
δοῦναί σφισι τῆς κοινωνίας τοῦ πλοῦ. ἐπεὶ δὲ τὸ

πλήρωμα πολλαπλάσιον ἦν τῆς νεώς, ταύτην μὲν ὡς βραδυτέραν ἐπισκεψάμενος, πολλοὶ δὲ περὶ τὸ Αἰγαῖον ἦσαν „ἐνταῦθα“ ἔφη „ἐμβαίνωμεν, καλὸν γάρ τοι μετὰ πλειόνων σώζεσθαι.“ περιβαλὼν δὲ τὸ Τρωικὸν ἀκρωτήριον, ἐκέλευσε τὸν κυβερνήτην κατασχεῖν ἐς τὴν Αἰολέων, ἣ ἀντιπέρας Λέσβου κεῖται, πρὸς Μήθυμνάν τε μᾶλλον τετραμμένη ποιήσασθαι τὸν ὅρμον. „ἐνταῦθα γάρ που τὸν Παλαμήδην φασὶν ὁ Ἀχιλλεὺς κεῖσθαι, οὗ καὶ ἄγαλμα αὐτοῦ εἶναι πηχυαῖον, ἐν πρεσβυτέρῳ, ἢ ὡς Παλαμήδης, τῷ εἴδει.“ καὶ ἅμα ἐξιὼν τῆς νεὼς „ἀποκαθαίρωμεν“, εἶπεν „ὦ ἄνδρες Ἕλληνες, ἀγαθοῦ ἀνδρός, δι᾽ ὃν σοφία πᾶσα, καὶ γὰρ ἂν καὶ τῶν γε Ἀχαιῶν βελτίους γενοίμεθα, τιμῶντες δι᾽ ἀρετήν, ὃν ἐκεῖνοι δίκῃ οὐδεμιᾷ ἀπέκτειναν.“ οἱ μὲν δὴ ἐξεπήδων τῆς νεώς, ὁ δὲ ἐνέτυχε τῷ τάφῳ καὶ τὸ ἄγαλμα κατορωρυγμένον πρὸς αὐτῷ εὗρεν. ἐπεγέγραπτο δὲ τῇ βάσει τοῦ ἀγάλματος ΘΕΙΩΙ ΠΑΛΑΜΗΔΕΙ. καθιδρύσας οὖν αὐτό, ὡς κἀγὼ εἶδον, καὶ ἱερὸν περὶ αὐτὸ βαλόμενος, ὅσον οἱ τὴν Ἐνοδίαν τιμῶντες, ἔστι γὰρ ὡς δέκα ξυμπότας ἐν αὐτῷ κατακεῖσθαι, τοιάνδε εὐχὴν ηὔξατο· „Παλάμηδες, ἐκλάθου τῆς μήνιδος, ἥν ἐν τοῖς Ἀχαιοῖς ποτε ἐμήνισας, καὶ δίδου γίγνεσθαι πολλούς τε καὶ σοφοὺς ἄνδρας. ναὶ Παλάμηδες, δι᾽ ὃν λόγοι, δι᾽ ὃν Μοῦσαι, δι᾽ ὃν ἐγώ.“

Παρῆλθε καὶ ἐς τὸ τοῦ Ὀρφέως ἄδυτον προσ- XIV
ορμισάμενος τῇ Λέσβῳ. φασὶ δὲ ἐνταῦθά ποτε τὸν 70
Ὀρφέα μαντικῇ χαίρειν, ἔστε τὸν Ἀπόλλω ἐπιμεμελῆσθαι αὐτόν. ἐπειδὴ γὰρ μήτε ἐς Γρύνειον ἐφοίτων ἔτι ὑπὲρ χρησμῶν ἄνθρωποι μήτε ἐς Κλάρον μήτ᾽ ἔνθα ὁ τρίπους ὁ Ἀπολλώνιος, Ὀρφεὺς δὲ ἔχρα

μόνος ἄρτι ἐκ Θρᾴκης ἡ κεφαλὴ ἥκουσα, ἐφίσταταί οἱ χρησμῳδοῦντι ὁ θεὸς καὶ „πέπαυσο“ ἔφη „τῶν ἐμῶν, καὶ γὰρ δὴ (καὶ) ᾄδοντά σε ἱκανῶς ἤνεγκα“.

XV Πλεόντων δὲ αὐτῶν μετὰ ταῦτα τὸ ἐπ' Εὐβοίας πέλαγος, ὃ καὶ Ὁμήρῳ δοκεῖ τῶν χαλεπῶν καὶ δυσμετρήτων εἶναι, ἡ μὲν θάλαττα ὑπτία καὶ τῆς ὥρας κρείττων ἐφαίνετο λόγοι τε ἐγίγνοντο περί τε νήσων, ἐπειδὴ πολλαῖς τε καὶ ὀνομασταῖς ἐνετύγχανον, περί τε ναυπηγίας καὶ κυβερνητικῆς πρόσφοροι τοῖς πλέουσιν, ἐπεὶ δὲ ὁ Δάμις τοὺς μὲν διέβαλλε τῶν λόγων, τοὺς δὲ ὑπετέμνετο, τοὺς δὲ οὐ ξυνεχώρει ἐρωτᾶν, ξυνῆκεν ὁ Ἀπολλώνιος, ὅτι λόγον ἕτερον σπουδάσαι βούλοιτο, καὶ „τί παθών“, ἔφη „ὦ Δάμι, διασπᾷς τὰ ἐρωτώμενα; οὐ γὰρ ναυτιῶν γε ἢ ὑπὸ τοῦ πλοῦ πονήρως ἔχων ἀποστρέφῃ τοὺς λόγους, ἡ γὰρ θάλαττα, ὁρᾷς, ὡς ὑποτέθεικεν ἑαυτὴν τῇ νηὶ καὶ πέμπει. τί οὖν δυσχεραίνεις;“ „ὅτι“ ἔφη „λόγου μεγάλου ἐν μέσῳ ὄντος, ὃν εἰκὸς ἦν ἐρωτᾶν μᾶλλον, ἡμεῖς δὲ τοὺς ἑώλους τε καὶ ἀρχαίους ἐρωτῶμεν.“ „καὶ τίς“ εἶπεν „ὁ λόγος οὗτος εἴη ἄν, δι' ὃν τοὺς ἄλλους ἡγῇ περιττούς;“ „Ἀχιλλεῖ“ ἔφη „ξυγγενόμενος, ὦ Ἀπολλώνιε, καὶ πολλὰ ἴσως διακηκοὼς μήπω ἡμῖν γιγνωσκόμενα οὐ δίει ταῦτα, οὐδὲ τὸ εἶδος ἡμῖν τοῦ Ἀχιλλέως ἀνατυποῖς, περιπλεῖς δὲ τὰς νήσους καὶ ναυπηγεῖς τῷ λόγῳ.“ „εἰ μὴ ἀλαζονεύεσθαι“ ἔφη „δόξω, πάντα εἰρήσεται.“

XVI δεομένων δὲ καὶ τῶν ἄλλων τοῦ λόγου τούτου καὶ 152
φιληκόως ἐχόντων αὐτοῦ „ἀλλ' οὐχὶ βόθρον“ εἶπεν „Ὀδυσσέως ὀρυξάμενος, οὐδὲ ἀρνῶν αἵματι ψυχαγωγήσας ἐς διάλεξιν τοῦ Ἀχιλλέως ἦλθον, ἀλλ' εὐξάμενος, ὁπόσα τοῖς ἥρωσιν Ἰνδοί φασιν εὔχεσθαι, „ὦ Ἀχιλλεῦ,“ ἔφην „τεθνάναι σε οἱ πολλοὶ τῶν ἀνθρώ-

πων φασίν, ἐγὼ δὲ οὐ ξυγχωρῶ τῷ λόγῳ, οὐδὲ Πυ-
θαγόρας σοφίας* ἐμῆς πρόγονος. εἰ δὴ ἀληθεύομεν,
δεῖξον ἡμῖν τὸ σεαυτοῦ εἶδος, καὶ γὰρ ἂν ὄναιο ἄγαν
τῶν ἐμῶν ὀφθαλμῶν, εἰ μάρτυσιν αὐτοῖς τοῦ εἶναι
χρήσαιο.“ ἐπὶ τούτοις σεισμὸς μὲν περὶ τὸν κολωνὸν
βραχὺς ἐγένετο, πεντάπηχυς δὲ νεανίας ἀνεδόθη
Θετταλικὸς τὴν χλαμύδα, τὸ δὲ εἶδος οὐκ ἀλαζὼν
τις ἐφαίνετο, ὡς ἐνίοις ὁ Ἀχιλλεὺς δοκεῖ, δεινός τε
ὁρώμενος οὐκ ἐξήλλαττε τοῦ φαιδροῦ, τὸ δὲ κάλλος
οὔπω μοι δοκεῖ ἐπαινέτου ἀξίου ἐπειλῆφθαι καίτοι
Ὁμήρου πολλὰ ἐπ' αὐτῷ εἰπόντος, ἀλλὰ ἄρρητον
εἶναι καὶ καταλύεσθαι μᾶλλον ὑπὸ τοῦ ὑμνοῦντος
ἢ παραπλησίως ἑαυτῷ ᾄδεσθαι. ὁρώμενος δέ, ὁπό-
σον εἶπον, μείζων ἐγίγνετο καὶ διπλάσιος καὶ ὑπὲρ
τοῦτο, δωδεκάπηχυς γοῦν ἐφάνη μοι, ὅτε δὴ τελεώ-
τατος ἑαυτοῦ ἐγένετο, καὶ τὸ κάλλος ἀεὶ ξυνεπεδίδου
τῷ μήκει. τὴν μὲν δὴ κόμην οὐδὲ κείρασθαί ποτε
ἔλεγεν, ἀλλὰ ἄσυλον φυλάξαι τῷ Σπερχειῷ, ποτα-
μῶν γὰρ πρώτῳ Σπερχειῷ χρήσασθαι, τὰ γένεια δ'
αὐτῷ πρώτας ἐκβολὰς εἶχε. προσειπὼν δέ με „ἀσμέ-
153 νως“ εἶπεν „ἐντετύχηκά σοι, πάλαι δεόμενος ἀνδρὸς
τοιοῦδε· Θετταλοὶ γὰρ τὰ ἐναγίσματα χρόνον ἤδη
πολὺν ἐκλελοίπασί μοι, καὶ μηνίειν μὲν οὔπω ἀξιῶ,
μηνίσαντος γὰρ ἀπολοῦνται μᾶλλον ἢ οἱ ἐνταῦθά
ποτε Ἕλληνες, ξυμβουλίᾳ δὲ ἐπιεικεῖ χρῶμαι, μὴ 71
ὑβρίζειν σφᾶς ἐς τὰ νόμιμα, μηδὲ κακίους ἐλέγχε-
σθαι τουτωνὶ τῶν Τρώων, οἳ τοσούσδε ἄνδρας ὑπ'
ἐμοῦ ἀφαιρεθέντες δημοσίᾳ τε θύουσί μοι καὶ ὡραίων
ἀπάρχονται καὶ ἱκετηρίαν τιθέμενοι σπονδὰς αἰτοῦ-
σιν, ἃς ἐγὼ οὐ δώσω· τὰ γὰρ ἐπιορκηθέντα τούτοις
ἐπ' ἐμὲ οὐκ ἐάσει τὸ Ἴλιόν ποτε τὸ ἀρχαῖον ἀναλα-
βεῖν εἶδος, οὐδὲ τυχεῖν ἀκμῆς, ὁπόση περὶ πολλὰς

τῶν καθῃρημένων ἐγένετο, ἀλλ' οἰκήσουσιν αὐτὸ βελτίους οὐδὲν ἢ εἰ χθὲς ἥλωσαν. ἵν' οὖν μὴ καὶ τὰ Θετταλῶν ἀποφαίνω ὅμοια, πρέσβευε παρὰ τὸ κοινὸν αὐτῶν ὑπὲρ ὧν εἶπον.“ „πρεσβεύσω“, ἔφην „ὁ γὰρ νοῦς τῆς πρεσβείας ἦν μὴ ἀπολέσθαι αὐτούς. ἀλλ' ἐγώ τί σου, Ἀχιλλεῦ, δέομαι.“ „ξυνίημι“, ἔφη „δῆλος γὰρ εἶ περὶ τῶν Τρωικῶν (ἐρωτήσων)· ἐρώτα δὲ λόγους πέντε, οὓς αὐτός τε βούλει καὶ Μοῖραι ξυγχωροῦσιν.“ ἠρόμην οὖν πρῶτον, εἰ κατὰ τὸν τῶν ποιητῶν λόγον ἔτυχε τάφου. „κεῖμαι μέν,“ εἶπεν „ὡς ἔμοιγε ἥδιστον καὶ Πατρόκλῳ ἐγένετο, ξυνέβημεν γὰρ δὴ κομιδῇ νέοι, ξυνέχει δὲ ἄμφω χρυσοῦς ἀμφορεὺς κειμένους, ὡς ἕνα. Μουσῶν δὲ θρῆνοι καὶ Νηρηίδων, οὓς ἐπ' ἐμοὶ γενέσθαι φασί, Μοῦσαι μὲν οὐδ' ἀφίκοντό ποτε ἐνταῦθα, Νηρηίδες δὲ ἔτι φοιτῶσι.“ μετὰ ταῦτα δὲ ἠρόμην, εἰ ἡ Πολυξένη ἐπισφαγείη αὐτῷ, ὁ δὲ ἀληθὲς μὲν ἔφη τοῦτο εἶναι, σφαγῆναι δὲ αὐτὴν οὐχ ὑπὸ τῶν Ἀχαιῶν, ἀλλ' ἑκοῦσαν ἐπὶ τὸ σῆμα ἐλθοῦσαν καὶ τὸν ἑαυτῆς τε κἀκείνου ἔρωτα μεγάλων ἀξιῶσαι προσπεσοῦσαν ξίφει ὀρθῷ. τρίτον ἠρόμην· ἡ Ἑλένη, ὦ Ἀχιλλεῦ, ἐς Τροίαν ἦλθεν ἢ Ὁμήρῳ ἔδοξεν ὑποθέσθαι ταῦτα;“ „πολὺν“ ἔφη „χρόνον ἐξηπατώμεθα πρεσβευόμενοί 154
τε παρὰ τοὺς Τρῶας καὶ ποιούμενοι τὰς ὑπὲρ αὐτῆς μάχας, ὡς ἐν τῷ Ἰλίῳ οὔσης, ἡ δ' Αἴγυπτόν τε ᾤκει καὶ τὸν Πρωτέως οἶκον ἁρπασθεῖσα ὑπὸ τοῦ Πάριδος. ἐπεὶ δὲ ἐπιστεύθη τοῦτο, ὑπὲρ αὐτῆς τῆς Τροίας λοιπὸν ἐμαχόμεθα, ὡς μὴ αἰσχρῶς ἀπέλθοιμεν.“ ἡψάμην καὶ τετάρτης ἐρωτήσεως καὶ θαυμάζειν ἔφην, εἰ τοσούσδε ὁμοῦ καὶ τοιούσδε ἄνδρας ἡ Ἑλλὰς ἤνεγκεν, ὁπόσους Ὅμηρος ἐπὶ τὴν Τροίαν ξυντάττει. ὁ δὲ Ἀχιλλεὺς „οὐδὲ οἱ βάρβαροι“ ἔφη

,,πολὺ ἡμῶν ἐλείποντο, οὕτως ἡ γῆ πᾶσα ἀρετῆς ἤνθησε.‘‘ πέμπτον δ' ἠρόμην· τί παθὼν Ὅμηρος τὸν Παλαμήδην οὐκ οἶδεν, ἢ οἶδε μέν, ἐξαιρεῖ δὲ τοῦ περὶ ὑμῶν λόγου; ,,εἰ Παλαμήδης‘‘ εἶπεν ,,ἐς Τροίαν οὐκ ἦλθεν, οὐδὲ Τροία ἐγένετο· ἐπεὶ δὲ ἀνὴρ σοφώτατός τε καὶ μαχιμώτατος ἀπέθανεν, ὡς Ὀδυσσεῖ ἔδοξεν, οὐκ ἐσάγεται αὐτὸν ἐς τὰ ποιήματα Ὅμηρος, ὡς μὴ τὰ ὀνείδη τοῦ Ὀδυσσέως ᾄδοι.‘‘ καὶ ἐπολοφυράμενος αὐτῷ ὁ Ἀχιλλεὺς ὡς μεγίστῳ τε καὶ καλλίστῳ νεωτάτῳ τε καὶ πολεμικωτάτῳ σωφροσύνῃ τε ὑπερβαλομένῳ πάντας καὶ πολλὰ ξυμβαλομένῳ ταῖς Μούσαις ,,ἀλλὰ σύ,‘‘ ἔφη ,,Ἀπολλώνιε, σοφοῖς γὰρ πρὸς σοφοὺς ἐπιτήδεια, τοῦ τε τάφου ἐπιμελήθητι καὶ τὸ ἄγαλμα τοῦ Παλαμήδους ἀνάλαβε φαύλως ἐρριμμένον· κεῖται δὲ ἐν τῇ Αἰολίδι κατὰ Μήθυμναν τὴν ἐν Λέσβῳ.‘‘ ταῦτα εἰπὼν καὶ ἐπὶ πᾶσι τὰ περὶ τὸν νεανίαν τὸν ἐκ Πάρου ἀπῆλθε ξὺν ἀστραπῇ μετρίᾳ, καὶ γὰρ δὴ καὶ ἀλεκτρυόνες ἤδη ᾠδῆς ἥπτοντο.

155 Τοιαῦτα μὲν τὰ ἐπὶ τῆς νεώς, ἐς δὲ τὸν Πειραιᾶ XVII
ἐσπλεύσας περὶ μυστηρίων ὥραν, ὅτε Ἀθηναῖοι πολυανθρωπότατα Ἑλλήνων πράττουσιν, ἀνῄει ξυντείνας ἀπὸ τῆς νεὼς ἐς τὸ ἄστυ, προιὼν δὲ πολλοῖς τῶν φιλοσοφούντων ἐνετύγχανε Φάληράδε κατιοῦσιν,
ὧν οἱ μὲν γυμνοὶ ἐθέροντο, καὶ γὰρ τὸ μετόπωρον 72
εὐήλιον τοῖς Ἀθηναίοις, οἱ δὲ ἐκ βιβλίων ἐσπούδαζον, οἱ δ' ἀπὸ στόματος ἠσκοῦντο, οἱ δὲ ἤριζον. παρῄει δὲ οὐδεὶς αὐτόν, ἀλλὰ τεκμηράμενοι πάντες, ὡς εἴη Ἀπολλώνιος, ξυνανεστρέφοντό τε καὶ ἠσπάζοντο χαίροντες, νεανίσκοι δὲ ὁμοῦ δέκα περιτυχόντες αὐτῷ ,,νὴ τὴν Ἀθηνᾶν ἐκείνην,‘‘ ἔφασαν ἀνατείναντες τὰς χεῖρας ἐς τὴν ἀκρόπολιν, ,,ἡμεῖς ἄρτι

ἐς Πειραιᾶ ἐβαδίζομεν πλευσόμενοι ἐς Ἰωνίαν παρὰ σέ.“ ὁ δὲ ἀπεδέχετο αὐτῶν καὶ ξυγχαίρειν ἔφη φιλοσοφοῦσιν.

XVIII Ἦν μὲν δὴ Ἐπιδαυρίων ἡμέρα. τὰ δὲ Ἐπιδαύρια μετὰ πρόρρησίν τε καὶ ἱερεῖα δεῦρο μυεῖν Ἀθηναίοις πάτριον ἐπὶ θυσίᾳ δευτέρᾳ, τουτὶ δὲ ἐνόμισαν Ἀσκληπιοῦ ἕνεκα, ὅτι δὴ ἐμύησαν αὐτὸν ἥκοντα Ἐπιδαυρόθεν ὀψὲ μυστηρίων. ἀμελήσαντες δὲ οἱ πολλοὶ τοῦ μυεῖσθαι περὶ τὸν Ἀπολλώνιον εἶχον καὶ τοῦτ᾽ ἐσπούδαζον μᾶλλον ἢ τὸ ἀπελθεῖν τετελεσμένοι, ὁ δὲ ξυνέσεσθαι 156 μὲν αὐτοῖς αὖθις ἔλεγεν, ἐκέλευσε δὲ πρὸς τοῖς ἱεροῖς τότε γίγνεσθαι, καὶ γὰρ αὐτὸς μυεῖσθαι. ὁ δὲ ἱεροφάντης οὐκ ἐβούλετο παρέχειν τὰ ἱερά, μὴ γὰρ ἄν ποτε μυῆσαι γόητα, μηδὲ τὴν Ἐλευσῖνα ἀνοῖξαι ἀνθρώπῳ μὴ καθαρῷ τὰ δαιμόνια. ὁ δὲ Ἀπολλώνιος οὐδὲν ὑπὸ τούτων ἥττων αὑτοῦ γενόμενος „οὔπω“ ἔφη „τὸ μέγιστον, ὧν ἐγὼ ἐγκληθείην ἄν, εἴρηκας, ὅτι περὶ τῆς τελετῆς πλείω ἢ σὺ γιγνώσκων ἐγὼ δὲ ὡς παρὰ σοφώτερον ἐμαυτοῦ μυησόμενος ἦλθον.“ ἐπαινεσάντων δὲ τῶν παρόντων, ὡς ἐρρωμένως καὶ παραπλησίως αὑτῷ ἀπεκρίνατο, ὁ μὲν ἱεροφάντης, ἐπειδὴ ἐξείργων αὐτὸν οὐ φίλα τοῖς πολλοῖς ἐδόκει πράττειν, μετέβαλε τοῦ τόνου καὶ „μυοῦ“, ἔφη „σοφὸς γάρ τις ἥκειν ἔοικας“, ὁ δὲ Ἀπολλώνιος „μυήσομαι“ ἔφη „αὖθις, μυήσει δέ με ὁ δεῖνα“ προγνώσει χρώμενος ἐς τὸν μετ᾽ ἐκεῖνον ἱεροφάντην, ὃς μετὰ τέτταρα ἔτη τοῦ ἱεροῦ προὔστη.

XIX Τὰς δὲ Ἀθήνησι διατριβὰς πλείστας μὲν ὁ Δάμις γενέσθαι φησὶ τῷ ἀνδρί, γράψαι δὲ οὐ πάσας, ἀλλὰ τὰς ἀναγκαίας τε καὶ περὶ μεγάλων σπουδασθείσας. τὴν μὲν δὴ πρώτην διάλεξιν, ἐπειδὴ φιλοθύτας τοὺς Ἀθηναίους εἶδεν, ὑπὲρ ἱερῶν διελέξατο,

καὶ ὡς ἄν τις ἐς τὸ ἑκάστῳ τῶν θεῶν οἰκεῖον καὶ πηνίκα δὲ τῆς ἡμέρας τε καὶ νυκτὸς ἢ θύοι ἢ σπένδοι ἢ εὔχοιτο, καὶ βιβλίῳ Ἀπολλωνίου προστυχεῖν ἐστιν, ἐν ᾧ ταῦτα τῇ ἑαυτοῦ φωνῇ ἐκδιδάσκει. διῆλθε δὲ ταῦτα Ἀθήνησι πρῶτον μὲν ὑπὲρ σοφίας αὑτοῦ τε κἀκείνων, εἶτ' ἐλέγχων τὸν ἱεροφάντην δι' ἃ βλασφήμως τε καὶ ἀμαθῶς εἶπε· τίς γὰρ ἔτι ᾠήθη τὰ δαιμόνια μὴ καθαρὸν εἶναι τὸν φιλοσοφοῦντα, ὅπως οἱ θεοὶ θεραπευτέοι;

157 Διαλεγομένου δὲ αὐτοῦ περὶ τοῦ σπένδειν παρ- XX
έτυχε μὲν τῷ λόγῳ μειράκιον τῶν ἁβρῶν οὕτως ἀσελγὲς νομιζόμενον, ὡς γενέσθαι ποτὲ καὶ ἁμαξῶν ᾆσμα, πατρὶς δὲ αὐτῷ Κέρκυρα ἦν καὶ ἐς Ἀλκίνουν ἀνέφερε τὸν ξένον τοῦ Ὀδυσσέως τὸν Φαίακα, καὶ διῄει μὲν ὁ Ἀπολλώνιος περὶ τοῦ σπένδειν, ἐκέλευε δὲ μὴ πίνειν τοῦ ποτηρίου τούτου, φυλάττειν δὲ αὐτὸ τοῖς θεοῖς ἄχραντόν τε καὶ ἄποτον. ἐπεὶ δὲ καὶ ὦτα ἐκέλευσε τῷ ποτηρίῳ ποιεῖσθαι καὶ σπένδειν κατὰ τὸ οὖς, ἀφ' οὗ μέρους ἥκιστα πίνουσιν ἄνθρωποι, τὸ μειράκιον κατεσκέδασε τοῦ λόγου πλατύν τε καὶ ἀσελγῆ γέλωτα· ὁ δὲ ἀναβλέψας ἐς αὐτὸ „οὐ σὺ“ ἔφη „ταῦτα ὑβρίζεις, ἀλλ' ὁ δαίμων, ὃς ἐλαύνει σε οὐκ εἰδότα.“ ἐλελήθει δὲ ἄρα δαιμονῶν τὸ μειράκιον· ἐγέλα τε γὰρ ἐφ' οἷς οὐδεὶς ἕτερος καὶ μετέβαλλεν ἐς τὸ κλάειν αἰτίαν οὐκ ἔχον, διελέγετό τε πρὸς ἑαυτὸν καὶ ᾖδε. καὶ οἱ μὲν πολλοὶ τὴν νεότητα σκιρτῶσαν ᾤοντο ἐκφέρειν αὐτὸ ἐς ταῦτα, ὁ δ' ὑπεκρίνετο ἄρα τῷ δαίμονι καὶ ἐδόκει παροινεῖν, ἃ ἐπα-
ρῴνει τότε, ὁρῶντός τε ἐς αὐτὸ τοῦ Ἀπολλωνίου, 73
δεδοικότως τε καὶ ὀργίλως φωνὰς ἠφίει τὸ εἴδωλον, ὁπόσαι καομένων τε καὶ στρεβλουμένων εἰσίν, ἀφέξεσθαί τε τοῦ μειρακίου ὤμνυ καὶ μηδενὶ ἀνθρώπων

ἐμπεσεῖσθαι. τοῦ δὲ οἷον δεσπότου πρὸς ἀνδράποδον ποικίλον πανοῦργόν τε καὶ ἀναιδὲς καὶ τὰ τοιαῦτα ξὺν ὀργῇ λέγοντος καὶ κελεύοντος αὐτῷ ξὺν τεκμηρίῳ ἀπαλλάττεσθαι „τὸν δεῖνα“ ἔφη „καταβαλῶ ἀνδριάντα“ δείξας τινὰ τῶν περὶ τὴν Βασίλειον 158 στοάν, πρὸς ᾗ ταῦτα ἐπράττετο· ἐπεὶ δὲ ὁ ἀνδριὰς ὑπεκινήθη πρῶτον, εἶτα ἔπεσε, τὸν μὲν θόρυβον τὸν ἐπὶ τούτῳ καὶ ὡς ἐκρότησαν ὑπὸ θαύματος τί ἄν τις γράφοι; τὸ δὲ μειράκιον, ὥσπερ ἀφυπνίσαν τούς τε ὀφθαλμοὺς ἔτριψε καὶ πρὸς τὰς αὐγὰς τοῦ ἡλίου εἶδεν αἰδῶ τε ἐπεσπάσατο πάντων ἐς αὐτὸ ἐστραμμένων ἀσελγές τε οὐκέτι ἐφαίνετο, οὐδὲ ἄτακτον βλέπον, ἀλλ᾽ ἐπανῆλθεν ἐς τὴν ἑαυτοῦ φύσιν μεῖον οὐδὲν ἢ εἰ φαρμακοποσίᾳ ἐκέχρητο, μεταβαλόν τε τῶν χλανιδίων καὶ ληδίων καὶ τῆς ἄλλης συβάριδος ἐς ἔρωτα ἦλθεν αὐχμοῦ καὶ τρίβωνος καὶ ἐς τὰ τοῦ Ἀπολλωνίου ἤθη ἀπεδύσατο.

XXI Ἐπιπλῆξαι δὲ λέγεται περὶ Διονυσίων Ἀθηναίοις, ἃ ποιεῖταί σφισιν ἐν ὥρᾳ τοῦ ἀνθεστηριῶνος· ὁ μὲν γὰρ μονῳδίας ἀκροασομένους καὶ μελοποιίας παραβάσεών τε καὶ ῥυθμῶν, ὁπόσοι κωμῳδίας τε καὶ τραγῳδίας εἰσίν, ἐς τὸ θέατρον ξυμφοιτᾶν ᾤετο, ἐπεὶ δὲ ἤκουσεν, ὅτι αὐλοῦ ὑποσημήναντος λυγισμοὺς ὀρχοῦνται καὶ μεταξὺ τῆς Ὀρφέως ἐποποιίας τε καὶ θεολογίας τὰ μὲν ὡς Ὧραι, τὰ δὲ ὡς 159 Νύμφαι, τὰ δὲ ὡς Βάκχαι πράττουσιν, ἐς ἐπίπληξιν τούτου κατέστη καὶ „παύσασθε“ εἶπεν „ἐξορχούμενοι τοὺς Σαλαμινίους καὶ πολλοὺς ἑτέρους κειμένους ἀγαθοὺς ἄνδρας, εἰ μὲν γὰρ Λακωνικὴ ταῦτα ὄρχησις, εὖγε οἱ στρατιῶται, γυμνάζεσθε γὰρ πολέμῳ καὶ ξυνορχήσομαι, εἰ δὲ ἁπαλὴ καὶ ἐς τὸ θῆλυ σπεύδουσα, τί φῶ περὶ τῶν τροπαίων; οὐ γὰρ κατὰ

Μήδων ταῦτα ἢ Περσῶν, καθ' ὑμῶν δὲ ἑστήξει, τῶν ἀναθέντων αὐτὰ εἰ λίποισθε. κροκωτοὶ δὲ ὑμῖν καὶ ἁλουργία καὶ κοκκοβαφία τοιαύτη πόθεν; οὐδὲ γὰρ αἱ Ἀχαρναί γε ὧδε ἐστέλλοντο, οὐδὲ ὁ Κολωνὸς ὧδε ἵππευε. καὶ τί λέγω ταῦτα; γυνὴ ναύαρχος ἐκ Καρίας ἐφ' ὑμᾶς ἔπλευσε μετὰ Ξέρξου, καὶ ἦν αὐτῇ γυναικεῖον οὐδέν, ἀλλ' ἀνδρὸς στολὴ καὶ ὅπλα, ὑμεῖς δὲ ἁβρότεροι τῶν Ξέρξου γυναικῶν ἐφ' ἑαυτοὺς στέλλεσθε οἱ γέροντες οἱ νέοι τὸ ἐφηβικόν, οἳ πάλαι
160 μὲν ὤμνυσαν ἐς Ἀγραύλου φοιτῶντες ὑπὲρ τῆς πατρίδος ἀποθανεῖσθαι καὶ ὅπλα θήσεσθαι, νῦν δὲ ἴσως ὀμοῦνται ὑπὲρ τῆς πατρίδος βακχεύσειν καὶ θύρσον λήψεσθαι κόρυν μὲν οὐδεμίαν φέρον, γυναικομίμῳ δὲ μορφώματι, κατὰ τὸν Εὐριπίδην, αἰσχρῶς διαπρέπον. ἀκούω δὲ ὑμᾶς καὶ ἀνέμους γίγνεσθαι καὶ λήδια ἀνασείειν λέγεσθε ἔπιπλα μετεώρως αὐτὰ κολποῦντες. ἔδει δὲ ἀλλὰ τούτους γε αἰδεῖσθαι, ξυμμάχους ὄντας καὶ πνεύσαντας ὑπὲρ ὑμῶν μέγα, μηδὲ τὸν Βορέαν κηδεστήν γε ὄντα καὶ παρὰ πάντας τοὺς ἀνέμους ἄρσενα ποιεῖσθαι θῆλυν, οὐδὲ γὰρ τῆς Ὠρειθυίας ἐραστὴς ἄν ποτε ὁ Βορέας ἐγένετο, εἰ κἀκείνην ὀρχουμένην εἶδε."

Διωρθοῦτο δὲ κἀκεῖνο Ἀθήνησιν· οἱ Ἀθηναῖοι XXII
ξυνιόντες ἐς θέατρον τὸ ὑπὸ τῇ ἀκροπόλει προσεῖχον 74
σφαγαῖς ἀνθρώπων καὶ ἐσπουδάζετο ταῦτα ἐκεῖ μᾶλλον ἢ ἐν Κορίνθῳ νῦν, χρημάτων τε μεγάλων ἐωνημένοι ἤγοντο μοιχοὶ καὶ πόρνοι καὶ τοιχωρύχοι καὶ βαλαντιοτόμοι καὶ ἀνδραποδισταὶ καὶ τὰ τοιαῦτα ἔθνη, οἱ δ' ὥπλιζον αὐτοὺς καὶ ἐκέλευον ξυμπίπτειν. ἐλάβετο δὲ καὶ τούτων ὁ Ἀπολλώνιος καὶ καλούντων αὐτὸν ἐς ἐκκλησίαν Ἀθηναίων οὐκ ἂν ἔφη παρελθεῖν ἐς χωρίον ἀκάθαρτον καὶ λύθρου μεστόν. ἔλεγε

ἐμπεσεῖσθαι. τοῦ δὲ οἷον δεσπότου πρὸς ἀνδράπο-
δον ποικίλον πανοῦργόν τε καὶ ἀναιδὲς καὶ τὰ τοι-
αῦτα ξὺν ὀργῇ λέγοντος καὶ κελεύοντος αὐτῷ ξὺν
τεκμηρίῳ ἀπαλλάττεσθαι „τὸν δεῖνα“ ἔφη „κατα-
βαλῶ ἀνδριάντα“ δείξας τινὰ τῶν περὶ τὴν Βασί- 158
λειον στοάν, πρὸς ᾗ ταῦτα ἐπράττετο· ἐπεὶ δὲ ὁ
ἀνδριὰς ὑπεκινήθη πρῶτον, εἶτα ἔπεσε, τὸν μὲν θό-
ρυβον τὸν ἐπὶ τούτῳ καὶ ὡς ἐκρότησαν ὑπὸ θαύ-
ματος τί ἄν τις γράφοι; τὸ δὲ μειράκιον, ὥσπερ ἀφυ-
πνίσαν τούς τε ὀφθαλμοὺς ἔτριψε καὶ πρὸς τὰς αὐγὰς
τοῦ ἡλίου εἶδεν αἰδῶ τε ἐπεσπάσατο πάντων ἐς αὐτὸ
ἐστραμμένων ἀσελγές τε οὐκέτι ἐφαίνετο, οὐδὲ ἄτα-
κτον βλέπον, ἀλλ' ἐπανῆλθεν ἐς τὴν ἑαυτοῦ φύσιν
μεῖον οὐδὲν ἢ εἰ φαρμακοποσίᾳ ἐκέχρητο, μεταβαλόν
τε τῶν χλανιδίων καὶ ληδίων καὶ τῆς ἄλλης συβάρι-
δος ἐς ἔρωτα ἦλθεν αὐχμοῦ καὶ [illegible]νος καὶ ἐς τ[illegible]
τοῦ Ἀπολλωνίου ἤθη ἀπεδύσα[illegible]

XXI Ἐπιπλῆξαι δὲ λέγεται πε[illegible]ίων Ἀ[illegible]
ναίοις, ἃ ποιεῖταί σφισιν ἐν [illegible]θεστη[illegible]
νος· ὁ μὲν γὰρ μονῳδίας ἀκρο[illegible] καὶ [illegible]
ποιίας παραβάσεών τε καὶ ῥυθμ[illegible]
τε καὶ τραγῳδίας εἶναι, ἐς τὸ[illegible]
ᾤετο, ἐπεὶ δὲ ἤκ[illegible] ὅτι α[illegible]
λυγισμοὺς ὀρχοῦντ[illegible]εται[illegible]
ποιίας τε καὶ θεολ[illegible]
Νύμφαι, τὰ δὲ ὡς [illegible]
τούτου κατέστη κα[illegible]
μενοι τοὺς Σαλαμιν[illegible]
νους ἀγαθοὺς ἄνδρα[illegible]
ὄρχησις, εὖγε οἱ στρα[illegible]
καὶ ξυνορχήσομαι, εἰ [illegible]
δουσα, τί φῶ περὶ [illegible]

Μήδων ταῦτα ἢ Περσῶν, καθ' ὑμῶν δὲ ἑστήξει, τῶν ἀναθέντων αὐτὰ εἰ λίποισθε. κροκωτοὶ δὲ ὑμῖν καὶ ἁλουργία καὶ κοκκοβαφία τοιαύτη πόθεν; οὐδὲ γὰρ αἱ Ἀχαρναί γε ὧδε ἐστέλλοντο, οὐδὲ ὁ Κολωνὸς ὧδε ἵππευε. καὶ τί λέγω ταῦτα; γυνὴ ναύαρχος ἐκ Καρίας ἐφ' ὑμᾶς ἔπλευσε μετὰ Ξέρξου, καὶ ἦν αὐτῇ γυναικεῖον οὐδέν, ἀλλ' ἀνδρὸς στολὴ καὶ ὅπλα, ὑμεῖς δὲ ἁβρότεροι τῶν Ξέρξου γυναικῶν ἐφ' ἑαυτοὺς στέλλεσθε οἱ γέροντες οἱ νέοι τὸ ἐφηβικόν, οἳ πάλαι
160 μὲν ὤμνυσαν ἐς Ἀγραύλου φοιτῶντες ὑπὲρ τῆς πατρίδος ἀποθανεῖσθαι καὶ ὅπλα θήσεσθαι, νῦν δὲ ἴσως ὀμοῦνται ὑπὲρ τῆς πατρίδος βακχεύσειν καὶ θύρσον λήψεσθαι κόρυν μὲν οὐδεμίαν φέρον, γυναικομίμῳ δὲ μορφώματι, κατὰ τὸν Εὐριπίδην, αἰσχρῶς
…ον. ἀκούω δὲ ὑμᾶς καὶ ἀνέμους γίγνεσθαι
… ἀνασείειν λέγεσθε ἔπιπλα μετεώρως αὐτὰ
… ἔδει δὲ ἀλλὰ τούτους γε αἰδεῖσθαι, ξυμ-
…νεύσαντας ὑπὲρ ὑμῶν μέγα, μηδὲ
…γε ὄντα καὶ παρὰ πάντας τοὺς
…σθαι θῆλυν, οὐδὲ γὰρ τῆς
… ποτε ὁ Βορέας ἐγένετο, εἰ
…θε."

…νο Ἀθήνησιν· οἱ Ἀθηναῖοι XXII
…ὑπὸ τῇ ἀκροπόλει προσεῖχον 74
…σπουδάζετο ταῦτα ἐκεῖ μᾶλ-
…ημάτων τε μεγάλων ἐωνη-
…τόρνοι καὶ τοιχωρύχοι καὶ
…ποδισταὶ καὶ τὰ τοιαῦτα
…ς καὶ ἐκέλευον ξυμπίπτειν.
…πολλώνιος καὶ καλούντων
…αίων οὐκ ἂν ἔφη…
…καὶ λύθρου μεσ…

δὲ ταῦτα ἐν ἐπιστολῇ. καὶ θαυμάζειν ἔλεγεν „ὅπως ἡ θεὸς οὐ καὶ τὴν ἀκρόπολιν ἤδη ἐκλείπει τοιοῦτον 161
αἷμα ὑμῶν ἐκχεόντων αὐτῇ. δοκεῖτε γάρ μοι προϊόντες, ἐπειδὰν τὰ Παναθήναια πέμπητε, μηδὲ βοῦς ἔτι, ἀλλ' ἑκατόμβας ἀνθρώπων καταθύσειν τῇ θεῷ. σὺ δέ, Διόνυσε, μετὰ τοιοῦτον αἷμα ἐς τὸ θέατρον φοιτᾷς; κἀκεῖ σοι σπένδουσιν οἱ σοφοὶ Ἀθηναῖοι; μετάστηθι καὶ σύ, Διόνυσε· Κιθαιρὼν καθαρώτερος.“ τοιάδε εὗρον τὰ σπουδαιότατα τῶν φιλοσοφηθέντων Ἀθήνησιν αὐτῷ τότε.

XXIII *Ἐπρέσβευσε δὲ καὶ παρὰ τοὺς Θετταλοὺς ὑπὲρ τοῦ Ἀχιλλέως κατὰ τοὺς ἐν Πυλαίᾳ ξυλλόγους, ἐν οἷς οἱ Θετταλοὶ τὰ Ἀμφικτυονικὰ πράττουσιν, οἱ δὲ δείσαντες ἐψηφίσαντο ἀναλαβεῖν τὰ προσήκοντα τῷ τάφῳ. καὶ τὸ Λεωνίδου σῆμα τοῦ Σπαρτιάτου μονονοὺ περιέβαλεν ἀγασθεὶς τὸν ἄνδρα. ἐπὶ δὲ τὸν κολωνὸν βαδίζων, ἐφ' οὗ λέγονται Λακεδαιμόνιοι περιχωσθῆναι τοῖς τοξεύμασιν, ἤκουσε τῶν ὁμιλητῶν διαφερομένων ἀλλήλοις, ὅ τι εἴη τὸ ὑψηλότατον τῆς Ἑλλάδος, παρεῖχε δὲ ἄρα τὸν λόγον ἡ Οἴτη τὸ ὄρος ἐν ὀφθαλμοῖς οὖσα, καὶ ἀνελθὼν ἐπὶ τὸν λόφον, „ἐγὼ“ ἔφη „τὸ ὑψηλότατον τοῦτο ἡγοῦμαι, οἱ γὰρ ἐνταῦθα ὑπὲρ ἐλευθερίας ἀποθανόντες ἀνταvήγαγον αὐτὸ τῇ Οἴτῃ καὶ ὑπὲρ πολλοὺς Ὀλύμπους ἦραν. ἐγὼ δὲ ἄγαμαι μὲν καὶ τούσδε τοὺς ἄνδρας, τὸν δὲ Ἀκαρνᾶνα Μεγιστίαν καὶ πρὸ τούτων, ἃ γὰρ πεισο-* 162
μένους ἐγίγνωσκε, τούτων ἐπεθύμησε κοινωνῆσαι τοῖς ἀνδράσιν, οὐ τὸ ἀποθανεῖν δείσας, ἀλλὰ τὸ μετὰ τοιῶνδε μὴ τεθνάναι.

XXIV *Ἐπεφοίτησε δὲ καὶ τοῖς Ἑλληνικοῖς ἱεροῖς πᾶσι τῷ τε Δωδωναίῳ καὶ τῷ Πυθικῷ καὶ τῷ ἐν Ἄβαις, ἐς Ἀμφιάρεω τε καὶ* Τροφωνίου ἐβάδισε καὶ ἐς τὸ

Μουσεῖον τὸ ἐν Ἑλικῶνι ἀνέβη. φοιτῶντι δὲ ἐς τὰ ἱερὰ καὶ διορθουμένῳ αὐτὰ ξυνεφοίτων μὲν οἱ ἱερεῖς, ἠκολούθουν δὲ οἱ γνώριμοι, λόγων τε κρατῆρες ἵσταντο καὶ ἠρύοντο αὐτῶν οἱ διψῶντες. ὄντων δὲ καὶ Ὀλυμπίων καὶ καλούντων αὐτὸν Ἠλείων ἐπὶ κοινωνίαν τοῦ ἀγῶνος „δοκεῖτέ μοι“ ἔφη „διαβάλλειν τὴν τῶν Ὀλυμπίων δόξαν πρεσβειῶν δεόμενοι πρὸς τοὺς αὐτόθεν ἥξοντας.“ γενόμενος δὲ κατὰ τὸν Ἰσθμὸν μυκησαμένης τῆς περὶ τὸ Λέχαιον θαλάττης „οὗτος“ εἶπεν „ὁ αὐχὴν τῆς γῆς τετμήσεται, μᾶλλον δὲ οὔ.“ εἶχε δὲ αὐτῷ καὶ τοῦτο πρόρρησιν τῆς μικρὸν ὕστερον περὶ τὸν Ἰσθμὸν τομῆς, ἣν μετὰ ἔτη ἑπτὰ Νέρων διενοήθη· τὰ γὰρ βασίλεια ἐκλιπὼν ἐς τὴν Ἑλλάδα ἀφίκετο κηρύγμασιν ὑποθήσων ἑαυτὸν Ὀλυμπικοῖς τε καὶ Πυθικοῖς, ἐνίκα δὲ καὶ
163 *Ἰσθμοῖ· αἱ δὲ νῖκαι ἦσαν κιθαρῳδίαι καὶ κήρυκες, ἐνίκα δὲ καὶ τραγῳδοὺς ἐν Ὀλυμπίᾳ. τότε λέγεται καὶ τῆς περὶ τὸν Ἰσθμὸν καινοτομίας ἅψασθαι περίπλουν αὐτὸν ἐργαζόμενος καὶ τὸν Αἰγαῖον τῷ Ἀδρίᾳ ξυμβάλλων, ὡς μὴ πᾶσα ναῦς ὑπὲρ Μαλέαν πλέοι* 75
κομίζοιντό τε αἱ πολλαὶ διὰ τοῦ ῥήγματος ξυντέμνουσαι τὰς περιβολὰς τοῦ πλοῦ. πῇ δὲ ἀπέβη τὸ τοῦ Ἀπολλωνίου λόγιον; ἡ ὀρυχὴ τὴν ἀρχὴν ἀπὸ Λεχαίου λαβοῦσα στάδια προὔβη ἴσως τέτταρα ξυνεχῶς ὀρυττόντων, σχεῖν δὲ λέγεται Νέρων τὴν τομὴν οἱ μὲν Αἰγυπτίων φιλοσοφησάντων αὐτῷ τὰς θαλάττας καὶ τὸ ὑπὲρ Λεχαίου πέλαγος ὑπερχυθὲν ἀφανιεῖν εἰπόντων τὴν Αἴγιναν, οἱ δὲ νεώτερα περὶ τῇ ἀρχῇ δείσαντα. τοιοῦτον μὲν δὴ τοῦ Ἀπολλωνίου τὸ τὸν Ἰσθμὸν τετμήσεσθαι καὶ οὐ τετμήσεσθαι.

Ἐν Κορίνθῳ δὲ φιλοσοφῶν ἐτύγχανε τότε Δημή- XXV
164 *τριος ἀνὴρ ξυνειληφὼς ἅπαν τὸ ἐν Κυνικῇ κράτος,*

οὗ Φαβωρῖνος ὕστερον ἐν πολλοῖς τῶν ἑαυτοῦ λόγων οὐκ ἀγεννῶς ἐπεμνήσθη, παθὼν δὲ πρὸς τὸν Ἀπολλώνιον, ὅπερ φασὶ τὸν Ἀντισθένην πρὸς τὴν τοῦ Σωκράτους σοφίαν παθεῖν, εἵπετο αὐτῷ μαθητιῶν καὶ προσκείμενος τοῖς λόγοις καὶ τῶν αὐτῷ γνωρίμων τοὺς εὐδοκιμωτέρους ἐπὶ τὸν Ἀπολλώνιον ἔτρεπεν, ὧν καὶ Μένιππος ἦν ὁ Λύκιος ἔτη μὲν γεγονὼς πέντε καὶ εἴκοσι, γνώμης δὲ ἱκανῶς ἔχων καὶ τὸ σῶμα εὖ κατεσκευασμένος, ἐῴκει γοῦν ἀθλητῇ καλῷ καὶ ἐλευθερίῳ τὸ εἶδος. ἐρᾶσθαι δὲ τὸν Μένιππον οἱ πολλοὶ ᾤοντο ὑπὸ γυναίου ξένου, τὸ δὲ γύναιον καλή τε ἐφαίνετο καὶ ἱκανῶς ἁβρὰ καὶ πλουτεῖν ἔφασκεν, οὐδὲν δὲ τούτων ἄρα ἀτεχνῶς ἦν, ἀλλὰ ἐδόκει πάντα. κατὰ γὰρ τὴν ὁδὸν τὴν ἐπὶ Κεγχρεὰς βαδίζοντι αὐτῷ μόνῳ φάσμα ἐντυχὸν γυνή τε ἐγένετο καὶ χεῖρα ξυνῆψεν ἐρᾶν αὐτοῦ πάλαι φάσκουσα, Φοίνισσα δὲ εἶναι καὶ οἰκεῖν ἐν προαστείῳ τῆς Κορίνθου, τὸ δεῖνα εἰποῦσα προάστειον, „ἐς ὃ ἑσπέρας“ ἔφη „ἀφικομένῳ σοι ᾠδή τε ὑπάρξει ἐμοῦ ᾀδούσης καὶ οἶνος, οἷον οὔπω ἔπιες, καὶ οὐδὲ ἀντεραστὴς ἐνοχλήσει σε, βιώσομαι δὲ καλὴ ξὺν καλῷ.“ τούτοις ὑπαχθεὶς ὁ νεανίας, τὴν μὲν γὰρ ἄλλην φιλοσοφίαν ἔρρωτο, τῶν δὲ ἐρωτικῶν ἥττητο, ἐφοίτησε περὶ ἑσπέραν αὐτῇ καὶ τὸν λοιπὸν χρόνον ἐθάμιζεν, ὥσπερ παιδικοῖς, οὔπω ξυνεὶς τοῦ φάσματος. ὁ δὲ Ἀπολλώνιος ἀνδριαντοποιοῦ δίκην ἐς τὸν Μένιππον βλέπων ἐξωγράφει τὸν νεανίαν καὶ ἐθεώρει, καταγνοὺς δὲ αὐτὸν „σὺ μέντοι“ εἶπεν „ὁ καλός τε καὶ 165
ὑπὸ τῶν καλῶν γυναικῶν θηρευόμενος ὄφιν θάλπεις καὶ σὲ ὄφις.“ θαυμάσαντος δὲ τοῦ Μενίππου „ὅτι γυνή σοι“ ἔφη „ἐστὶν οὐ γαμετή. τί δέ; ἡγῇ ὑπ᾿ αὐτῆς ἐρᾶσθαι; „νὴ Δί᾿,“ εἶπεν „ἐπειδὴ διάκειται

πρός με ὡς ἐρῶσα.“ „καὶ γήμαις δ' ἂν αὐτήν;“ ἔφη. „χαρίεν γὰρ ἂν εἴη τὸ ἀγαπῶσαν γῆμαι.“ ἤρετο οὖν „πηνίκα οἱ γάμοι;“ „θερμοὶ“ ἔφη „καὶ ἴσως αὔριον.“ ἐπιφυλάξας οὖν τὸν τοῦ συμποσίου καιρὸν ὁ Ἀπολλώνιος καὶ ἐπιστὰς τοῖς δαιτυμόσιν ἄρτι ἥκουσι „ποῦ“ ἔφη „ἡ ἁβρά, δι' ἣν ἥκετε;“ „ἐνταῦθα“ εἶπεν ὁ Μένιππος καὶ ἅμα ὑπανίστατο ἐρυθριῶν. „ὁ δὲ ἄργυρος καὶ ὁ χρυσὸς καὶ τὰ λοιπά, οἷς ὁ ἀνδρὼν κεκόσμηται, ποτέρου ὑμῶν;“ „τῆς γυναικός,“ ἔφη „τἀμὰ γὰρ τοσαῦτα“ δείξας τὸν ἑαυτοῦ τρίβωνα. ὁ δὲ Ἀπολλώνιος „τοὺς Ταντάλου κήπους“ ἔφη „εἴδετε, ὡς ὄντες οὐκ εἰσί;“ „παρ' Ὁμήρῳ γε,“ ἔφασαν „οὐ γὰρ ἐς Ἅιδου γε καταβάντες.“ „τοῦτ'“ ἔφη „καὶ τουτονὶ τὸν κόσμον ἡγεῖσθε, οὐ γὰρ ὕλη ἐστίν, ἀλλὰ ὕλης δόξα. ὡς δὲ γιγνώσκοιτε, ὃ λέγω, ἡ χρηστὴ νύμφη μία τῶν ἐμπουσῶν ἐστιν, ἃς λαμίας τε καὶ μορμολυκίας οἱ πολλοὶ ἡγοῦνται. ἐρῶσι δ' αὗται καὶ ἀφροδισίων μέν, σαρκῶν δὲ μάλιστα ἀνθρωπείων ἐρῶσι καὶ παλεύουσι τοῖς ἀφροδισίοις, οὓς ἂν ἐθέλωσι δαίσασθαι.“ ἡ δὲ „εὐ- 76
φήμει“ ἔλεγε „καὶ ἄπαγε“ καὶ μυσάττεσθαι ἐδόκει, ἃ ἤκουε, καί που καὶ ἀπέσκωπτε τοὺς φιλοσόφους, ὡς ἀεὶ ληροῦντας. ἐπεὶ μέντοι τὰ ἐκπώματα τὰ χρυσᾶ καὶ ὁ δοκῶν ἄργυρος ἀνεμιαῖα ἠλέγχθη καὶ διέπτη τῶν ὀφθαλμῶν ἅπαντα οἰνοχόοι τε καὶ ὀψοποιοὶ καὶ ἡ τοιαύτη θεραπεία πᾶσα ἠφανίσθησαν
166 ἐλεγχόμενοι ὑπὸ τοῦ Ἀπολλωνίου, δακρύοντι ἐῴκει τὸ φάσμα καὶ ἐδεῖτο μ` βασανίζειν αὐτό, μηδὲ ἀναγκάζειν ὁμολογεῖν, ὅ τι εἴη, ἐπικειμένου δὲ καὶ μὴ ἀνιέντος ἔμπουσά τε εἶναι ἔφη καὶ πιαίνειν ἡδοναῖς τὸν Μένιππον ἐς βρῶσιν τοῦ σώματος, τὰ γὰρ καλὰ τῶν σωμάτων καὶ νέα σιτεῖσθαι ἐνόμιζεν, ἐπειδὴ

ἀκραιφνὲς αὐτοῖς τὸ αἷμα. τοῦτον τὸν λόγον γνωριμώτατον τῶν Ἀπολλωνίου τυγχάνοντα ἐξ ἀνάγκης ἐμήκυνα, γιγνώσκουσι μὲν γὰρ πλείους αὐτόν, ἅτε καθ' Ἑλλάδα μέσην πραχθέντα, ξυλλήβδην δὲ αὐτὸν παρειλήφασιν, ὅτι ἕλοι ποτὲ ἐν Κορίνθῳ λάμιαν, ὅ τι μέντοι πράττουσαν καὶ ὅτι ὑπὲρ Μενίππου, οὔπω γιγνώσκουσιν, ἀλλὰ Δάμιδί τε καὶ ἐκ τῶν ἐκείνου λόγων ἐμοὶ εἴρηται.

XXVI Τότε καὶ πρὸς Βάσσον διηνέχθη τὸν ἐκ τῆς Κορίνθου, πατραλοίας γὰρ οὗτος καὶ ἐδόκει καὶ ἐπεπίστευτο, σοφίαν δὲ ἑαυτοῦ κατεψεύδετο καὶ χαλινὸς οὐκ ἦν ἐπὶ τῇ γλώττῃ. λοιδορούμενον δὲ αὐτὸν ἐπέσχεν ὁ Ἀπολλώνιος οἷς τε ἐπέστειλεν οἷς τε διελέχθη κατ' αὐτοῦ. πᾶν γάρ, ὅπερ ὡς ἐς πατραλοίαν ἔλεγεν, ἀληθὲς ἐδόκει, μὴ γὰρ ἄν ποτε τοιόνδε ἄνδρα ἐς λοιδορίαν ἐκπεσεῖν, μηδ' ἂν εἰπεῖν τὸ μὴ ὄν.

XXVII Τὰ δὲ ἐν Ὀλυμπίᾳ τοῦ ἀνδρὸς τοιαῦτα· ἀνιόντι τῷ Ἀπολλωνίῳ ἐς Ὀλυμπίαν ἐνέτυχον Λακεδαιμονίων πρέσβεις ὑπὲρ ξυνουσίας, Λακωνικὸν δὲ οὐδὲν περὶ αὐτοὺς ἐφαίνετο, ἀλλ' ἁβρότερον αὐτῶν εἶχον καὶ συβάριδος μεστοὶ ἦσαν. ἰδὼν δὲ ἄνδρας λείους τὰ σκέλη λιπαροὺς τὰς κόμας καὶ μηδὲ γενείοις χρωμένους, ἀλλὰ καὶ τὴν ἐσθῆτα μαλακούς, τοιαῦτα πρὸς 167 τοὺς ἐφόρους ἐπέστειλεν, ὡς ἐκείνους κήρυγμα ποιήσασθαι δημοσίᾳ τήν τε πίτταν τῶν βαλανείων ἐξαιροῦντας καὶ τὰς παρατιλτρίας ἐξελαύνοντας ἐς τὸ ἀρχαῖόν τε καθισταμένους πάντα, ὅθεν παλαῖστραί τε ἀνήβησαν καὶ σπουδαὶ καὶ τὰ φιλίτια ἐπανῆλθε καὶ ἐγένετο ἡ Λακεδαίμων ἑαυτῇ ὁμοία. μαθὼν δὲ αὐτοὺς τὰ οἴκοι διορθουμένους ἔπεμψεν ἐπιστολὴν ἀπ' Ὀλυμπίας βραχυτέραν τῆς Λακωνικῆς σκυτάλης. ἔστι δὲ ἥδε·

„*Ἀπολλώνιος ἐφόροις χαίρειν.*

Ἀνδρῶν μὲν τὸ μὴ ἁμαρτάνειν, γενναίων δὲ τὸ καὶ ἁμαρτάνοντας αἰσθέσθαι.“

Ἰδὼν δὲ ἐς τὸ ἕδος τὸ ἐν Ὀλυμπίᾳ „χαῖρε,“ XXVIII εἶπεν „ἀγαθὲ Ζεῦ, σὺ γὰρ οὕτω τι ἀγαθός, ὡς καὶ σαυτοῦ κοινωνῆσαι τοῖς ἀνθρώποις.“ ἐξηγήσατο δὲ
168 καὶ τὸν χαλκοῦν Μίλωνα καὶ τὸν λόγον τοῦ περὶ αὐτὸν σχήματος. ὁ γὰρ Μίλων ἑστάναι μὲν ἐπὶ δίσκου δοκεῖ τὼ πόδε ἄμφω συμβεβηκώς, ῥόαν δὲ ξυνέχει τῇ ἀριστερᾷ, ἡ δεξιὰ δέ, ὀρθοὶ τῆς χειρὸς ἐκείνης οἱ δάκτυλοι καὶ οἷον διείροντες. οἱ μὲν δὴ κατ' Ὀλυμπίαν τε καὶ Ἀρκαδίαν λόγοι τὸν ἀθλητὴν ἱστοροῦσι τοῦτον ἄτρεπτον γενέσθαι καὶ μὴ ἐκβιβασθῆναί ποτε τοῦ χώρου, ἐν ᾧ ἔστη, δηλοῦσθαι δὲ τὸ μὲν ἀπρὶξ τῶν δακτύλων ἐν τῇ ξυνοχῇ τῆς ῥόας, 77 τὸ δὲ μηδ' ἂν σχισθῆναί ποτ' ἀπ' ἀλλήλων αὐτούς, εἴ τις πρὸς ἕνα αὐτῶν ἁμιλλῷτο, τῷ τὰς διαφυὰς ἐν ὀρθοῖς τοῖς δακτύλοις εὖ ξυνηρμόσθαι, τὴν ταινίαν δέ, ἣν ἀναδεῖται, σωφροσύνης ἡγοῦνται ξύμβολον. ὁ δὲ Ἀπολλώνιος σοφῶς μὲν εἶπεν ἐπινενοῆσθαι ταῦτα, σοφώτερα δὲ εἶναι τὰ ἀληθέστερα. „ὡς δὲ γιγνώσκοιτε τὸν νοῦν τοῦ Μίλωνος, Κροτωνιᾶται τὸν ἀθλητὴν τοῦτον ἱερέα ἐστήσαντο τῆς Ἥρας. τὴν μὲν δὴ μίτραν ὅ τι χρὴ νοεῖν, τί ἂν ἐξηγοίμην ἔτι, μνημονεύσας ἱερέως ἀνδρός; ἡ ῥόα δὲ μόνη φυτῶν
169 τῇ Ἥρᾳ φύεται, ὁ δὲ ὑπὸ τοῖς ποσὶ δίσκος, ἐπὶ ἀσπιδίου βεβηκὼς ὁ ἱερεὺς τῇ Ἥρᾳ εὔχεται, τουτὶ δὲ καὶ ἡ δεξιὰ σημαίνει, τὸ δὲ ἔργον τῶν δακτύλων καὶ τὸ μήπω διεστὼς τῇ ἀρχαίᾳ ἀγαλματοποιίᾳ προσκείσθω.“

Παρατυγχάνων δὲ τοῖς δρωμένοις ἀπεδέχετο XXIX [τῶν] Ἠλείων, ὡς ἐπεμελοῦντό τε αὐτῶν καὶ ξὺν

κόσμῳ ἕδρων μεῖόν τε οὐδὲν ἢ οἱ ἀγωνιούμενοι τῶν ἀθλητῶν κρίνεσθαι ᾤοντο καὶ μήθ' ἑκόντες τι μήτ' ἄκοντες ἁμαρτάνειν προὐνοοῦντο. ἐρομένων δ' αὐτὸν τῶν ἑταίρων, τίνας Ἠλείους περὶ τὴν διάθεσιν τῶν Ὀλυμπίων ἡγοῖτο, „εἰ μὲν σοφούς," ἔφη „οὐκ οἶδα, σοφιστάς μέντοι."

XXX Ὡς δὲ καὶ διεβέβλητο πρὸς τοὺς οἰομένους ξυγγράφειν καὶ ἀμαθεῖς ἡγεῖτο τοὺς ἁπτομένους λόγου μείζονος, ὑπάρχει μαθεῖν ἐκ τῶνδε· μειράκιον γὰρ δοκησίσοφον ἐντυχὸν αὐτῷ περὶ τὸ ἱερὸν „συμπροθυμήθητί μοι" ἔφη „αὔριον, ἀναγνώσομαι γάρ τι". τοῦ δὲ Ἀπολλωνίου ἐρομένου, ὅ τι ἀναγνώσοιτο, „λόγος" εἶπε „ξυντέτακταί μοι ἐς τὸν Δία." καὶ ἅμα ὑπὸ τῷ ἱματίῳ ἐπεδείκνυ αὐτὸν σεμνυνόμενος τῇ παχύτητι τοῦ βιβλίου. „τί οὖν" ἔφη „ἐπαινέσῃ τοῦ Διός; ἢ τὸν Δία τὸν ἐνταῦθα καὶ τὸ μηδὲν εἶναι τῶν ἐν τῇ γῇ ὅμοιον;" „καὶ τοῦτο μέν," ἔφη „πολλὰ δὲ πρὸ τούτου καὶ ἐπὶ τούτῳ ἕτερα, καὶ γὰρ 170
αἱ ὧραι καὶ τὰ ἐν τῇ γῇ καὶ τὰ ὑπὲρ τὴν γῆν καὶ ἀνέμους εἶναι καὶ ἄστρα Διὸς πάντα." ὁ δὲ Ἀπολλώνιος „δοκεῖς μοι" εἶπεν „ἐγκωμιαστικός τις εἶναι σφόδρα". „διὰ τοῦτο" ἔφη „καὶ ποδάγρας ἐγκώμιόν τί μοι ξυντέτακται καὶ τοῦ τυφλόν τινα ἢ κωφὸν εἶναι." „ἀλλὰ μηδὲ τοὺς ὑδέρους" εἶπε „μηδὲ τοὺς κατάρρους ἀποκήρυττε τῆς ἑαυτοῦ σοφίας, εἰ βούλοιο ἐπαινεῖν τὰ τοιαῦτα, βελτίων δὲ ἔσῃ καὶ τοῖς ἀποθνήσκουσιν ἑπόμενος καὶ διιὼν ἐπαίνους τῶν νοσημάτων, ὑφ' ὧν ἀπέθανον, ἧττον γὰρ ἐπ' αὐτοῖς ἀνιάσονται πατέρες τε καὶ παῖδες καὶ οἱ ἀγχοῦ τῶν ἀποθανόντων." κεχαλινωμένον δὲ ἰδὼν τὸ μειράκιον ὑπὸ τοῦ λόγου „ὁ ἐγκωμιάζων", εἶπεν „ὦ ξυγγραφεῦ, πότερον ἃ οἶδεν ἐπαινέσεται ἄμεινον ἢ

ἃ οὐκ οἶδεν;" „ἃ οἶδεν," ἔφη „πῶς γὰρ ἄν τις ἐπαινοῖ, ἃ οὐκ οἶδε;" „τὸν πατέρα οὖν ἤδη ποτὲ τὸν σαυτοῦ ἐπῄνεσας;" „ἐβουλήθην," εἶπεν „ἀλλ' ἐπεὶ μέγας τι μοι δοκεῖ καὶ γενναῖος ἀνθρώπων τε ὧν οἶδα κάλλιστος οἶκόν τε ἱκανὸς οἰκῆσαι καὶ σοφίᾳ ἐς πάντα χρῆσθαι, παρῆκα τὸν ἐς αὐτὸν ἔπαινον, ὡς μὴ αἰσχύνοιμι τὸν πατέρα λόγῳ ἥττονι." δυσχεράνας οὖν ὁ Ἀπολλώνιος, τουτὶ δὲ πρὸς τοὺς φορτικοὺς τῶν ἀνθρώπων ἔπασχεν „εἶτα", ἔφη „ὦ κάθαρμα, τὸν μὲν πατέρα τὸν σεαυτοῦ, ὃν ἴσα καὶ σεαυτὸν γιγνώσκεις, οὐκ ἄρ' οἴει πότ' ἂν ἱκανῶς ἐπαινέσαι, τὸν δ' ἀνθρώπων καὶ θεῶν πατέρα καὶ δημιουργὸν τῶν ὅλων, ὅσα περὶ ἡμᾶς καὶ ὑπὲρ ἡμᾶς ἐστιν, εὐκόλως οὕτως ἐγκωμιάζων οὔθ', ὃν ἐπαινεῖς, δέδιας, οὔτε ξυνίης ἐς λόγον καθιστάμενος μείζονα ἀνθρώπου;"

Αἱ δὲ ἐν Ὀλυμπίᾳ διαλέξεις τῷ Ἀπολλωνίῳ περὶ XXXI
τῶν χρησιμωτάτων ἐγίγνοντο, περὶ σοφίας τε καὶ 78
ἀνδρείας καὶ σωφροσύνης καὶ καθάπαξ, ὁπόσαι ἀρεταί εἰσι, περὶ τούτων ἀπὸ τῆς κρηπῖδος τοῦ νεὼ
171 διελέγετο πάντας ἐκπλήττων οὐ ταῖς διανοίαις μόνον, ἀλλὰ καὶ ταῖς ἰδέαις τοῦ λόγου. περιστάντες δὲ αὐτὸν οἱ Λακεδαιμόνιοι ξένον τε παρὰ τῷ Διὶ ἐποιοῦντο καὶ τῶν οἴκοι νέων πατέρα βίου τε νομοθέτην καὶ γερόντων γέρας. ἐρομένου δὲ Κορινθίου τινὸς κατὰ ἀχθηδόνα, εἰ καὶ θεοφάνια αὐτῷ ἄξουσι, „ναὶ τὼ Σιώ," ἔφη, „ἕτοιμά γε". ὁ δὲ Ἀπολλώνιος ἀπήγαγεν αὐτοὺς τῶν τοιούτων, ὡς μὴ φθονοῖτο. ἐπεὶ δὲ ὑπερβὰς τὸ Ταΰγετον εἶδεν ἐνεργὸν Λακεδαίμονα καὶ τὰ τοῦ Λυκούργου πάτρια εὖ πράττοντα, οὐκ ἀηδὲς ἐνόμισε τὸ καὶ τοῖς τέλεσι τῶν Λακεδαιμονίων ξυγγενέσθαι περὶ ὧν ἐρωτᾶν ἐβούλοντο.

ἤροντο οὖν ἀφικόμενον, πῶς θεοὶ θεραπευτέοι, ὁ δὲ εἶπεν „ὡς δεσπόται". πάλιν ἤροντο, πῶς ἥρωες· „ὡς πατέρες." τρίτον δὲ ἐρομένων, πῶς δὲ ἄνθρωποι „οὐ Λακωνικὸν" ἔφη „τὸ ἐρώτημα". ἤροντο καὶ ὅ τι ἡγοῖτο τοὺς παρ' αὐτοῖς νόμους, ὁ δὲ εἶπεν „ἀρίστους διδασκάλους, οἱ διδάσκαλοι δὲ εὐδοκιμήσουσιν, ἢν οἱ μαθηταὶ μὴ ῥᾳθυμῶσιν." ἐρομένων δ' αὐτῶν, τί περὶ ἀνδρείας ξυμβουλεύοι, „καὶ τί" ἔφη „τῇ ἀνδρείᾳ χρήσεσθε;"

XXXII 'Ετύγχανε δὲ περὶ τὸν χρόνον τοῦτον νεανίας 172 Λακεδαιμόνιος αἰτίαν ἔχων παρ' αὐτοῖς, ὡς ἀδικῶν περὶ τὰ ἤθη· Καλλικρατίδα μὲν γὰρ τοῦ περὶ 'Αργινούσας ναυαρχήσαντος ἦν ἔκγονος, ναυκληρίας δὲ ἤρα καὶ οὐ προσεῖχε τοῖς κοινοῖς, ἀλλ' ἐς Καρχηδόνα ἐξέπλει καὶ Σικελίαν ναῦς πεποιημένος. ἀκούσας οὖν κρίνεσθαι αὐτὸν ἐπὶ τούτῳ δεινὸν ᾠήθη περιιδεῖν τὸν νεανίαν ὑπαχθέντα ἐς δίκην καὶ „ὦ λῷστε", ἔφη „τί πεφροντικὼς περίει καὶ μεστὸς ἐννοίας"; „ἀγὼν" εἶπεν „ἐπήγγελταί μοι δημόσιος, ἐπειδὴ πρὸς ναυκληρίαις εἰμὶ καὶ τὰ κοινὰ οὐ πράττω." πατὴρ δέ σοι ναύκληρος ἐγένετο ἢ πάππος;" „ἄπαγε", εἶπε „γυμνασίαρχοί τε καὶ ἔφοροι καὶ πατρονόμοι πάντες, Καλλικρατίδας δὲ ὁ πρόγονος καὶ τῶν ναυαρχησάντων ἐγένετο." „μῶν" ἔφη „τὸν ἐν 'Αργινούσαις λέγεις"; „ἐκεῖνον" εἶπε „τὸν ἐν τῇ ναυαρχίᾳ ἀποθανόντα". „εἶτ' οὐ διέβαλέ σοι" εἶπε „τὴν θάλατταν ἡ τελευτὴ τοῦ προγόνου"; „μὰ Δί'," εἶπεν „οὐ γὰρ ναυμαχήσων γε πλέω." „ἀλλ' ἐμπόρων τε καὶ ναυκλήρων κακοδαιμονέστερόν τι ἐρεῖς ἔθνος; πρῶτον μὲν περινοστοῦσι, ζητοῦσι ἀγορὰν κακῶς πράττουσαν, εἶτα προξένοις καὶ καπήλοις ἀναμιχθέντες πωλοῦσί τε καὶ πωλοῦνται καὶ τόκοις

ἀνοσίοις τὰς αὑτῶν κεφαλὰς ὑποτιθέντες ἐς τὸ ἀρχαῖον σπεύδουσι, κἂν μὲν εὖ πράττωσιν, εὐπλοεῖ ἡ ναῦς καὶ πολὺν ποιοῦνται λόγον τοῦ μήτε ἑκόντες ἀνατρέψαι μήτε ἄκοντες, εἰ δὲ ἡ ἐμπορία πρὸς τὰ χρέα μὴ ἀναφέροιτο, μεταβάντες ἐς τὰ ἐφόλκια προσ-
173 αράττουσι τὰς ναῦς καὶ τὸν ἑτέρων [ναῦται] βίον θεοῦ ἀνάγκην εἰπόντες ἀθεώτατα καὶ οὐδὲ ἄκοντες αὐτοὶ ἀφείλοντο. εἰ δὲ καὶ μὴ τοιοῦτον ἦν τὸ θαλαττουργόν τε καὶ ναυτικὸν ἔθνος, ἀλλὰ τό γε Σπαρτιάτην ὄντα καὶ πατέρων γεγονότα, οἳ μέσην ποτὲ τὴν Σπάρτην ᾤκησαν, ἐν κοίλῃ νηὶ κεῖσθαι λήθην μὲν ἴσχοντα Λυκούργου τε καὶ Ἰφίτου, φόρτου δὲ μνήμονα καὶ ναυτικῆς ἀκριβολογίας, τίνος αἰσχύνης ἄπεστιν; εἰ γὰρ καὶ μηδὲν ἄλλο, τὴν γοῦν Σπάρτην αὐτὴν ἔδει ἐνθυμεῖσθαι, ὡς, ὁπότε μὲν τῆς γῆς εἴχετο, οὐρανομήκη δόξασαν, ἐπεὶ δὲ θαλάττης ἐπε- 79
θύμησε, βυθισθεῖσάν τε καὶ ἀφανισθεῖσαν οὐκ ἐν τῇ θαλάττῃ μόνον, ἀλλὰ καὶ ἐν τῇ γῇ.“ τούτοις τὸν νεανίαν οὕτω τι ἐχειρώσατο τοῖς λόγοις, ὡς νεύσαντα αὐτὸν ἐς τὴν γῆν κλαίειν, ἐπεὶ τοσοῦτον ἤκουσεν ἀπολελεῖφθαι τῶν πατέρων, ἀποδόσθαι τε τὰς ναῦς, ἐν αἷς ἔζη. καθεστῶτα δὲ αὐτὸν ἰδὼν ὁ Ἀπολλώνιος καὶ τὴν γῆν ἀσπαζόμενον κατήγαγε παρὰ τοὺς ἐφόρους καὶ παρῃτήσατο τῆς δίκης.

Κἀκεῖνο τῶν ἐν Λακεδαίμονι· ἐπιστολὴ ἐκ βα- XXXIII
σιλέως Λακεδαιμονίοις ἧκεν ἐπίπληξιν ἐς τὸ κοινὸν αὐτῶν φέρουσα, ὡς ὑπὲρ τὴν ἐλευθερίαν ὑβριζόντων, ἐκ διαβολῶν δὲ τοῦ τῆς Ἑλλάδος ἄρχοντος ἐπέσταλτο αὐτοῖς ταῦτα. οἱ μὲν δὴ Λακεδαιμόνιοι ἀπορίᾳ εἴχοντο καὶ ἡ Σπάρτη πρὸς ἑαυτὴν ἤριζεν, εἴτε χρὴ παραιτουμένους τὴν ὀργὴν τοῦ βασιλέως εἴτε ὑπερφρονοῦντας ἐπιστέλλειν· πρὸς ταῦτα ξύμβουλον

ἐποιοῦντο τὸν Ἀπολλώνιον τοῦ τῆς ἐπιστολῆς ἤθους, ὁ δέ, ὡς εἶδε διεστηκότας, παρῆλθέ τε ἐς τὸ κοινὸν αὐτῶν καὶ ὧδε ἐβραχυλόγησε· „Παλαμήδης εὗρε γράμματα οὐχ ὑπὲρ τοῦ γράφειν μόνον, ἀλλὰ καὶ ὑπὲρ τοῦ γιγνώσκειν, ἃ δεῖ μὴ γράφειν.“ οὕτω μὲν 174 *δὴ Λακεδαιμονίους ἀπῆγε τοῦ μήτε θρασεῖς μήτε δειλοὺς ὀφθῆναι.*

XXXIV *Διατρίψας δ' ἐν τῇ Σπάρτῃ μετὰ τὴν Ὀλυμπίαν χρόνον, ὡς ἐτελεύτα ὁ χειμών, ἐπὶ Μαλέαν ἦλθεν ἀρχομένου ἦρος, ὡς ἐς τὴν Ῥώμην ἀφήσων. διανοουμένῳ δ' αὐτῷ ταῦτα ἐγένετο ὄναρ τοιόνδε· ἐδόκει γυναῖκα μεγίστην τε καὶ πρεσβυτάτην περιβάλλειν αὐτὸν καὶ δεῖσθαί οἱ ξυγγενέσθαι, πρὶν ἐς Ἰταλοὺς πλεῦσαι, Διὸς δὲ εἶναι ἡ τροφὸς ἔλεγε καὶ ἦν αὐτῇ στέφανος πάντ' ἔχων τὰ ἐκ γῆς καὶ θαλάττης. λογισμὸν δὲ αὐτῷ διδοὺς τῆς ὄψεως ξυνῆκεν, ὅτι πλευστέα εἴη ἐς Κρήτην πρότερον, ἣν τροφὸν ἡγούμεθα τοῦ Διός, ἐπειδὴ ἐν ταύτῃ ἐμαιεύθη, ὁ δὲ στέφανος καὶ ἄλλην ἴσως δηλῶσαι νῆσον. οὐσῶν δὲ ἐν Μαλέᾳ νεῶν πλειόνων, αἳ ἐς Κρήτην ἀφήσειν ἔμελλον, ἐνέβη ναῦν ἀποχρῶσαν τῷ κοινῷ· κοινὸν δὲ ἐκάλει τούς τε ἑταίρους καὶ τοὺς τῶν ἑταίρων δούλους, οὐδὲ γὰρ ἐκείνους παρεώρα. προσπλεύσας δὲ Κυδωνίᾳ καὶ παραπλεύσας ἐς Κνωσσὸν τὸν μὲν Λαβύρινθον, ὃς ἐκεῖ δείκνυται, ξυνεῖχε δέ, οἶμαί, ποτε τὸν Μινώταυρον, βουλομένων ἰδεῖν τῶν ἑταίρων, ἐκείνοις μὲν ξυνεχώρει τοῦτο, αὐτὸς δὲ οὐκ ἂν ἔφη θεατὴς γενέσθαι τῆς ἀδικίας τοῦ Μίνω. προῄει δὲ ἐπὶ Γόρτυναν πόθῳ τῆς Ἴδης. ἀνελθὼν οὖν καὶ τοῖς θεολογουμένοις ἐντυχὼν ἐπορεύθη καὶ ἐς τὸ ἱερὸν τὸ Λεβηναῖον· ἔστι δὲ Ἀσκληπιοῦ καὶ ὥσπερ ἡ Ἀσία ἐς τὸ Πέργαμον, οὕτως ἐς τὸ ἱερὸν τοῦτο*

ξυνεφοίτα ἡ Κρήτη, πολλοὶ δὲ καὶ Λιβύων ἐς αὐτὸ
175 περαιοῦνται· καὶ γὰρ τέτραπται πρὸς τὸ Λιβυκὸν πέλαγος κατὰ γοῦν τὴν Φαιστόν, ἔνθα τὴν πολλὴν ἀνείργει θάλατταν ὁ μικρὸς λίθος. Λεβηναῖον δὲ τὸ ἱερὸν ὠνομάσθαι φασίν, ἐπειδὴ ἀκρωτήριον ἐξ αὐτοῦ κατατείνει λέοντι εἰκασμένον, οἷα πολλὰ αἱ ξυντυχίαι τῶν πετρῶν ἀποφαίνουσι, μῦθόν τε ἐπὶ τῷ ἀκρωτηρίῳ ᾄδουσιν, ὡς λέων εἷς οὗτος γένοιτο τῶν ὑποζυγίων ποτὲ τῇ Ῥέᾳ. ἐνταῦθα διαλεγομένου ποτὲ τοῦ Ἀπολλωνίου περὶ μεσημβρίαν, διελέγετο δὲ πολλοῖς ἀνδράσιν, ὑφ᾽ ὧν τὸ ἱερὸν ἐθεραπεύετο, σεισμὸς ἀθρόως τῇ Κρήτῃ προσέβαλε, βροντὴ δὲ οὐκ ἐκ νεφῶν, ἀλλ᾽ ἐκ τῆς γῆς ὑπήχησεν, ἡ θάλαττα δὲ ὑπενόστησε στάδια ἴσως ἑπτά. καὶ οἱ μὲν πολλοὶ ἔδεισαν, μὴ τὸ πέλαγος ὑποχωρῆσαν ἐπισπάσηται τὸ ἱερὸν καὶ ἀπενεχθῶσιν, ὁ δὲ Ἀπολλώνιος „θαρσεῖτε“, ἔφη „ἡ γὰρ θάλαττα γῆν ἔτεκε“. καὶ οἱ μὲν ᾤοντο 80
αὐτὸν τὴν ὁμόνοιαν τῶν στοιχείων λέγειν, καὶ ὅτι μηδὲν ἂν ἡ θάλαττα νεώτερον ἐς τὴν γῆν ἐργάσαιτο, μετὰ δὲ ἡμέρας ὀλίγας ἀφικόμενοί τινες ἐκ τῆς Κυδωνιάτιδος ἤγγειλαν, ὅτι κατὰ τὴν ἡμέραν τε καὶ μεσημβρίαν, ἣν ἐγένετο ἡ διοσημία, νῆσος ἐκ τῆς θαλάττης ἀνεδόθη περὶ τὸν πορθμὸν τὸν διαρρέοντα Θήραν τε καὶ Κρήτην. ἐάσαντες οὖν λόγων μῆκος ἔλθωμεν καὶ ἐπὶ τὰς ἐν Ῥώμῃ σπουδάς, αἳ ἐγένοντο αὐτῷ μετὰ τὰ ἐν Κρήτῃ.

Νέρων οὐ ξυνεχώρει φιλοσοφεῖν, ἀλλὰ περίεργον XXXV
αὐτῷ χρῆμα οἱ φιλοσοφοῦντες ἐφαίνοντο καὶ μαντικὴν συσκιάζοντες, καὶ ἤχθη ποτὲ ὁ τρίβων ἐς
176 δικαστήριον, ὡς μαντικῆς σχῆμα. ἐῶ τοὺς ἄλλους, ἀλλὰ Μουσώνιος ὁ Βαβυλώνιος, ἀνὴρ Ἀπολλωνίου μόνου δεύτερος ἐδέθη ἐπὶ σοφίᾳ καὶ ἐκεῖ μένων

ἐκινδύνευσεν, ἀπέθανε δ' ἂν τὸ ἐπὶ τῷ δήσαντι, εἰ
XXXVI μὴ σφόδρα ἔρρωτο. ἐν τοιαύτῃ καταστάσει φιλοσοφίας οὔσης ἔτυχε προσιὼν τῇ Ῥώμῃ, στάδια δὲ εἴκοσι καὶ ἑκατὸν ἀπέχων ἐνέτυχε Φιλολάῳ τῷ Κιττιεῖ περὶ τὸ νέμος τὸ ἐν τῇ Ἀρικίᾳ. ἦν δὲ ὁ Φιλόλαος τὴν μὲν γλῶτταν ξυγκείμενος, μαλακώτερος δὲ καρτερῆσαί τι. οὗτος ἀναλύων ἀπὸ τῆς Ῥώμης αὐτός τε ἐῴκει φεύγοντι καὶ ὅτῳ ἐντύχοι φιλοσοφοῦντι παρεκελεύετο τὸ αὐτὸ πράττειν. προσειπὼν οὖν τὸν Ἀπολλώνιον ἐκέλευεν ἐκστῆναι τῷ καιρῷ, μηδὲ ἐπιφοιτᾶν τῇ Ῥώμῃ διαβεβλημένου τοῦ φιλοσοφεῖν, καὶ διηγεῖτο τὰ ἐκεῖ πραττόμενα θαμὰ ἐπιστρεφόμενος, μὴ ἐπακροῷτό τις αὐτοῦ κατόπιν. „σὺ δὲ καὶ χορὸν φιλοσόφων ἀναψάμενος“ εἶπε „βαδίζεις φθόνου μεστὸς οὐκ εἰδὼς τοὺς ἐπιτεταγμένους ταῖς πύλαις ὑπὸ Νέρωνος, οἳ ξυλλήψονταί σέ τε καὶ τούτους, πρὶν ἔσω γενέσθαι.“ „τί δ'“ εἶπεν „ὦ Φιλόλαε, τὸν αὐτοκράτορα σπουδάζειν φασίν;“ „ἡνιοχεῖ“ ἔφη „δημοσίᾳ καὶ ᾄδει παριὼν ἐς τὰ Ῥωμαίων θέατρα 177
καὶ μετὰ τῶν μονομαχούντων ζῇ, μονομαχεῖ δὲ καὶ αὐτὸς καὶ ἀποσφάττει.“ ὑπολαβὼν οὖν ὁ Ἀπολλώνιος „εἶτα“, ἔφη „ὦ βέλτιστε, μεῖζόν τι ἡγῇ θέαμα ἀνδράσι πεπαιδευμένοις ἢ βασιλέα ἰδεῖν ἀσχημονοῦντα; θεοῦ μὲν γὰρ παίγνιον ἄνθρωπος“ εἶπε „κατὰ τὴν Πλάτωνος δόξαν, βασιλεὺς δὲ ἀνθρώπου παίγνιον γιγνόμενος καὶ χαριζόμενος τοῖς ὄχλοις τὴν ἑαυτοῦ αἰσχύνην τίνας οὐκ ἂν παράσχοι λόγους τοῖς φιλοσοφοῦσι;“ „νὴ Δί'“, εἶπεν ὁ Φιλόλαος „εἴγε μετὰ τοῦ ἀκινδύνου γίγνοιτο, εἰ δὲ ἀπόλοιο ἀναχθεὶς καὶ Νέρων σε ὠμὸν φάγοι μηδὲν ἰδόντα ὧν πράττει, ἐπὶ πολλῷ ἔσται σοι τὸ ἐντυχεῖν αὐτῷ καὶ ἐπὶ πλείονι ἢ τῷ Ὀδυσσεῖ ἐγένετο, ὁπότε παρὰ τὸν

Κύκλωπα ἦλθεν, ἀπώλεσε γὰρ πολλοὺς τῶν ἑταίρων
ποθήσας ἰδεῖν αὐτὸν καὶ ἡττηθεὶς ἀτόπου καὶ ὠμοῦ
θεάματος." ὁ δὲ Ἀπολλώνιος „οἴει γὰρ" ἔφη „τοῦ-
τον ἧττον ἐκτετυφλῶσθαι τοῦ Κύκλωπος, εἰ τοιαῦτα
ἐργάζεται;" καὶ ὁ Φιλόλαος „πραττέτω μέν", εἶπεν
„ὅ τι βούλεται, σὺ δὲ ἀλλὰ τούτους σῶζε." φωνῇ XXXVII
δὲ ταῦτα μείζονι ἔλεγε καὶ ἐῴκει κλάοντι. ἐνταῦθα
δείσας ὁ Δάμις περὶ τοῖς νέοις, μὴ χείρους αὐτῶν
γένοιντο ὑπὸ τῆς τοῦ Φιλολάου πτοίας, ἀπολαβὼν
τὸν Ἀπολλώνιον „ἀπολεῖ" ἔφη „τοὺς νέους ὁ λα-
γὼς οὗτος τρόμων καὶ ἀθυμίας ἀναπιμπλὰς πάντα".
ὁ δὲ Ἀπολλώνιος „καὶ μὴν πολλῶν" ἔφη „ἀγαθῶν
ὄντων, ἃ μηδ' εὐξαμένῳ μοι πολλάκις παρὰ τῶν
θεῶν γέγονε, μέγιστον ἂν ἔγωγε φαίην ἀπολελαυ-
κέναι τὸ νυνὶ τοῦτο, παραπέπτωκε γὰρ βάσανος τῶν
νέων, ἣ σφόδρα ἐλέγξει τοὺς φιλοσοφοῦντάς τε αὐ-
τῶν καὶ τοὺς ἕτερόν τι μᾶλλον ἢ τοῦτο πράττοντας."
καὶ ἠλέγχθησαν αὐτίκα οἱ μὴ ἐρρωμένοι σφῶν, ὑπὸ
178 γὰρ τῶν τοῦ Φιλολάου λόγων ἀπαχθέντες οἱ μὲν
ἔφασαν νοσεῖν, οἱ δ' οὐκ εἶναι αὐτοῖς ἐφόδια, οἱ δὲ 81
τῶν οἴκοι ἐρᾶν, οἱ δὲ ὑπὸ ὀνειράτων ἐκπεπλῆχθαι,
καὶ περιῆλθεν ἐς ὀκτὼ ὁμιλητὰς ὁ Ἀπολλώνιος ἐκ
τεττάρων καὶ τριάκοντα, οἳ ξυνεφοίτων αὐτῷ ἐς τὴν
Ῥώμην. οἱ δ' ἄλλοι Νέρωνά τε καὶ φιλοσοφίαν ἀπο-
δράντες φυγῇ ᾤχοντο. ξυναγαγὼν οὖν τοὺς περι- XXXVIII
λειφθέντας, ὧν καὶ Μένιππος ἦν ὁ ξυναλλάξας τῇ
ἐμπούσῃ καὶ Διοσκορίδης ὁ Αἰγύπτιος καὶ Δάμις
„οὐ λοιδορήσομαι" ἔφη „τοῖς ἀπολελοιπόσιν ἡμᾶς,
ἀλλ' ὑμᾶς ἐπαινέσομαι μᾶλλον, ὅτι ἄνδρες ἐστὲ ἐμοὶ
ὅμοιοι, οὐδ', εἴ τις Νέρωνα δείσας ἀπῆλθε, δειλὸν
ἡγήσομαι τοῦτον, ἀλλ' εἴ τις τοῦ δέους τούτου κρείτ-
των γίγνεται, φιλόσοφος ὑπ' ἐμοῦ προσειρήσεται,

καὶ διδάξομαι αὐτόν, ὁπόσα οἶδα. δοκεῖ δή μοι πρῶτον μὲν εὔξασθαι τοῖς θεοῖς, δι᾽ οὓς ταῦτα ἐπὶ νοῦν ἦλθεν ὑμῖν τε κἀκείνοις, ἔπειθ᾽ ἡγεμόνας αὐτοὺς ποιεῖσθαι, θεῶν γὰρ χωρὶς οὐδ᾽ ἐν ἄλλῳ ἐσμέν. παριτητέα ἐς πόλιν, ἣ τοσούτων τῆς οἰκουμένης μερῶν ἄρχει· πῶς οὖν ἂν παρέλθοι τις, εἰ μὴ ἐκεῖνοι ἡγοῖντο; καὶ ταῦτα τυραννίδος ἐν αὐτῇ καθεστηκυίας οὕτω χαλεπῆς, ὡς μὴ ἐξεῖναι σοφοῖς εἶναι. ἀνόητόν τε μηδενὶ δοκείτω τὸ θαρσεῖν ὁδόν, ἣν πολλοὶ τῶν φιλοσόφων φεύγουσιν, ἐγὼ γὰρ πρῶτον μὲν οὐδὲν ἂν ἡγοῦμαι φοβερὸν οὕτω γενέσθαι τῶν κατ᾽ ἀνθρώπους, ὡς ἐκπλαγῆναί ποτε ὑπ᾽ αὐτοῦ τὸν σοφόν, εἶτ᾽ οὐδ᾽ ἂν προθείην ἀνδρείας μελέτας, ἐὰν μὴ μετὰ κινδύνων γίγνοιντο. καὶ ἄλλως ἐπελθὼν γῆν, ὅσην οὔπω τις ἀνθρώπων, θηρία μὲν Ἀράβιά τε καὶ Ἰνδικὰ πάμπολλα εἶδον, τὸ δὲ θηρίον τοῦτο, ὃ καλοῦσιν οἱ πολλοὶ τύραννον, οὔτε ὁπόσαι κεφαλαὶ αὐτῷ, οἶδα, οὔτε εἰ γαμψώνυχόν τε καὶ καρχαρόδουν ἐστί. καίτοι πολιτικὸν μὲν εἶναι τὸ θηρίον τοῦτο λέγεται καὶ τὰ μέσα τῶν πόλεων οἰκεῖν, τοσούτῳ δὲ ἀγριώτερον διάκειται τῶν ὀρεινῶν τε καὶ ὑλαίων, ὅσῳ λέοντες μὲν καὶ παρδάλεις ἐνίοτε κολακευόμενοι ἡμεροῦνται καὶ μεταβάλλουσι τοῦ ἤθους, τουτὶ δὲ ὑπὸ τῶν καταψηχόντων ἐπαιρόμενον ἀγριώ- 179
τερον αὐτοῦ γίγνεται καὶ λαφύσσει πάντα. περὶ μέν γε θηρίων οὐκ ἂν εἴποις, ὅτι τὰς μητέρας ποτὲ τὰς αὑτῶν ἐδαίσαντο, Νέρων δὲ ἐμπεφόρηται τῆς βορᾶς ταύτης. εἰ δὲ καὶ ταῦτα γέγονεν ἐπ᾽ Ὀρέστῃ καὶ Ἀλκμαίωνι, ἀλλ᾽ ἐκείνοις σχῆμα τοῦ ἔργου πατέρες ἦσαν ὁ μὲν ἀποθανὼν ὑπὸ τῆς ἑαυτοῦ γυναικός, ὁ δὲ ὅρμου πραθείς, οὑτοσὶ δὲ καὶ ἐσποιηθεὶς ὑπὸ τῆς μητρὸς γέροντι βασιλεῖ καὶ κληρονομήσας τὸ ἄρχειν

ναυαγίῳ τὴν μητέρα ἀπέκτεινε πλοῖον ἐπ' αὐτῇ ξυνθείς, ὑφ' οὗ ἀπώλετο πρὸς τῇ γῇ. εἰ δὲ ἐκ τούτων φοβερόν τις ἡγεῖται Νέρωνα καὶ διὰ τοῦτο ἀποπηδᾷ φιλοσοφίας οὐκ ἀσφαλὲς αὐτῷ νομίζων τὸ ἀπὸ θυμοῦ τι αὐτῷ πράττειν, ἴστω τὸ μὲν φοβερὸν ἐκείνοις ὑπάρχον, ὅσοι περ ἂν σωφροσύνης τε καὶ σοφίας ἅπτωνται, τούτοις γὰρ καὶ τὰ παρὰ τῶν θεῶν εὖ ἔχει, τὰ δὲ τῶν ὑβριζόντων ὕθλον ἡγείσθω, καθὰ καὶ τὰ τῶν μεμεθυσμένων, καὶ γὰρ δὴ κἀκείνους γε ἠλιθίους μὲν ἡγούμεθα, φοβεροὺς δὲ οὔ. ἴωμεν οὖν ἐς τὴν Ῥώμην, εἴγε ἐρρώμεθα, πρὸς γὰρ τὰ Νέρωνος κηρύγματα, δι' ὧν ἐξείργει φιλοσοφίαν, ἔστιν ἡμῖν τὸ τοῦ Σοφοκλέους (λέγειν)·

οὐ γάρ τί μοι Ζεὺς ἦν ὁ κηρύξας τάδε,

οὐδὲ Μοῦσαι καὶ Ἀπόλλων λόγιος. εἰκὸς δὲ καὶ αὐτὸν Νέρωνα γιγνώσκειν τὰ ἰαμβεῖα ταῦτα, τραγῳδίᾳ, ὥς φασι, χαίροντα.“ ἐνταῦθά τις τὸ Ὁμήρου ἐνθυμηθείς, ὡς, ἐπειδὰν ὁ λόγος ἁρμόσῃ πολεμικοὺς ἄν- 82
δρας, μία μὲν κόρυς γίγνονται, μία δὲ ἀσπίς, εὑρεῖν ἄν μοι δοκεῖ αὐτὸ τοῦτο καὶ περὶ τούσδε τοὺς ἄνδρας γενόμενον· ὑπὸ γὰρ τῶν τοῦ Ἀπολλωνίου λόγων ξυγκροτηθέντες ἀποθνήσκειν τε ὑπὲρ φιλοσοφίας ἔρρωντο καὶ βελτίους τῶν ἀποδράντων φαίνεσθαι.

Προσήεσαν μὲν οὖν ταῖς πύλαις, οἱ δὲ ἐφεστῶ- XXXIX
τες οὐδὲν ἠρώτων, ἀλλὰ περιήθρουν τὸ σχῆμα καὶ
180 ἐθαύμαζον· ὁ γὰρ τρόπος ἱερὸς ἐδόκει καὶ οὐδὲν ἐοικὼς τοῖς ἀγείρουσι. καταλύουσι δ' αὐτοῖς ἐν πανδοχείῳ περὶ τὰς πύλας καὶ δεῖπνον αἱρουμένοις, ἐπειδὴ καιρὸς ἑσπέρας ἤδη ἐτύγχανεν, ὡς ἐπὶ κῶμον ἔρχεται μεθύων ἄνθρωπος οὐκ ἀγλευκῶς τῆς φωνῆς ἔχων, περιῄει δὲ ἄρα κύκλῳ τὴν Ῥώμην ᾄδων τὰ

τοῦ Νέρωνος μέλη καὶ μεμισθωμένος τοῦτο, τὸν δὲ ἀμελῶς ἀκούσαντα ἢ μὴ καταβαλόντα μισθὸν τῆς ἀκροάσεως ξυνεκεχώρητο αὐτῷ καὶ ἀπάγειν ὡς ἀσεβοῦντα. ἦν δὲ αὐτῷ καὶ κιθάρα καὶ ἡ πρόσφορος τῷ κιθαρίζειν σκευὴ πᾶσα, καί τινα καὶ νευρὰν τῶν ἐφαψαμένων τε καὶ προεντεταμένων ἀποκειμένην ἐν κοιτίδι εἶχεν, ἣν ἔφασκεν ἐκ τῆς Νέρωνος ἐωνῆσθαι κιθάρας δυοῖν μναῖν καὶ ἀποδώσεσθαι αὐτὴν οὐδενί, ἢν μὴ κιθαρῳδὸς ᾖ τῶν ἀρίστων τε καὶ ἀγωνιουμένων Πυθοῖ. ἀναβαλόμενος οὖν, ὅπως εἰώθει, καὶ βραχὺν διεξελθὼν ὕμνον τοῦ Νέρωνος ἐπῆγε μέλη τὰ μὲν ἐξ Ὀρεστείας, τὰ δὲ ἐξ Ἀντιγόνης, τὰ δ' ὁποθενοῦν τῶν τραγῳδουμένων αὐτῷ, καὶ ᾠδὰς ἔκαμπτεν, ὁπόσας Νέρων ἐλύγιζέ τε καὶ κακῶς ἔστρεφεν. ἀργότερον δὲ ἀκροωμένων ὁ μὲν ἀσεβεῖσθαι Νέρωνα ὑπ' αὐτῶν ἔφασκε καὶ πολεμίους τῆς θείας φωνῆς εἶναι, οἱ δὲ οὐ προσεῖχον. ἐρομένου δὲ τοῦ Μενίππου τὸν Ἀπολλώνιον, πῶς ἀκούοι λέγοντος ταῦτα, „πῶς“ ἔφη „ἢ ὡς ὅτε ᾖδεν; ἡμεῖς μέντοι, ὦ Μένιππε, μὴ παροξυνώμεθα πρὸς ταῦτα, ἀλλὰ τὸν μισθὸν τῆς ἐπιδείξεως δόντες ἐάσωμεν αὐτὸν θύειν ταῖς Νέρωνος Μούσαις.“

XL Τοῦτο μὲν δὴ ἐπὶ τοσοῦτον ἐπαρῳνήθη. ἅμα δὲ τῇ ἡμέρᾳ Τελεσῖνος ὁ ἕτερος τῶν ὑπάτων καλέσας τὸν Ἀπολλώνιον „τί“ ἔφη „τὸ σχῆμα“; ὁ δὲ „καθαρὸν“ εἶπε „καὶ ἀπ' οὐδενὸς θνητοῦ“. „τίς 181
δὲ ἡ σοφία;“ „θειασμὸς“ ἔφη „καὶ ὡς ἄν τις θεοῖς εὔχοιτο καὶ θύοι“. „ἔστι δέ τις, ὦ φιλόσοφε, ὃς ἀγνοεῖ ταῦτα;“ „πολλοί,“ εἶπεν „εἰ δὲ καὶ ὀρθῶς τις ἐπίσταται ταῦτα, πολλῷ γένοιτ' ἂν αὐτοῦ βελτίων ἀκούσας σοφωτέρου ἀνδρός, ὅτι, ἃ οἶδεν, εὖ οἶδεν.“ ταῦτα ἀκούοντα τὸν Τελεσῖνον, καὶ γὰρ

ἐτύγχανεν ὑποθεραπεύων τὸ θεῖον, ἐσῆλθεν ὁ ἀνὴρ δι' ἃ πάλαι περὶ αὐτοῦ ἤκουε καὶ τὸ μὲν ὄνομα οὐκ ᾤετο δεῖν ἐς τὸ φανερὸν ἐρωτᾶν, μή τιν' ἔτι λανθάνειν βούλοιτο, ἐπανῆγε δὲ αὐτὸν πάλιν ἐς τὸν λόγον τὸν περὶ τοῦ θείου, καὶ γὰρ πρὸς διάλεξιν ἐπιτηδείως εἶχε, καὶ ὡς σοφῷ γε εἶπε „τί εὔχῃ προσιὼν τοῖς βωμοῖς“; „ἔγωγε“ ἔφη „δικαιοσύνην εἶναι νόμους μὴ καταλύεσθαι πένεσθαι τοὺς σοφούς, τοὺς δὲ ἄλλους πλουτεῖν μέν, ἀδόλως δέ.“ „εἶτα“ εἶπε „τοσαῦτα αἰτῶν οἴει τεύξεσθαι“; „νὴ Δί'," εἶπε „ξυνείρω γὰρ τὰ πάντα ἐς εὐχὴν μίαν καὶ προσιὼν τοῖς βωμοῖς ὧδε εὔχομαι· ὦ θεοί, δοίητέ μοι τὰ ὀφειλόμενα· εἰ μὲν δὴ τῶν χρηστῶν εἰμὶ ἀνθρώπων, τεύξομαι πλειόνων ἢ εἶπον, εἰ δὲ ἐν τοῖς φαύλοις με οἱ θεοὶ τάττουσι, τἀναντία μοι παρ' αὐτῶν ἥξει καὶ 83
οὐ μέμψομαι τοὺς θεούς, εἰ κακῶν ἀξιοῦμαι μὴ χρηστὸς ὤν.“ ἐξεπέπληκτο μὲν δὴ ὁ Τελεσῖνος ὑπὸ τῶν λόγων τούτων, βουλόμενος δὲ αὐτῷ χαρίζεσθαι „φοίτα“ ἔφη „ἐς τὰ ἱερὰ πάντα, καὶ γεγράψεται παρ' ἐμοῦ πρὸς τοὺς ἱερωμένους δέχεσθαί σε καὶ διορθουμένῳ εἴκειν.“ „ἢν δὲ μὴ γράψῃς,“ ἔφη „οὐ δέξονταί με;“ „μὰ Δί'," εἶπεν „ἐμὴ γὰρ“ ἔφη „αὕτη ἀρχή“. „χαίρω,“ ἔφη „ὅτι γενναῖος ὢν μεγάλου ἄρχεις, βουλοίμην δ' ἂν σε κἀκεῖνο περὶ ἐμοῦ εἰδέναι· ἐγὼ τῶν ἱερῶν τὰ μὴ βεβαίως κλειστὰ χαίρω οἰκῶν καὶ παραιτεῖταί με οὐδεὶς τῶν θεῶν, ἀλλὰ ποιοῦνται κοινωνὸν στέγης· ἀνείσθω δέ μοι [καὶ] τοῦτο, καὶ γὰρ οἱ βάρβαροι ξυνεχώρουν αὐτό.“ καὶ ὁ Τελεσῖνος „μέγα“ ἔφη „Ῥωμαίων ἐγκώμιον οἱ βάρβαροι προὔλαβον, τουτὶ γὰρ ἐβουλόμην ἂν καὶ περὶ ἡμῶν λέγεσθαι.“ ᾤκει μὲν δὴ ἐν τοῖς ἱεροῖς ἐναλλάττων αὐτὰ καὶ μεθιστάμενος ἐξ ἄλλου ἐς ἄλλο,

καὶ διδάξομαι αὐτόν, ὁπόσα οἶδα. δοκεῖ δή μοι πρῶ-
τον μὲν εὔξασθαι τοῖς θεοῖς, δι' οὓς ταῦτα ἐπὶ νοῦν
ἦλθεν ὑμῖν τε κἀκείνοις, ἔπειθ' ἡγεμόνας αὐτοὺς
ποιεῖσθαι, θεῶν γὰρ χωρὶς οὐδ' ἐν ἄλλῳ ἐσμέν.
παριτητέα ἐς πόλιν, ἣ τοσούτων τῆς οἰκουμένης με-
ρῶν ἄρχει· πῶς οὖν ἂν παρέλθοι τις, εἰ μὴ ἐκεῖνοι
ἡγοῖντο; καὶ ταῦτα τυραννίδος ἐν αὐτῇ καθεστη-
κυίας οὕτω χαλεπῆς, ὡς μὴ ἐξεῖναι σοφοῖς εἶναι.
ἀνόητόν τε μηδενὶ δοκείτω τὸ θαρσεῖν ὁδόν, ἣν πολ-
λοὶ τῶν φιλοσόφων φεύγουσιν, ἐγὼ γὰρ πρῶτον μὲν
οὐδὲν ἂν ἡγοῦμαι φοβερὸν οὕτω γενέσθαι τῶν κατ'
ἀνθρώπους, ὡς ἐκπλαγῆναί ποτε ὑπ' αὐτοῦ τὸν σο-
φόν, εἶτ' οὐδ' ἂν προθείην ἀνδρείας μελέτας, ἐὰν μὴ
μετὰ κινδύνων γίγνοιντο. καὶ ἄλλως ἐπελθὼν γῆν,
ὅσην οὔπω τις ἀνθρώπων, θηρία μὲν Ἀράβιά τε καὶ
Ἰνδικὰ πάμπολλα εἶδον, τὸ δὲ θηρίον τοῦτο, ὃ κα-
λοῦσιν οἱ πολλοὶ τύραννον, οὔτε ὁπόσαι κεφαλαὶ
αὐτῷ, οἶδα, οὔτε εἰ γαμψώνυχόν τε καὶ καρχαρό-
δουν ἐστί. καίτοι πολιτικὸν μὲν εἶναι τὸ θηρίον
τοῦτο λέγεται καὶ τὰ μέσα τῶν πόλεων οἰκεῖν, το-
σούτῳ δὲ ἀγριώτερον διάκειται τῶν ὀρεινῶν τε καὶ
ὑλαίων, ὅσῳ λέοντες μὲν καὶ παρδάλεις ἐνίοτε κολα-
κευόμενοι ἡμεροῦνται καὶ μεταβάλλουσι τοῦ ἤθους,
τουτὶ δὲ ὑπὸ τῶν καταψηχόντων ἐπαιρόμενον ἀγριώ- 179
τερον αὐτοῦ γίγνεται καὶ λαφύσσει πάντα. περὶ μέν
γε θηρίων οὐκ ἂν εἴποις, ὅτι τὰς μητέρας ποτὲ τὰς
αὐτῶν ἐδαίσαντο, Νέρων δὲ ἐμπεφόρηται τῆς βορᾶς
ταύτης. εἰ δὲ καὶ ταῦτα γέγονεν ἐπ' Ὀρέστῃ καὶ
Ἀλκμαίωνι, ἀλλ' ἐκείνοις σχῆμα τοῦ ἔργου πατέρες
ἦσαν ὁ μὲν ἀποθανὼν ὑπὸ τῆς ἑαυτοῦ γυναικός, ὁ
δὲ ὅρμου πραθείς, οὑτοσὶ δὲ καὶ ἐσποιηθεὶς ὑπὸ τῆς
μητρὸς γέροντι βασιλεῖ καὶ κληρονομήσας τὸ ἄρχειν

ναυαγίῳ τὴν μητέρα ἀπέκτεινε πλοῖον ἐπ' αὐτῇ ξυν-θείς, ὑφ' οὗ ἀπώλετο πρὸς τῇ γῇ. εἰ δὲ ἐκ τούτων φοβερόν τις ἡγεῖται Νέρωνα καὶ διὰ τοῦτο ἀποπηδᾷ φιλοσοφίας οὐκ ἀσφαλὲς αὐτῷ νομίζων τὸ ἀπὸ θυ-μοῦ τι αὐτῷ πράττειν, ἴστω τὸ μὲν φοβερὸν ἐκείνοις ὑπάρχον, ὅσοι περ ἂν σωφροσύνης τε καὶ σοφίας ἅπτωνται, τούτοις γὰρ καὶ τὰ παρὰ τῶν θεῶν εὖ ἔχει, τὰ δὲ τῶν ὑβριζόντων ὕθλον ἡγείσθω, καθὰ καὶ τὰ τῶν μεμεθυσμένων, καὶ γὰρ δὴ κἀκείνους γε ἠλιθίους μὲν ἡγούμεθα, φοβεροὺς δὲ οὔ. ἴωμεν οὖν ἐς τὴν Ῥώμην, εἴγε ἐρρώμεθα, πρὸς γὰρ τὰ Νέρω-νος κηρύγματα, δι' ὧν ἐξείργει φιλοσοφίαν, ἔστιν ἡμῖν τὸ τοῦ Σοφοκλέους (λέγειν)·

οὐ γάρ τί μοι Ζεὺς ἦν ὁ κηρύξας τάδε,

οὐδὲ Μοῦσαι καὶ Ἀπόλλων λόγιος. εἰκὸς δὲ καὶ αὐ-τὸν Νέρωνα γιγνώσκειν τὰ ἰαμβεῖα ταῦτα, τραγῳδίᾳ, ὥς φασι, χαίροντα.“ ἐνταῦθά τις τὸ Ὁμήρου ἐνθυ-μηθείς, ὡς, ἐπειδὰν ὁ λόγος ἁρμόσῃ πολεμικοὺς ἄν- 82
δρας, μία μὲν κόρυς γίγνονται, μία δὲ ἀσπίς, εὑρεῖν ἄν μοι δοκεῖ αὐτὸ τοῦτο καὶ περὶ τούσδε τοὺς ἄν-δρας γενόμενον· ὑπὸ γὰρ τῶν τοῦ Ἀπολλωνίου λόγων ξυγκροτηθέντες ἀποθνήσκειν τε ὑπὲρ φιλο-σοφίας ἔρρωντο καὶ βελτίους τῶν ἀποδράντων φαί-νεσθαι.

Προσήεσαν μὲν οὖν ταῖς πύλαις, οἱ δὲ ἐφεστῶ- X.
τες οὐδὲν ἠρώτων, ἀλλὰ περιήθρουν τὸ σχῆμα καὶ
180 ἐθαύμαζον· ὁ γὰρ τρόπος ἱερὸς ἐδόκει καὶ οὐδὲν ἐοικὼς τοῖς ἀγείρουσι. καταλύουσι δ' αὐτοῖς ἐν παν-δοχείῳ περὶ τὰς πύλας καὶ δεῖπνον αἱρουμένοις, ἐπειδὴ καιρὸς ἑσπέρας ἤδη ἐτύγχανεν, ὡς ἐπὶ κῶμον ἔρχεται μεθύων ἄνθρωπος οὐκ ἀγλευκῶς τῆς φωνῆς ἔχων, περιῄει δὲ ἄρα κύκλῳ τὴν Ῥώμην ᾄδων τὰ

τοῦ Νέρωνος μέλη καὶ μεμισθωμένος τοῦτο, τὸν δὲ ἀμελῶς ἀκούσαντα ἢ μὴ καταβαλόντα μισθὸν τῆς ἀκροάσεως ξυνεκεχώρητο αὐτῷ καὶ ἀπάγειν ὡς ἀσεβοῦντα. ἦν δὲ αὐτῷ καὶ κιθάρα καὶ ἡ πρόσφορος τῷ κιθαρίζειν σκευὴ πᾶσα, καί τινα καὶ νευρὰν τῶν ἐφαψαμένων τε καὶ προεντεταμένων ἀποκειμένην ἐν κοιτίδι εἶχεν, ἣν ἔφασκεν ἐκ τῆς Νέρωνος ἐωνῆσθαι κιθάρας δυοῖν μναῖν καὶ ἀποδώσεσθαι αὐτὴν οὐδενί, ἢν μὴ κιθαρῳδὸς ᾖ τῶν ἀρίστων τε καὶ ἀγωνιουμένων Πυθοῖ. ἀναβαλόμενος οὖν, ὅπως εἰώθει, καὶ βραχὺν διεξελθὼν ὕμνον τοῦ Νέρωνος ἐπῆγε μέλη τὰ μὲν ἐξ Ὀρεστείας, τὰ δὲ ἐξ Ἀντιγόνης, τὰ δ' ὁποθενοῦν τῶν τραγῳδουμένων αὐτῷ, καὶ ᾠδὰς ἔκαμπτεν, ὁπόσας Νέρων ἐλύγιζέ τε καὶ κακῶς ἔστρεφεν. ἀργότερον δὲ ἀκροωμένων ὁ μὲν ἀσεβεῖσθαι Νέρωνα ὑπ' αὐτῶν ἔφασκε καὶ πολεμίους τῆς θείας φωνῆς εἶναι, οἱ δὲ οὐ προσεῖχον. ἐρομένου δὲ τοῦ Μενίππου τὸν Ἀπολλώνιον, πῶς ἀκούοι λέγοντος ταῦτα, „πῶς“ ἔφη „ἢ ὡς ὅτε ᾖδεν; ἡμεῖς μέντοι, ὦ Μένιππε, μὴ παροξυνώμεθα πρὸς ταῦτα, ἀλλὰ τὸν μισθὸν τῆς ἐπιδείξεως δόντες ἐάσωμεν αὐτὸν θύειν ταῖς Νέρωνος Μούσαις.“

Τοῦτο μὲν δὴ ἐπὶ τοσοῦτον ἐπαρῳνήθη. ἅμα δὲ τῇ ἡμέρᾳ Τελεσῖνος ὁ ἕτερος τῶν ὑπάτων καλέσας τὸν Ἀπολλώνιον „τί“ ἔφη „τὸ σχῆμα“; ὁ δὲ „καθαρὸν“ εἶπε „καὶ ἀπ' οὐδενὸς θνητοῦ“. „τίς 181 δὲ ἡ σοφία;“ „θειασμὸς“ ἔφη „καὶ ὡς ἄν τις θεοῖς εὔχοιτο καὶ θύοι“. „ἔστι δέ τις, ὦ φιλόσοφε, ὃς ἀγνοεῖ ταῦτα;“ „πολλοί,“ εἶπεν „εἰ δὲ καὶ ὀρθῶς τις ἐπίσταται ταῦτα, πολλῷ γένοιτ' ἂν αὐτοῦ βελτίων ἀκούσας σοφωτέρου ἀνδρός, ὅτι, ἃ οἶδεν, εὖ οἶδεν.“ ταῦτα ἀκούοντα τὸν Τελεσῖνον, καὶ γὰρ

ἐτύγχανεν ὑποθεραπεύων τὸ θεῖον, ἐσῆλθεν ὁ ἀνὴρ δι᾽ ἃ πάλαι περὶ αὐτοῦ ἤκουε καὶ τὸ μὲν ὄνομα οὐκ ᾤετο δεῖν ἐς τὸ φανερὸν ἐρωτᾶν, μή τιν᾽ ἔτι λανθάνειν βούλοιτο, ἐπανῆγε δὲ αὐτὸν πάλιν ἐς τὸν λόγον τὸν περὶ τοῦ θείου, καὶ γὰρ πρὸς διάλεξιν ἐπιτηδείως εἶχε, καὶ ὡς σοφῷ γε εἶπε „τί εὔχῃ προσιὼν τοῖς βωμοῖς“; „ἔγωγε“ ἔφη „δικαιοσύνην εἶναι νόμους μὴ καταλύεσθαι πένεσθαι τοὺς σοφούς, τοὺς δὲ ἄλλους πλουτεῖν μέν, ἀδόλως δέ.“ „εἶτα“ εἶπε „τοσαῦτα αἰτῶν οἴει τεύξεσθαι“; „νὴ Δί᾽,“ εἶπε „ξυνείρω γὰρ τὰ πάντα ἐς εὐχὴν μίαν καὶ προσιὼν τοῖς βωμοῖς ὧδε εὔχομαι· ὦ θεοί, δοίητέ μοι τὰ ὀφειλόμενα· εἰ μὲν δὴ τῶν χρηστῶν εἰμὶ ἀνθρώπων, τεύξομαι πλειόνων ἢ εἶπον, εἰ δὲ ἐν τοῖς φαύλοις με οἱ θεοὶ τάττουσι, τἀναντία μοι παρ᾽ αὐτῶν ἥξει καὶ 83 οὐ μέμψομαι τοὺς θεούς, εἰ κακῶν ἀξιοῦμαι μὴ χρηστὸς ὤν.“ ἐξεπέπληκτο μὲν δὴ ὁ Τελεσῖνος ὑπὸ τῶν λόγων τούτων, βουλόμενος δὲ αὐτῷ χαρίζεσθαι „φοίτα“ ἔφη „ἐς τὰ ἱερὰ πάντα, καὶ γεγράψεται παρ᾽ ἐμοῦ πρὸς τοὺς ἱερωμένους δέχεσθαί σε καὶ διορθουμένῳ εἴκειν.“ „ἢν δὲ μὴ γράψῃς,“ ἔφη „οὐ δέξονταί με;“ „μὰ Δί᾽,“ εἶπεν „ἐμὴ γὰρ“ ἔφη „αὕτη ἀρχή“. „χαίρω,“ ἔφη „ὅτι γενναῖος ὢν μεγάλου ἄρχεις, βουλοίμην δ᾽ ἄν σε κἀκεῖνο περὶ ἐμοῦ εἰδέναι· ἐγὼ τῶν ἱερῶν τὰ μὴ βεβαίως κλειστὰ χαίρω οἰκῶν καὶ παραιτεῖταί με οὐδεὶς τῶν θεῶν, ἀλλὰ ποιοῦνται κοινωνὸν στέγης· ἀνείσθω δέ μοι [καὶ] τοῦτο, καὶ γὰρ οἱ βάρβαροι ξυνεχώρουν αὐτό.“ καὶ ὁ Τελεσῖνος „μέγα“ ἔφη „Ῥωμαίων ἐγκώμιον οἱ βάρβαροι προὔλαβον, τουτὶ γὰρ ἐβουλόμην ἂν καὶ περὶ ἡμῶν λέγεσθαι.“ ᾤκει μὲν δὴ ἐν τοῖς ἱεροῖς ἐναλλάττων αὐτὰ καὶ μεθιστάμενος ἐξ ἄλλου ἐς ἄλλο,

αἰτίαν δὲ ἐπὶ τούτῳ ἔχων „οὐδὲ οἱ θεοὶ“ ἔφη „πάντα τὸν χρόνον ἐν τῷ οὐρανῷ οἰκοῦσιν, ἀλλὰ πορεύ- 182
ονται μὲν ἐς Αἰθιοπίαν, πορεύονται δὲ ἐς Ὄλυμπόν τε καὶ Ἄθω, καὶ οἶμαι ἄτοπον τοὺς μὲν θεοὺς τὰ τῶν ἀνθρώπων ἔθνη περινοστεῖν πάντα, τοὺς δὲ ἀνθρώπους μὴ τοῖς θεοῖς ἐπιφοιτᾶν πᾶσι. καίτοι δεσπόται μὲν ὑπερορῶντες δούλων οὔπω αἰτίαν ἕξουσιν, ἴσως γὰρ ἂν καταφρονοῖεν αὐτῶν, ὡς μὴ σπουδαίων, δοῦλοι δὲ μὴ πάντως τοὺς αὑτῶν δεσπότας θεραπεύοντες ἀπόλοιντο ἂν ὑπ' αὐτῶν ὡς κατάρατοί τε καὶ θεοῖς ἐχθρὰ ἀνδράποδα.

XLI Διαλεγομένου δὲ αὐτοῦ περὶ τὰ ἱερὰ οἱ θεοὶ ἐθεραπεύοντο μᾶλλον καὶ ξυνῄεσαν οἱ ἄνθρωποι ἐς ταῦτα, ὡς τὰ ἀγαθὰ πλείω παρὰ τῶν θεῶν ἕξοντες, καὶ οὔπω διεβάλλοντο αἱ ξυνουσίαι τοῦ ἀνδρὸς διὰ τὸ σπουδάζεσθαί τε δημοσίᾳ λέγεσθαί τε ἐς πάντας, οὐδὲ γὰρ θύραις ἐπεπόλαζεν, οὐδὲ ἐτρίβετο περὶ τοὺς δυνατούς, ἀλλ' ἠσπάζετο μὲν ἐπιφοιτῶντας,
XLII διελέγετο δὲ αὐτοῖς ὁπόσα καὶ τῷ δήμῳ. ἐπεὶ δὲ ὁ
Δημήτριος διατεθεὶς πρὸς αὐτόν, ὡς ἐν τοῖς Κορινθιακοῖς λόγοις εἴρηκα, παραγενόμενος ἐς τὴν Ῥώμην ὕστερον ἐθεράπευε μὲν τὸν Ἀπολλώνιον, ἐπηφίει δ' αὐτὸν τῷ Νέρωνι, τέχνη ταῦτα ὑπωπτεύθη τοῦ ἀνδρὸς καὶ τὸν Δημήτριον αὐτὸς ἐδόκει καθεικέναι ἐς αὐτά, καὶ πολὺ μᾶλλον, ὁπότε γυμνάσιον μὲν ἐξεποιήθη τῷ Νέρωνι θαυμασιώτατον τῶν ἐκεῖ, λευκὴν δ' ἔθυον ἐν αὐτῷ ἡμέραν Νέρων τε αὐτὸς καὶ ἡ βουλὴ ἡ μεγάλη καὶ τὸ ἱππεῦον τῆς Ῥώμης, παρελθὼν δὲ ὁ Δημήτριος ἐς αὐτὸ τὸ γυμνάσιον διεξῆλθε λόγον κατὰ τῶν λουμένων, ὡς ἐκλελυμένων τε καὶ αὐτοὺς χραινόντων, καὶ ἐδείκνυεν, ὅτι 183
περιττὸν ἀνάλωμα εἴη τὰ τοιαῦτα, ἐφ' οἷς ξυνήρατο

μὲν αὐτῷ (τοῦ) μὴ ἀποθανεῖν αὐτίκα τὸ τὸν Νέρωνα εὐφωνότατα ἑαυτοῦ κατὰ τὴν ἡμέραν ἐκείνην ᾄδειν — ᾖδε δὲ ἐν καπηλείῳ πεποιημένῳ ἐς τὸ γυμνάσιον διάζωμα ἔχων γυμνός, ὥσπερ τῶν καπήλων οἱ ἀσελγέστατοι — οὐ μὴν διέφυγεν ὁ Δημήτριος τὸ ἐφ᾽ οἷς εἶπε κινδυνεῦσαι, Τιγελλῖνος γάρ, ὑφ᾽ ᾧ τὸ ξίφος ἦν τοῦ Νέρωνος, ἀπήλαυνεν αὐτὸν τῆς Ῥώμης, ὡς τὸ βαλανεῖον κατασκάψαντα οἷς εἶπε, τὸν δ᾽ Ἀπολλώνιον ἀφανῶς ἀνίχνευεν, ὁπότε καὶ αὐτὸς ἐπιλήψιμόν τι καὶ παραβεβλημένον εἴποι. ὁ δ᾽ οὔτε XLIII
καταγελῶν φανερὸς ἦν οὔτ᾽ αὖ πεφροντικώς, ὥσπερ οἱ φυλαττόμενοί τινα κίνδυνον, ἀλλ᾽ ἀποχρώντως περὶ τῶν προκειμένων διελέγετο ξυμφιλοσοφοῦντος αὐτῷ τοῦ Τελεσίνου καὶ ἑτέρων ἀνδρῶν, οἳ καίτοι φιλοσοφίας ἐπικινδύνως πραττούσης οὐκ ἂν ᾤοντο κινδυνεῦσαι ξὺν ἐκείνῳ σπουδάζοντες. ὑπωπτεύετο δέ, ὡς ἔφην, καὶ πολὺ μᾶλλον ἐφ᾽ οἷς καὶ περὶ τῆς διοσημίας εἶπε· γενομένης γάρ ποτε ἐκλείψεως ἡλίου καὶ βροντῆς ἐκδοθείσης, ὅπερ ἥκιστα ἐν ἐκλείψει δοκεῖ ξυμβαίνειν, ἀναβλέψας ἐς τὸν οὐρανὸν „ἔσται τι“ ἔφη „μέγα καὶ οὐκ ἔσται.“ ξυμβαλεῖν μὲν δὴ τὸ εἰρημένον οὔπω εἶχον οἱ παρατυχόντες τῷ λόγῳ, 84
τρίτῃ δ᾽ ἀπὸ τῆς ἐκλείψεως ἡμέρᾳ ξυνῆκαν τοῦ λό-
184 γου πάντες· σιτουμένου γὰρ τοῦ Νέρωνος ἐμπεσὼν τῇ τραπέζῃ σκηπτὸς διήλασε τῆς κύλικος ἐν χεροῖν οὔσης καὶ οὐ πολὺ ἀπεχούσης τοῦ στόματος· τὸ δὴ παρὰ τοσοῦτον ἐλθεῖν τοῦ βληθῆναι αὐτὸν πεπράξεσθαί τι εἶπε καὶ μὴ πεπράξεσθαι. ἀκούσας δὲ Τιγελλῖνος τὸν λόγον τοῦτον ἐς δέος ἀφίκετο τοῦ ἀνδρός, ὡς σοφοῦ τὰ δαιμόνια, καὶ ἐς ἐγκλήματα μὲν φανερὰ καθίστασθαι πρὸς αὐτὸν οὐκ ᾤετο
185 δεῖν, ὡς μὴ κακόν τι ἀφανὲς ὑπ᾽ αὐτοῦ λάβοι, δια-

λεγόμενον δὲ καὶ σιωπῶντα καὶ καθήμενον καὶ βαδίζοντα καὶ ὅ τι φάγοι καὶ παρ' ὅτῳ καὶ εἰ ἔθυσεν ἢ μὴ ἔθυσε, περιήθρει πᾶσιν ὀφθαλμοῖς, ὁπόσοις ἡ ἀρχὴ βλέπει.

XLIV Ἐμπεσόντος δὲ ἐν Ῥώμῃ νοσήματος, ὃ κατάρρουν οἱ ἰατροὶ ὀνομάζουσιν, ἀνίστανται δὲ ἄρα ὑπ' αὐτοῦ βῆχες καὶ ἡ φωνὴ τοῖς λαλοῦσι πονήρως ἔχει, τὰ μὲν ἱερὰ πλέα ἦν ἱκετευόντων τοὺς θεούς, ἐπεὶ διῳδήκει τὴν φάρυγγα Νέρων καὶ μελαίνῃ τῇ φωνῇ ἐχρῆτο, ὁ δὲ Ἀπολλώνιος ἐρρήγνυτο μὲν πρὸς τὴν τῶν πολλῶν ἄνοιαν, ἐπέπληττε δὲ οὐδενί, ἀλλὰ καὶ τὸν Μένιππον παροξυνόμενον ὑπὸ τῶν τοιούτων ἐσωφρόνιζέ τε καὶ κατεῖχε ξυγγιγνώσκειν κελεύων τοῖς θεοῖς, εἰ μίμοις γελοίων χαίρουσιν, ἀπαγγελθέντος δὲ τῷ Τιγελλίνῳ τοῦ λόγου τούτου, πέμπει τοὺς ἄξοντας αὐτὸν ἐς τὸ δικαστήριον, ὡς ἀπολογήσαιτο μὴ ἀσεβεῖν ἐς Νέρωνα, παρεσκεύαστο δὲ καὶ κατήγορος ἐπ' αὐτὸν πολλοὺς ἀπολωλεκὼς ἤδη καὶ τοιούτων Ὀλυμπιάδων μεστός, καί τι καὶ γραμματεῖον εἶχεν ἐν ταῖν χεροῖν γεγραμμένον τὸ ἔγκλημα, καὶ τοῦτο ὥσπερ ξίφος ἀνασείων ἐπὶ τὸν ἄνδρα ἠκονῆσθαί τε αὐτὸ ἔλεγε καὶ ἀπολεῖν αὐτόν. ἐπεὶ δὲ ἀνελίττων Τιγελλῖνος τὸ γραμματεῖον γραμμῆς μὲν ἴχνος ἐν αὐτῷ οὐχ εὗρεν, ἀσήμῳ δέ τινι βιβλίῳ ἐνέτυχεν, ἐς ἔννοιαν ἀπηνέχθη δαίμονος. τουτὶ δὲ καὶ Δομετιανὸς ὕστερον πρὸς αὐτὸν λέγεται παθεῖν. ἀπολαβὼν οὖν τὸν Ἀπολλώνιον ἤνεγκεν ἐς τὸ ἀπόρρητον δικαστήριον, ἐν ᾧ περὶ τῶν μεγίστων ἡ ἀρχὴ αὕτη ἀφανῶς δικάζει, καὶ μεταστησάμενος πάντας ἐνέκειτο ἐρωτῶν, ὅστις εἴη, ὁ δὲ Ἀπολλώνιος πατρός τε ἐμέμνητο καὶ πατρίδος καὶ ἐφ' ὅ τι τῇ σοφίᾳ χρῷτο, ἔφασκέ τε αὐτῇ χρῆσθαι ἐπί τε τὸ θεοὺς

γιγνώσκειν ἐπί τε τὸ ἀνθρώπων ξυνιέναι, τοῦ γὰρ ἑαυτὸν γνῶναι χαλεπώτερον εἶναι τὸ ἄλλον γνῶναι. „τοὺς δαίμονας,“ εἶπεν „ὦ Ἀπολλώνιε, καὶ τὰς τῶν εἰδώλων φαντασίας πῶς ἐλέγχεις;“ „ὥς γε“ ἔφη
186 „τοὺς μιαιφόνους τε καὶ ἀσεβεῖς ἀνθρώπους.“ ταυτὶ δὲ πρὸς τὸν Τιγελλῖνον ἀποσκώπτων ἔλεγεν, ἐπειδὴ πάσης ὠμότητός τε καὶ ἀσελγείας διδάσκαλος ἦν τῷ Νέρωνι. „μαντεύσαιο δ' ἂν“ ἔφη „δεηθέντι μοι;“ „πῶς“ εἶπεν „ὅ γε μὴ μάντις ὤν;“ „καὶ μὴν σὲ“ ἔφη „φασὶν εἶναι τὸν εἰπόντα ἔσεσθαί τι μέγα καὶ οὐκ ἔσεσθαι“. „ἀληθῶς“ εἶπεν „ἤκουσας, τοῦτο δὲ μὴ μαντικῇ προστίθει, σοφίᾳ δὲ μᾶλλον, ἣν θεὸς φαίνει σοφοῖς ἀνδράσιν.“ „Νέρωνα δὲ“ ἔφη „διὰ τί οὐ δέδοικας;“ „ὅτι“ εἶπεν „ὁ θεὸς ὁ παρέχων ἐκείνῳ φοβερῷ δοκεῖν κἀμοὶ δέδωκεν ἀφόβῳ εἶναι.“ „φρονεῖς δὲ πῶς“ εἶπε „περὶ Νέρωνος;“ ὁ δὲ Ἀπολλώνιος „βέλτιον“ εἶπεν „ἢ ὑμεῖς· ὑμεῖς γὰρ ἡγεῖσθε αὐτὸν ἄξιον τοῦ ᾄδειν, ἐγὼ δὲ ἄξιον τοῦ σιωπᾶν.“ ἐκπλαγεὶς οὖν ὁ Τιγελλῖνος „ἄπιθι“ ἔφη „καταστήσας ἐγγυητὰς τοῦ σώματος“. ὁ δὲ Ἀπολλώνιος „καὶ τίς“ εἶπεν „ἐγγυήσεται σῶμα, ὃ μηδεὶς δήσει;“ ἔδοξε τῷ Τιγελλίνῳ ταῦτα δαιμόνιά τε εἶναι καὶ πρόσω ἀνθρώπου, καὶ ὥσπερ θεομαχεῖν φυλαττόμενος, „χώρει“, ἔφη „οἷ βούλει, σὺ γὰρ κρείττων ἢ ὑπ' ἐμοῦ ἄρχεσθαι.“

Κἀκεῖνο Ἀπολλωνίου θαῦμα· κόρη ἐν ὥρᾳ γά- XLV
μου τεθνάναι ἐδόκει καὶ ὁ νυμφίος ἠκολούθει τῇ 85
κλίνῃ βοῶν ὁπόσα ἐπ' ἀτελεῖ γάμῳ, ξυνωλοφύρετο δὲ καὶ ἡ Ῥώμη, καὶ γὰρ ἐτύγχανεν οἰκίας ἡ κόρη τελούσης ἐς ὑπάτους. παρατυχὼν οὖν ὁ Ἀπολλώνιος τῷ πάθει „κατάθεσθε“ ἔφη „τὴν κλίνην, ἐγὼ γὰρ ὑμᾶς τῶν ἐπὶ τῇ κόρῃ δακρύων παύσω.“ καὶ ἅμα

ἤρετο, ὅ τι ὄνομα αὐτῇ εἴη. οἱ μὲν δὴ πολλοὶ ᾤοντο λόγον ἀγορεύσειν αὐτόν, οἷοι τῶν λόγων οἱ ἐπικήδειοί τε καὶ τὰς ὀλοφύρσεις ἐγείροντες, ὁ δὲ οὐδὲν ἀλλ' ἢ προσαψάμενος αὐτῆς καί τι ἀφανῶς ἐπειπὼν ἀφύπνισε τὴν κόρην τοῦ δοκοῦντος θανάτου, καὶ φωνήν τε ἡ παῖς ἀφῆκεν ἐπανῆλθέ τε ἐς τὴν οἰκίαν τοῦ πατρός, ὥσπερ ἡ Ἄλκηστις ὑπὸ τοῦ Ἡρακλέους ἀναβιωθεῖσα. δωρουμένων δὲ αὐτῷ τῶν ξυγγενῶν τῆς κόρης μυριάδας δεκαπέντε φερνὴν ἔφη ἐπιδιδόναι αὐτὰς τῇ παιδί. καὶ εἴτε σπινθῆρα τῆς ψυχῆς εὗρεν ἐν αὐτῇ, ὃς ἐλελήθει τοὺς θεραπεύοντας — λέγεται γάρ, ὡς ψεκάζοι μὲν ὁ Ζεύς, ἡ δὲ ἀτμίζοι 187
ἀπὸ τοῦ προσώπου — εἴτ' ἀπεσβηκυῖαν τὴν ψυχὴν ἀνέθαλψέ τε καὶ ἀνέλαβεν, ἄρρητος ἡ κατάληψις τούτου γέγονεν οὐκ ἐμοὶ μόνῳ, ἀλλὰ καὶ τοῖς παρατυχοῦσιν.

XLVI Ἐτύγχανε δὲ περὶ τὸν χρόνον τοῦτον καὶ Μουσώνιος κατειλημμένος ἐν τοῖς δεσμωτηρίοις τοῦ Νέρωνος, ὅν φασι τελεώτατα ἀνθρώπων φιλοσοφῆσαι, καὶ φανερῶς μὲν οὐ διελέγοντο ἀλλήλοις παραιτησαμένου τοῦ Μουσωνίου τοῦτο, ὡς μὴ ἄμφω κινδυνεύσειαν, ἐπιστολιμαίους δὲ τὰς ξυνουσίας ἐποιοῦντο φοιτῶντος ἐς τὸ δεσμωτήριον τοῦ Μενίππου καὶ τοῦ Δάμιδος. τὰς δὲ οὐχ ὑπὲρ μεγάλων ἐπιστολὰς ἐάσαντες τὰς ἀναγκαίας παραθησόμεθα κἀξ ὧν ὑπάρχει κατιδεῖν τι μέγα.

Ἀπολλώνιος Μουσωνίῳ φιλοσόφῳ χαίρειν.

Βούλομαι παρὰ σὲ ἀφικόμενος κοινωνῆσαί σοι λόγου καὶ στέγης, ὥς τι ὀνήσαιμί σε. εἴ γε μὴ ἀπιστεῖς, ὡς Ἡρακλῆς ποτε Θησέα ἐξ Ἅιδου ἔλυσε, γράφε, τί βούλει. ἔρρωσο.

Μουσώνιος Ἀπολλωνίῳ φιλοσόφῳ χαίρειν.

Ὧν μὲν ἐνενοήθης, ἀποκείσεταί σοι ἔπαινος, ἀνὴρ δὲ ὁ ὑπομείνας ἀπολογίαν καὶ ὡς οὐδὲν ἀδικεῖ δείξας ἑαυτόν. ἔρρωσο.

Ἀπολλώνιος Μουσωνίῳ φιλοσόφῳ χαίρειν.

Σωκράτης (ὁ) Ἀθηναῖος ὑπὸ τῶν ἑαυτοῦ φίλων λυθῆναι μὴ βουληθεὶς παρῆλθε μὲν ἐς δικαστήριον, ἀπέθανε δέ. ἔρρωσο.

Μουσώνιος Ἀπολλωνίῳ φιλοσόφῳ χαίρειν.

Σωκράτης ἀπέθανεν, ἐπεὶ μὴ παρεσκεύασεν ἐς XLVII
ἀπολογίαν ἑαυτόν, ἐγὼ δὲ ἀπολογήσομαι. ἔρρωσο. 11

188 Ἐξελαύνοντος δὲ ἐς τὴν Ἑλλάδα τοῦ Νέρωνος καὶ προκηρύξαντος δημοσίᾳ μηδένα ἐμφιλοσοφεῖν τῇ Ῥώμῃ τρέπεται ὁ Ἀπολλώνιος ἐπὶ τὰ ἑσπέρια τῆς γῆς, ἅ φασιν ὁρίζεσθαι ταῖς Στήλαις, τὰς ἀμπώτεις τοῦ Ὠκεανοῦ ἐποψόμενος καὶ τὰ Γάδειρα. καὶ γάρ τι καὶ περὶ φιλοσοφίας τῶν ἐκείνῃ ἀνθρώπων ἤκουεν, ὡς ἐς πολὺ τοῦ θείου προηκόντων, ἠκολούθησαν δὲ αὐτῷ οἱ γνώριμοι πάντες ἐπαινοῦντες καὶ τὴν ἀποδημίαν καὶ τὸν ἄνδρα.

Ε΄.

86

Περὶ δὲ τῶν Στηλῶν, ἃς ὅρια τῆς γῆς τὸν Ἡρα- I
κλέα φασὶ πήξασθαι, τὰ μὲν μυθώδη ἐῶ, τὰ δ᾽ ἀκοῆς τε καὶ λόγου ἄξια δηλώσω μᾶλλον· Εὐρώπης καὶ Λιβύης ἄκραι σταδίων ἑξήκοντα πορθμὸν ἐπέχουσαι τὸν Ὠκεανὸν ἐς τὰ ἔσω πελάγη φέρουσι, καὶ τὴν μὲν τῆς Λιβύης ἄκραν, ὄνομα δὲ αὐτῇ Ἄβιννα, λέοντες ὑπερνέμονται περὶ τὰς ὀφρῦς τῶν ὀρῶν, ἃ ἔσω ὑπερφαίνεται, ξυνάπτουσαν πρὸς Γαιτούλους καὶ Τίγγας ἄμφω θηριώδη καὶ Λιβυκὰ ἔθνη, παρατείνει

δὲ ἐσπλέοντι τὸν Ὠκεανὸν μέχρι μὲν τῶν ἐκβολῶν τοῦ Σάληκος ἐννακόσια στάδια, τὸ δὲ ἐντεῦθεν οὐκ ἂν ξυμβάλοι τις ὁπόσα, μετὰ γὰρ τὸν ποταμὸν τοῦ- 198
τον ἄβιος ἡ Λιβύη καὶ οὐκέτι ἄνθρωποι. τὸ δὲ τῆς Εὐρώπης ἀκρωτήριον, ὃ καλεῖται Κάλπις, δεξιὰ μὲν ἐπέχει τοῦ ἔσπλου, σταδίων ἑξακοσίων μῆκος, λήγει δὲ ἐς τὰ ἀρχαῖα Γάδειρα.

II Τὰς δὲ τοῦ Ὠκεανοῦ τροπὰς καὶ αὐτὸς μὲν περὶ Κελτοὺς εἶδον, ὁποῖαι λέγονται, τὴν δὲ αἰτίαν ἐπὶ πολλὰ εἰκάζων, δι' ἣν ἄπειρον οὕτω πέλαγος ἐπιχωρεῖ τε καὶ ἀνασπᾶται, δοκῶ μοι τὸν Ἀπολλώνιον ἐπεσκέφθαι τὸ ὄν. ἐν μιᾷ γὰρ τῶν πρὸς Ἰνδοὺς ἐπιστολῶν τὸν Ὠκεανόν φησιν ὑφύδροις ἐλαυνόμενον πνεύμασιν ἐκ πολλῶν χασμάτων, ἃ ὑπ' αὐτῷ τε καὶ περὶ αὐτὸν ἡ γῆ παρέχεται, χωρεῖν ἐς τὸ ἔξω καὶ ἀναχωρεῖν πάλιν, ἐπειδὰν ὥσπερ ἆσθμα ὑπονοστήσῃ τὸ πνεῦμα. πιστοῦται δὲ αὐτὸ κἀκ τῶν νοσούντων περὶ Γάδειρα· τὸν γὰρ χρόνον, ὃν πλημμυρεῖ τὸ ὕδωρ, οὐκ ἀπολείπουσιν αἱ ψυχαὶ τοὺς ἀποθνήσκοντας, ὅπερ οὐκ ἂν ξυμβαίνειν, εἰ μὴ καὶ πνεῦμα τῇ γῇ ἐπεχώρει. ἃ δὲ περὶ τὴν σελήνην φασὶ φαίνεσθαι τικτομένην τε καὶ πληρουμένην καὶ φθίνουσαν, ταῦτα περὶ τὸν Ὠκεανὸν οἶδα, τὰ γὰρ ἐκείνης ἀνισοῖ
III μέτρα ξυμμινύθων αὐτῇ καὶ ξυμπληρούμενος. ἡμέρα δ' ἐκδέχεται νύκτα καὶ νὺξ τὴν ἡμέραν περὶ Κελτοὺς μὲν κατ' ὀλίγον ὑπαπιόντος τοῦ σκότους ἢ τοῦ φωτός, ὥσπερ ἐνταῦθα, περὶ Γάδειρα δὲ καὶ Στήλας ἀθρόως λέγονται τοῖς ὀφθαλμοῖς ἐμπίπτειν, ὥσπερ αἱ ἀστραπαί. φασὶ δὲ καὶ τὰς Μακάρων νήσους ὁρίζεσθαι τῷ Λιβυκῷ τέρματι πρὸς τὸ ἀοίκητον ἀνεχούσας ἀκρωτήριον. 190

IV Τὰ δὲ Γάδειρα κεῖται μὲν κατὰ τὸ τῆς Εὐρώπης

τέρμα, περιττοὶ δέ εἰσι τὰ θεῖα· γήρως οὖν βωμὸν ἵδρυνται καὶ τὸν θάνατον μόνοι ἀνθρώπων παιωνίζονται, βωμοὶ δὲ ἐκεῖ καὶ πενίας καὶ τέχνης καὶ Ἡρακλέους Αἰγυπτίου καὶ ἕτεροι τοῦ Θηβαίου· τὸν μὲν γὰρ ἐπὶ τὴν ἐγγὺς Ἐρύθειαν ἐλάσαι φασίν, ὅτε δὴ τὸν Γηρυόνην τε καὶ τὰς βοῦς ἑλεῖν, τὸν δὲ σοφίᾳ δόντα γῆν ἀναμετρήσασθαι πᾶσαν ἐς τέρμα. καὶ μὴν καὶ Ἑλληνικοὺς εἶναί φασι τὰ Γάδειρα καὶ παιδεύεσθαι τὸν ἡμεδαπὸν τρόπον· ἀσπάζεσθαι γοῦν Ἀθηναίους Ἑλλήνων μάλιστα καὶ Μενεσθεῖ τῷ Ἀθηναίῳ θύειν καὶ Θεμιστοκλέα δὲ τὸν ναύμαχον σοφίας τε καὶ ἀνδρείας ἀγασθέντες χαλκοῦν ἵδρυνται ἐννοοῦν καὶ ὥσπερ χρησμῷ ἐφιστάντα. ἰδεῖν καὶ V
δένδρα φασὶν ἐνταῦθα, οἷα οὐχ ἑτέρωθι τῆς γῆς,
καὶ Γηρυόνεια μὲν καλεῖσθαι αὐτά, δύο δὲ εἶναι, 87
φύεσθαι δὲ τοῦ σήματος, ὃ ἐπὶ τῷ Γηρυόνῃ ἕστηκε, παραλλάττοντα ἐκ πίτυός τε καὶ πεύκης ἐς εἶδος ἕτερον, λείβεσθαι δὲ αἵματι, καθάπερ τῷ χρυσῷ τὴν Ἡλιάδα αἴγειρον. ἡ δὲ νῆσος, ἐν ᾗ τὸ ἱερόν, ἔστι μὲν ὁπόση ὁ νεώς, πετρῶδες δὲ αὐτῆς οὐδέν, ἀλλὰ βαλβῖδι ξεστῇ εἴκασται. ἐν δὲ τῷ ἱερῷ τιμᾶσθαι μὲν ἄμφω τὼ Ἡρακλέε φασίν, ἀγάλματα δὲ αὐτοῖν οὐκ εἶναι, βωμοὺς δὲ τοῦ μὲν Αἰγυπτίου δύο χαλκοῦς καὶ ἀσήμους, ἕνα δὲ τοῦ Θηβαίου — τὰς δὲ ὕδρας τε καὶ τὰς Διομήδους ἵππους καὶ τὰ δώδεκα Ἡρα-
191 *κλέους ἔργα ἐκτετυπῶσθαί φασι κἀνταῦθα — λίθου ὄντα. ἡ Πυγμαλίωνος δὲ ἐλαία ἡ χρυσῆ, ἀνάκειται δὲ κἀκείνη ἐς τὸ Ἡράκλειον, ἀξία μέν, ὥς φασι, καὶ τοῦ θαλλοῦ θαυμάζειν, ᾧ εἴκασται, θαυμάζεσθαι δ' ἂν ἐπὶ τῷ καρπῷ μᾶλλον, βρύειν γὰρ αὐτὸν σμαράγδου λίθου. καὶ Τεύκρου τοῦ Τελαμωνίου ζωστῆρα χρυσοῦν φασι δείκνυσθαι, πῶς δὲ ἐς*

τὸν Ὠκεανὸν πλεύσαντος ἢ ἐφ' ὅ τι, οὔτε αὐτὸς ὁ *Δάμις* ξυνιδεῖν φησιν οὔτε ἐκείνων ἀκοῦσαι. τὰς δὲ ἐν τῷ ἱερῷ στήλας χρυσοῦ μὲν πεποιῆσθαι καὶ ἀργύρου ξυντετηκότοιν ἐς ἓν χρῶμα, εἶναι δὲ αὐτὰς ὑπὲρ πῆχυν τετραγώνου τέχνης, ὥσπερ οἱ ἄκμονες, ἐπιγεγράφθαι δὲ τὰς κεφαλὰς οὔτε *Αἰγυπτίοις* οὔτε *Ἰνδικοῖς* γράμμασιν, οὔτε οἵοις ξυμβαλεῖν. ὁ δὲ *Ἀπολλώνιος*, ὡς οὐδὲν οἱ ἱερεῖς ἔφραζον, οὐ ξυγχωρεῖ μοι“ ἔφη „ὁ *Ἡρακλῆς* ὁ *Αἰγύπτιος* μὴ οὐ λέγειν, ὁπόσα οἶδα· *Γῆς* καὶ *Ὠκεανοῦ* ξύνδεσμοι αἵδε αἱ στῆλαί εἰσιν, ἐπεγράψατο δὲ αὐτὰς ἐκεῖνος ἐν *Μοιρῶν* οἴκῳ, ὡς μήτε νεῖκος τοῖς στοιχείοις ἐγγένοιτο μήτε ἀτιμάσειαν τὴν φιλότητα, ἣν ἀλλήλων ἴσχουσιν.“

VI Φασὶ δὲ καὶ τὸν ποταμὸν ἀναπλῶσαι τὸν *Βαῖτιν*, ὃς δηλοῖ μάλιστα τὴν τοῦ *Ὠκεανοῦ* φύσιν· ἐπειδὰν γὰρ πλημμύρῃ τὸ πέλαγος, ἐπὶ τὰς πηγὰς ὁ ποταμὸς παλίρρους ἵεται πνεύματος δήπου ἀπωθουμένου αὐτὸν τῆς θαλάττης. τὴν δὲ ἤπειρον τὴν *Βαιτικήν*, ἧς ὁ ποταμὸς οὗτος ὁμώνυμος, ἀρίστην ἠπείρων φασί, πόλεών τε γὰρ εὖ ἔχειν καὶ νομῶν καὶ διῆχθαι τὸν ποταμὸν ἐς τὰ ἄστη πάντα, γεωργίας τε ξυμπάσης μεστὴν εἶναι καὶ ὡρῶν, οἷαι τῆς *Ἀττικῆς* αἱ μετοπώριναί τε καὶ μυστηριώτιδες.

VII *Διαλέξεις* δὲ τῷ *Ἀπολλωνίῳ* περὶ τῶν ἐκεῖ παρα- 192
πεσόντων ὁ *Δάμις* πλείους μὲν γενέσθαι φησίν, ἀξίας δὲ τοῦ ἀναγράψαι τάσδε· καθημένων ποτὲ αὐτῶν ἐς τὸ *Ἡράκλειον* ἀναγελάσας ὁ *Μένιππος*, ἀναμέμνητο δὲ ἄρα τοῦ *Νέρωνος* „τί“ ἔφη „τὸν γενναῖον ἡγώμεθα; τίνας“ ἔφη „ἐστεφανῶσθαι τῶν ἀγώνων; τοὺς δὲ βελτίστους *Ἕλληνας* οὐ ξὺν ὅλῳ γέλωτι φοιτᾶν ἐς τὰς πανηγύρεις;“ ὁ δὲ Ἀπολλώνιος

„ὡς μὲν ἐγὼ“ ἔφη „Τελεσίνου ἤκουον, δέδιεν ὁ
χρηστὸς Νέρων τὰς Ἠλείων μάστιγας· παρακελευο-
μένων γὰρ αὐτῷ τῶν κολάκων νικᾶν τὰ Ὀλύμπια
καὶ ἀνακηρύττειν τὴν Ῥώμην „ἤν γε“ ἔφη „μὴ βα-
σκήνωσιν Ἠλεῖοι, λέγονται γὰρ μαστιγοῦν καὶ φρο-
νεῖν ὑπὲρ ἐμέ“, πολλὰ δὲ καὶ ἄλλα ἀνοητότερα τού-
των προανεφώνησεν. ἐγὼ δὲ νικήσειν μὲν Νέρωνα
ἐν Ὀλυμπίᾳ φημί, τίς γὰρ οὕτω θρασύς, ὡς ἐναν-
τίαν θέσθαι; Ὀλύμπια δὲ οὐ νικήσειν, ἅτε μηδὲ ἐν
ὥρᾳ ἄγουσι· πατρίου μὲν γὰρ τοῖς Ὀλυμπίοις τοῦ
πέρυσιν ἐνιαυτοῦ ὄντος ἐκέλευσε τοὺς Ἠλείους Νέ-
ρων ἀναβαλέσθαι αὐτὰ ἐς τὴν ἑαυτοῦ ἐπιδημίαν, ὡς 88
ἐκείνῳ μᾶλλον ἢ τῷ Διὶ θύσοντας· τραγῳδίαν δ᾽
ἐπαγγεῖλαι καὶ κιθαρῳδίαν ἀνδράσιν, οἷς μήτε θέα-
τρόν ἐστι μήτε σκηνὴ πρὸς τὰ τοιαῦτα, στάδιον δὲ
αὐτοφυὲς καὶ γυμνὰ πάντα, τὸν δὲ νικᾶν, ἃ χρὴ
ἐγκαλύπτεσθαι, καὶ τὴν Αὐγούστου τε καὶ Ἰουλίου
σκευὴν ῥίψαντα μεταμφιέννυσθαι νῦν τὴν Ἀμοιβέως
καὶ Τερπνοῦ τί φήσεις; καὶ τὰ μὲν Κρέοντός τε καὶ
193 Οἰδίποδος οὕτως ἐξακριβοῦν, ὡς δεδιέναι, μή πη
λάθῃ ἁμαρτὼν θύρας ἢ στολῆς ἢ σκήπτρου, ἑαυτοῦ
δὲ καὶ Ῥωμαίων οὕτως ἐκπίπτειν, ὡς ἀντὶ τοῦ νο-
μοθετεῖν νόμους ᾄδειν καὶ ἀγείρειν ἔξω θυρῶν, ὧν
ἔσω χρὴ καθῆσθαι τὸν βασιλέα χρηματίζοντα ὑπὲρ
γῆς καὶ θαλάττης; εἰσίν, ὦ Μένιππε, τραγῳδοὶ πλεί-
ους, ἐς οὓς Νέρων ἑαυτὸν γράφει· τί οὖν; εἴ τις
αὐτῶν μετὰ τὸν Οἰνόμαον ἢ τὸν Κρεσφόντην ἀπελ-
θὼν τοῦ θεάτρου μεστὸς οὕτω τοῦ προσωπείου γέ-
νοιτο, ὡς ἄρχειν μὲν ἑτέρων βούλεσθαι, τύραννον
δὲ αὑτὸν ἡγεῖσθαι, τί καὶ φήσεις τοῦτον; ἆρ᾽ οὐκ
ἐλλεβόρου δεῖσθαι καὶ φαρμακοποσίας, ὁπόση τοὺς
νοῦς ἐκκαθαίρει; εἰ δ᾽ αὐτὸς ὁ τυραννεύων ἐς τρα-

γῳδοὺς καὶ τεχνίτας τὰ πράγματα ἑαυτοῦ ἄγοι λεαίνων τὴν φωνὴν καὶ δεδιὼς τὸν Ἠλεῖον ἢ τὸν Δελφόν, ἢ μὴ δεδιὼς μέν, κακῶς δὲ οὕτως ὑποκρινόμενος τὴν ἑαυτοῦ τέχνην, ὡς μὴ μαστιγώσεσθαι νομίζειν πρὸς τούτων, ὧν αὐτὸς ἄρχειν τέτακται, τί τοὺς κακοδαίμονας ἀνθρώπους ἐρεῖς ὑπὸ τοιούτῳ καθάρματι ζῶντας; τοῖς δὲ Ἕλλησι τίνα ἡγῇ, ὦ Μένιππε; πότερα Ξέρξην καταπιμπράντα ἢ Νέρωνα ᾄδοντα; εἰ γὰρ ἐνθυμηθείης τὴν ἀγοράν, ἣν ἐς τὰς ἐκείνου ᾠδὰς ξυμφέρουσι, καὶ ὡς ἐξωθοῦνται τῶν οἰκιῶν καὶ ὡς οὐκ ἔξεστι σπουδαῖον οὐδὲν ἢ σκεῦος ἢ ἀνδράποδον αὐτοῖς πεπᾶσθαι, περὶ γυναίοις τε καὶ παισὶν ὡς δεινὰ πείσονται τὰς ἐπιρρήτους ἡδονὰς ἐξ ἁπάσης οἰκίας ἐκλέγοντος τοῦ Νέρωνος, δίκαι τε ὡς πολλαὶ ἀναφύσονται καὶ τὰς μὲν ἄλλας ἔα, τὰς 194
δὲ ἐπὶ τοῖς θεάτροις καὶ ταῖς ᾠδαῖς· οὐκ ἦλθες ἀκροασόμενος Νέρωνος ἢ παρῆσθα μέν, ῥᾳθύμως δὲ ἠκροῶ ἐγέλας οὐκ ἐκρότησας οὐκ ἔθυσας ὑπὲρ τῆς φωνῆς, ἵνα Πυθῶδε λαμπροτέρα ἔλθοι, πολλαί σοι δόξουσι θεατῶν Ἰλιάδες περὶ τοὺς Ἕλληνας εἶναι. τὸ γὰρ τετμήσεσθαι τὸν Ἰσθμὸν ἢ οὐ τετμήσεσθαι, τέμνεται δέ, ὥς φασι, νῦν, πάλαι προὔμαθον θεοῦ φήναντος.“ ὑπολαβὼν οὖν ὁ Δάμις, „ἀλλ' ἔμοιγε“, ἔφη „ὦ Ἀπολλώνιε, τὸ περὶ τὴν τομὴν ἔργον ὑπερφωνεῖν δοκεῖ τὰ Νέρωνος πάντα, ἡ γὰρ διάνοια ὁρᾷς, ὡς μεγάλη.“ δοκεῖ μὲν „ἔφη“ κἀμοί, ὦ Δάμι, τὸ δὲ ἀτελὲς αὐτῆς διαβάλλει αὐτόν, ὡς ἀτελῆ μὲν ᾄδοντα, ἀτελῆ δὲ ὀρύττοντα. τά τοι Ξέρξου ἀναλεγόμενος ἐπαινῶ τὸν ἄνδρα, οὐχ ὅτι τὸν Ἑλλήσποντον ἔζευξεν, ἀλλ' ὅτι διέβη αὐτόν, Νέρωνα δὲ οὔτε πλευσούμενον διὰ τοῦ Ἰσθμοῦ ὁρῶ οὔτε ἐς τέρμα τῆς ὀρυχῆς ἥξοντα, δοκεῖ δέ μοι καὶ φόβου

μεστὸς ἀναχωρῆσαι τῆς Ἑλλάδος, εἰ μὴ ἡ ἀλήθεια
ἀπόλωλεν.“

Ἀφικομένου δέ τινος ἐς Γάδειρα μετὰ ταῦτα VIII
τῶν τοὺς ταχεῖς διαθεόντων δρόμους καὶ κελεύον-
τος εὐαγγέλια θύειν τρισολυμπιονίκην Νέρωνα ᾄδον-
τας τὰ μὲν Γάδειρα ξυνίει τῆς νίκης καὶ ὅτι ἐν
Ἀρκαδίᾳ τις εἴη ἀγὼν εὐδόκιμος, ἐπειδή, ὡς εἶπον,
ἐς τὰ Ἑλλήνων σπεύδουσιν, αἱ δὲ πόλεις αἱ πρόσ-
οικοι τοῖς Γαδείροις οὔτε ἐγίγνωσκον ὅ τι εἴη τὰ
Ὀλύμπια, οὐδ' ὅ τι ἀγωνία ἢ ἀγών, οὐδὲ ἐφ' ὅτῳ 89
θύουσιν, ἀλλ' ἀπήγοντο ἐς γελοίους δόξας πολέ-
μου νίκην ἡγούμενοι ταῦτα καὶ ὅτι ὁ Νέρων ᾑρήκοι
195 τινὰς ἀνθρώπους Ὀλυμπίους· οὐδὲ γὰρ τραγῳ-
δίας ποτὲ ἢ κιθαρῳδίας θεαταὶ ἐγεγόνεσαν. τοὺς IX
γοῦν οἰκοῦντας τὰ Ἴπολα, πόλις δὲ κἀκείνη Βαι-
τική, φησὶν ὁ Δάμις παθεῖν τι πρὸς τραγῳδίας ὑπο-
κριτήν, οὗ κἀμὲ ἄξιον ἐπιμνησθῆναι· θυουσῶν γὰρ
τῶν πόλεων θαμὰ ἐπὶ ταῖς νίκαις, ἐπειδὴ καὶ αἱ
Πυθικαὶ ἤδη ἀπηγγέλλοντο, τραγῳδίας ὑποκριτὴς
τῶν οὐκ ἀξιουμένων ἀνταγωνίζεσθαι τῷ Νέρωνι
ἐπῄει τὰς ἑσπερίους πόλεις ἀγείρων, καὶ τῇ τέχνῃ
χρώμενος ηὐδοκίμει παρὰ τοῖς ἧττον βαρβάροις,
πρῶτον μὲν δι' αὐτὸ τὸ ἥκειν παρ' ἀνθρώπους, οἳ
μήπω τραγῳδίας ἤκουσαν, εἶτ' ἐπειδὴ τὰς Νέρωνος
μελῳδίας ἀκριβοῦν ἔφασκε. παρελθὼν δὲ ἐς τὰ
Ἴπολα φοβερὸς μὲν αὐτοῖς ἐφαίνετο καὶ ὃν ἐσιώπα
χρόνον ἐπὶ τῆς σκηνῆς, καὶ ὁρῶντες οἱ ἄνθρωποι
βαδίζοντα μὲν αὐτὸν μέγα, κεχηνότα δὲ τοσοῦτον,
ἐφεστῶτα δὲ ὀκρίβασιν οὕτως ὑψηλοῖς τερατώδη τε
τὰ περὶ αὐτὸν ἐσθήματα, οὐκ ἄφοβοι ἦσαν τοῦ σχή-
ματος, ἐπεὶ δὲ ἐξάρας τὴν φωνὴν γεγωνὸν ἐφθέγξατο,
φυγῇ οἱ πλεῖστοι ᾤχοντο, ὥσπερ ὑπὸ δαίμονος

ἐμβοηθέντες. τοιαῦτα μὲν τὰ ἤθη τῶν ταύτῃ βαρβάρων καὶ οὕτως ἀρχαῖα.

X Σπουδὴν δὲ ποιουμένου τοῦ τὴν Βαιτικὴν ἐπιτροπεύοντος ἐς ξυνουσίαν τῷ Ἀπολλωνίῳ ἐλθεῖν ὁ μὲν ἀηδεῖς ἔφη τὰς ξυνουσίας τὰς ἑαυτοῦ φαίνεσθαι τοῖς μὴ φιλοσοφοῦσιν, ὁ δὲ προσέκειτο αἰτῶν τοῦτο· ἐπεὶ δὲ χρηστός τε εἶναι ἐλέγετο καὶ διαβεβλημένος πρὸς τοὺς Νέρωνος μίμους, γράφει πρὸς αὐτὸν ἐπιστολὴν ὁ Ἀπολλώνιος, ἵν' ἐς τὰ Γάδειρα ἔλθοι, ὁ δὲ ἀφελὼν τὸν τῆς ἀρχῆς ὄγκον ξὺν ὀλίγοις καὶ ἑαυτῷ ἐπιτηδειοτάτοις ἦλθεν. ἀσπασάμενοι δὲ ἀλλήλους καὶ μεταστησάμενοι τοὺς παρόντας ὅ τι μὲν διελέχθησαν, οὐδεὶς οἶδε, τεκμαίρεται δὲ ὁ Δάμις ἐπὶ Νέρωνα ξυμβῆναι σφᾶς. τριῶν γὰρ ἡμερῶν ἰδίᾳ σπουδάσαντες ὁ μὲν ἀπῄει περιβαλὼν τὸν Ἀπολλώνιον, ὁ δὲ „ἔρρωσο“ ἔφη „καὶ μέμνησο τοῦ Βίνδικος“. τί δὲ τοῦτο ἦν; ἐπὶ Νέρωνα ἐν Ἀχαΐᾳ ᾄδοντα τὰ ἔθνη τὰ ἑσπέρια λέγεται κινῆσαι Βίνδιξ ἀνὴρ οἷος ἐκτεμεῖν τὰς νευράς, ἃς Νέρων ἀμαθῶς ἔψαλλε, 196 πρὸς γὰρ τὰ στρατόπεδα, οἷς ἐπετέτακτο, λόγον κατ' αὐτοῦ διῆλθεν, ὃν ἐκ πάνυ γενναίας φιλοσοφίας ἐπὶ τύραννον ἄν τις πνεύσειεν· ἔφη γὰρ Νέρωνα εἶναι πάντα μᾶλλον ἢ κιθαρῳδὸν καὶ κιθαρῳδὸν μᾶλλον ἢ βασιλέα. προφέρειν δὲ αὐτῷ μανίαν μὲν καὶ φιλοχρηματίαν καὶ ὠμότητα καὶ ἀσέλγειαν πᾶσαν, τὸ δὲ ὠμότατον τῶν ἐκείνου μὴ προφέρειν αὐτῷ· τὴν γὰρ μητέρα ἐν δίκῃ ἀπεκτονέναι, ἐπειδὴ τοιοῦτον ἔτεκε. ταῦτ' οὖν ὡς ἔσται, προγιγνώσκων ὁ Ἀπολλώνιος ξυνέταττε τῷ Βίνδικι ὅμορον ἄρχοντα μονονουχὶ ὅπλα ὑπὲρ τῆς Ῥώμης τιθέμενος.

XI φλεγμαινόντων δὲ τῶν περὶ τὴν ἑσπέραν τρέπονται τὸ ἐντεῦθεν ἐπὶ Λιβύην καὶ Τυρρηνοὺς καὶ τὰ μὲν πεζῇ

βαδίζοντες, τὰ δὲ ἐπὶ πλοίων πορευόμενοι κατίσχουσιν ἐν Σικελίᾳ, οὗ τὸ Λιλύβαιον. παραπλεύσαντες δὲ ἐπὶ Μεσσήνην τε καὶ πορθμόν, ἔνθα ὁ Τυρρηνὸς Ἀδρίᾳ ξυμβάλλων χαλεπὴν ἐργάζονται τὴν χάρυβδιν, ἀκοῦσαί φασιν, ὡς Νέρων μὲν πεφεύγοι, τεθνήκοι δὲ Βίνδιξ, ἅπτοιντο δὲ τῆς ἀρχῆς οἱ μὲν ἐξ αὐτῆς Ῥώμης, οἱ δὲ ὁπόθεν τύχοι τῶν ἐθνῶν. ἐρομένων δὲ αὐτὸν τῶν ἑταίρων, οἷ προβήσοιτο ταῦτα καὶ ὅτου λοιπὸν ἡ ἀρχὴ ἔσοιτο, „πολλῶν" εἶπε „Θηβαίων". τὴν γὰρ ἰσχύν, ᾗ πρὸς ὀλίγον Βιτέλιος τε 90
καὶ Γάλβας καὶ Ὄθων ἐχρήσαντο, Θηβαίοις εἴκασεν, οἳ χρόνον κομιδῇ βραχὺν ἤχθησαν ἐς τὰ τῶν Ἑλλήνων πράγματα.

Ὅτι μὲν γὰρ τὰ τοιαῦτα δαιμονίᾳ κινήσει προ- XII
εγίγνωσκε καὶ ὅτι τοῖς γόητα τὸν ἄνδρα ἡγουμένοις
197 οὐχ ὑγιαίνει ὁ λόγος, δηλοῖ μὲν καὶ τὰ εἰρημένα, σκεψώμεθα δὲ κἀκεῖνα· οἱ γόητες, ἡγοῦμαι δ' αὐτοὺς ἐγὼ κακοδαιμονεστάτους ἀνθρώπων, οἱ μὲν ἐς βασάνους εἰδώλων χωροῦντες, οἱ δ' ἐς θυσίας βαρβάρους, οἱ δὲ ἐς τὸ ἐπᾷσαί τι ἢ ἀλεῖψαι μεταποιεῖν φασι τὰ εἱμαρμένα, καὶ πολλοὶ τούτων κατηγορίαις ὑπαχθέντες τὰ τοιαῦτα ὡμολόγησαν σοφοὶ εἶναι. ὁ δὲ εἵπετο μὲν τοῖς ἐκ Μοιρῶν, προὔλεγε δέ, ὡς ἀνάγκη γενέσθαι αὐτά, προεγίγνωσκε δὲ οὐ γοητεύων, ἀλλ' ἐξ ὧν οἱ θεοὶ ἔφαινον. ἰδὼν δὲ παρὰ τοῖς Ἰνδοῖς τοὺς τρίποδας καὶ τοὺς οἰνοχόους καὶ ὅσα αὐτόματα ἐσφοιτᾶν εἶπον, οὔθ' ὅπως σοφίζοιντο αὐτά, ἤρετο, οὔτ' ἐδεήθη μαθεῖν, ἀλλ' ἐπῄνει μέν, ζηλοῦν δ' οὐκ ἠξίου.

Ἀφικομένων δὲ αὐτῶν ἐς τὰς Συρακούσας γυνὴ XIII
τῶν οὐκ ἀφανῶν τέρας ἀπεκύησεν, οἷον οὔπω ἐμαιεύθη· τρεῖς γὰρ τῷ βρέφει κεφαλαὶ ἦσαν ἐξ οἰκείας

ἑκάστη δέρης, τὰ δὲ ἐπ' αὐταῖς ἑνὸς πάντα. οἱ μὲν δὴ παχέως ἐξηγούμενοι τὴν Σικελίαν ἔφασαν, τρινακρία γάρ, ἀπολεῖσθαι, εἰ μὴ ὁμονοήσειέ τε καὶ ξυμπνεύσειεν — ἐστασίαζον δὲ ἄρα πολλαὶ τῶν πόλεων πρὸς ἑαυτάς τε καὶ πρὸς ἀλλήλας καὶ τὸ ἐν κόσμῳ ζῆν ἀπῆν τῆς νήσου — οἱ δὲ ἔφασαν τὸν Τυφῶ, πολυκέφαλον δὲ εἶναι, νεώτερα ἀπειλεῖν τῇ Σικελίᾳ, ὁ δὲ Ἀπολλώνιος „ἴθι“, ἔφη „ὦ Δάμι, καὶ κάτιδε αὐτό, εἰ οὕτω ξύγκειται“. ἐξέκειτο γὰρ δημοσίᾳ τοῖς τερατολογεῖν εἰδόσιν, ἀπαγγείλαντος δὲ τοῦ Δάμιδος, ὡς τρικέφαλον εἴη καὶ ἄρρεν, ξυναγαγὼν τοὺς ἑταίρους „τρεῖς“ ἔφη „Ῥωμαίων αὐτοκράτορες, οὓς ἐγὼ πρῴην Θηβαίους ἔφην, τελειώσει δὲ οὐδεὶς τὸ ἄρχειν, ἀλλ' οἱ μὲν ἐπ' αὐτῆς Ῥώμης, ὁ δὲ περὶ τὰ ὅμορα τῇ Ῥώμῃ δυνηθέντες ἀπολοῦνται, θᾶττον ἀποβαλόντες τὸ προσωπεῖον ἢ οἱ τῶν τραγῳδῶν τύραννοι“. καὶ ὁ λόγος αὐτίκα ἐς φῶς ἦλθε· Γάλβας μὲν γὰρ ἐπ' αὐτῆς Ῥώμης ἀπέθανεν ἁψάμενος 198 τῆς ἀρχῆς, ἀπέθανε δὲ καὶ Βιτέλιος ὀνειροπολήσας τὸ ἄρχειν, Ὄθων δὲ περὶ τοὺς ἑσπερίους Γαλάτας ἀποθανὼν οὐδὲ τάφου λαμπροῦ ἔτυχεν, ἀλλ' ὥσπερ ἰδιώτης κεῖται· διέπτη δὲ ἡ τύχη ταῦτα ἑνὶ ἔτει.

XIV Πορευθέντες δὲ ἐπὶ Κατάνης, οὗ τὸ ὄρος ἡ Αἴτνη, Καταναίων μὲν ἀκοῦσαί φασιν ἡγουμένων τὸν Τυφῶ δεδέσθαι ἐκεῖ καὶ πῦρ ἐξ αὐτοῦ ἀνίστασθαι, ὃ τύφει τὴν Αἴτνην, αὐτοὶ δ' ἐς πιθανωτέρους ἀφικέσθαι λόγους καὶ προσήκοντας τοῖς φιλοσοφοῦσιν. ἄρξαι δ' αὐτῶν τὸν Ἀπολλώνιον ὧδε ἐρόμενον τοὺς ἑταίρους „ἔστι τι μυθολογία;“ „νὴ Δί'“, εἶπεν ὁ Μένιππος „ἥν γε οἱ ποιηταὶ ἐπαινοῦσι“. „τὸν δὲ δὴ Αἴσωπον τί ἡγῇ;“ „μυθολόγον“ εἶπε „καὶ λογοποιόν

πάντα". „πότεροι δὲ σοφοὶ τῶν μύθων;" „οἱ τῶν ποιητῶν", εἶπεν „ἐπειδὴ ὡς γεγονότες ᾄδονται". „οἱ δὲ δὴ Αἰσώπου τί;" „βάτραχοι" ἔφη „καὶ ὄνοι καὶ λῆροι γραυσὶν οἷοι μασᾶσθαι καὶ παιδίοις". „καὶ μὴν" ἔφη „ἐμοὶ" ὁ Ἀπολλώνιος, „ἐπιτηδειότεροι πρὸς σοφίαν οἱ τοῦ Αἰσώπου φαίνονται· οἱ μὲν γὰρ περὶ τοὺς ἥρωας, ὧν ποιητικὴ πᾶσα ἔχεται, καὶ διαφθείρουσι τοὺς ἀκροωμένους, ἐπειδὴ ἔρωτάς τε ἀτόπους οἱ ποιηταὶ ἑρμηνεύουσι καὶ ἀδελφῶν γάμους 91
καὶ διαβολὰς ἐς θεοὺς καὶ βρώσεις παίδων καὶ πανουργίας ἀνελευθέρους καὶ δίκας, καὶ τὸ ὡς γεγονὸς αὐτῶν ἄγει καὶ τὸν ἐρῶντα καὶ τὸν ζηλοτυποῦντα καὶ τὸν ἐπιθυμοῦντα πλουτεῖν ἢ τυραννεύειν ἐφ' ἅπερ οἱ μῦθοι, Αἴσωπος δὲ ὑπὸ σοφίας πρῶτον μὲν οὐκ ἐς τὸ κοινὸν τῶν ταῦτα ᾀδόντων ἑαυτὸν κατέστησεν, ἀλλ' ἑαυτοῦ τινα ὁδὸν ἐτράπετο, εἶτα, ὥσπερ οἱ τοῖς εὐτελεστέροις βρώμασι καλῶς ἑστιῶντες, ἀπὸ σμικρῶν πραγμάτων διδάσκει μεγάλα, καὶ προθέμενος τὸν λόγον ἐπάγει αὐτῷ τὸ πρᾶττε ἢ μὴ πρᾶττε, εἶτα τοῦ φιλαλήθους μᾶλλον ἢ οἱ ποιηταὶ ἥψατο· οἱ μὲν γὰρ βιάζονται πιθανοὺς φαίνεσθαι τοὺς ἑαυτῶν
199 λόγους, ὁ δ' ἐπαγγέλλων λόγον, ὅς ἐστι ψευδής, πᾶς οἶδεν, ὅτι αὐτὸ τὸ μὴ περὶ ἀληθινῶν ἐρεῖν ἀληθεύει. καὶ ὁ μὲν ποιητὴς εἰπὼν τὸν ἑαυτοῦ λόγον καταλείπει τῷ ὑγιαίνοντι ἀκροατῇ βασανίζειν αὐτόν, εἰ ἐγένετο, ὁ δὲ εἰπὼν μὲν ψευδῆ λόγον, ἐπαγαγὼν δὲ νουθεσίαν, ὥσπερ ὁ Αἴσωπος, δείκνυσιν ὡς ἐς τὸ χρήσιμον τῆς ἀκροάσεως τῷ ψεύδει κέχρηται. χαρίεν δ' αὐτοῦ τὸ καὶ τὰ ἄλογα ἡδίω ἐργάζεσθαι καὶ σπουδῆς ἄξια τοῖς ἀνθρώποις, ἐκ παίδων γὰρ τοῖς λόγοις τούτοις ξυγγενόμενοι καὶ ὑπ' αὐτῶν ἐκνηπιωθέντες δόξας ἀναλαμβάνομεν περὶ ἑκάστου τῶν

ζῴων, τὰ μὲν ὡς βασιλικὰ εἴη, τὰ δὲ ὡς εὐήθη, τὰ δὲ ὡς κομψά, τὰ δὲ ὡς ἀκέραια, καὶ ὁ μὲν ποιητὴς εἰπὼν

πολλαὶ μορφαὶ τῶν δαιμονίων

ἢ τοιοῦτό τι ἐπιχορεύσας ἀπῆλθεν, ὁ δὲ Αἴσωπος ἐπιχρησμῳδήσας τὸν ἑαυτοῦ λόγον καταλύει τὴν ξυν-
XV ουσίαν ἐς ὃ προὔθετο. ἐμὲ δέ, ὦ Μένιππε, καὶ μῦθον περὶ τῆς Αἰσώπου σοφίας ἐδιδάξατο ἡ μήτηρ κομιδῇ νήπιον, ὡς εἴη μέν ποτε ποιμὴν ὁ Αἴσωπος, νέμοι δὲ πρὸς ἱερῷ Ἑρμοῦ, σοφίας δὲ ἐρῴη καὶ εὔχοιτο αὐτῷ ὑπὲρ τούτου, πολλοὶ δὲ καὶ ἕτεροι ταὐτὸν αἰτοῦντες ἐπιφοιτῷεν τῷ Ἑρμῇ ὁ μὲν χρυσόν, ὁ δ' ἄργυρον, ὁ δὲ κηρύκειον ἐλεφάντινον, ὁ δὲ τῶν οὕτω τι λαμπρῶν ἀνάπτων, ὁ δ' Αἴσωπος ἔχοι μὲν οὕτως, ὡς μηδὲν τῶν τοιούτων ἔχειν, φείδοιτο δὲ καὶ ὧν εἶχε, γάλακτος δὲ αὐτῷ σπένδοι, ὅσον ὄις ἀμελχθεῖσα ἐδίδου καὶ κηρίον ἐπὶ τὸν βωμὸν φέροι, ὅσον τὴν χεῖρα ἐμπλῆσαι, ἑστιᾶν δ' αὐτὸν καὶ μύρτοις ᾤετο καὶ παραθεὶς ἂν τῶν ῥόδων ἢ τῶν ἴων κομιδῇ ὀλίγα. „τί γὰρ δεῖ, ὦ Ἑρμῆ“, ἔλεγε „στεφάνους πλέκειν καὶ ἀμελεῖν τῶν προβάτων;“ ὡς δὲ ἀφίκοντο ἐς ῥητὴν ἡμέραν ἐπὶ τὴν τῆς σοφίας διανομήν, ὁ μὲν Ἑρμῆς ἅτε λόγιος καὶ κερδῷος „σὺ μὲν“ ἔφη „φιλοσοφίαν ἔχε“, τῷ πλεῖστα δήπουθεν ἀναθέντι „σὺ 200
δὲ ἐς ῥητόρων ἤθη χώρει“, τῷ δεύτερά που χαρισαμένῳ, „σοὶ δὲ ἀστρονομεῖν χώρα, σοὶ δὲ εἶναι μουσικῷ, σοὶ δὲ ἡρῴου ποιητῇ μέτρου, σοὶ δὲ ἰαμβείου.“ ἐπεὶ δὲ καίτοι λογιώτατος ὢν κατανάλωσεν ἄκων ἅπαντα τὰ τῆς φιλοσοφίας μέρη καὶ ἔλαθεν ἑαυτὸν ἐκπεσὼν τοῦ Αἰσώπου, ἐνθυμεῖται τὰς Ὥρας, ὑφ' ὧν αὐτὸς ἐν κορυφαῖς τοῦ Ὀλύμπου ἐτράφη, ὡς ἐν σπαργάνοις ποτὲ αὐτῷ ὄντι μῦθον διελθοῦσαι περὶ

τῆς βοός, ὃν διελέχθη τῷ ἀνθρώπῳ ἡ βοῦς ὑπὲρ
ἑαυτῆς τε καὶ τῆς γῆς, ἐς ἔρωτα αὐτὸν τῶν τοῦ
Ἀπόλλωνος βοῶν κατέστησαν, καὶ δίδωσιν ἐντεῦθεν
τὴν μυθολογίαν τῷ Αἰσώπῳ, λοιπὴν ἐν σοφίας οἴκῳ
οὖσαν „ἔχε“, εἰπὼν „ἃ πρῶτα ἔμαθον“. αἱ μὲν δὴ
πολλαὶ μορφαὶ τῆς τέχνης ἐνθένδε ἀφίκοντο τῷ Αἰ-
σώπῳ, καὶ τοιόνδε ἀπέβη τὸ τῆς μυθολογίας πρᾶγμα.
ἴσως δ' ἀνόητον ἔπαθον· ἐπιστρέψαι γὰρ ὑμᾶς δια- XVI
νοηθεὶς ἐς λόγους φυσικωτέρους τε καὶ ἀληθεστέ-
ρους ὧν οἱ πολλοὶ περὶ τῆς Αἴτνης ᾄδουσιν, αὐτὸς
ἐς ἔπαινον μύθων ἀπηνέχθην, οὐ μὴν ἄχαρις ἡ ἐκ- 92
βολὴ τοῦ λόγου γέγονεν· ὁ γὰρ μῦθος, ὃν παραι-
τούμεθα, οὐ τῶν Αἰσώπου λόγων ἐστίν, ἀλλὰ τῶν
δραματικωτέρων καὶ ὧν οἱ ποιηταὶ θρυλοῦσιν· ἐκεῖ-
νοι μὲν γὰρ Τυφῶ τινα ἢ Ἐγκέλαδον δεδέσθαι φασὶν
ὑπὸ τῷ ὄρει καὶ δυσθανατοῦντα ἀσθμαίνειν τὸ πῦρ
τοῦτο, ἐγὼ δὲ γίγαντας μὲν γεγονέναι φημὶ καὶ
πολλαχοῦ τῆς γῆς ἀναδείκνυσθαι τοιαυτὶ σώματα
ῥαγέντων τῶν τάφων, οὐ μὴν ἐς ἀγῶνα ἐλθεῖν τοῖς
θεοῖς, ἀλλ' ὑβρίσαι μὲν τάχα ἐς τοὺς νεὼς αὐτῶν
καὶ τὰ ἕδη, οὐρανῷ δὲ ἐπιπηδῆσαι καὶ μὴ ξυγχωρεῖν
τοῖς θεοῖς ἐπ' αὐτοῦ εἶναι μανία μὲν λέγειν, μανία
201 δὲ οἴεσθαι. καὶ μηδὲ ἐκεῖνος ὁ λόγος καίτοι δοκῶν
εὐφημότερος εἶναι τιμάσθω, ὡς Ἡφαίστῳ μέλει τοῦ
χαλκεύειν ἐν τῇ Αἴτνῃ, καὶ κτυπεῖταί τις ἐνταῦθα
ὑπ' αὐτοῦ ἄκμων, πολλὰ γὰρ καὶ ἄλλα ὄρη πολλα-
χοῦ τῆς γῆς ἔμπυρα καὶ οὐκ ἂν φθάνοιμεν ἐπιφημί-
ζοντες αὐτοῖς γίγαντας καὶ Ἡφαίστους. τίς οὖν ἡ XVII
τῶν τοιῶνδε ὀρῶν αἰτία; γῆ κρᾶσιν ἀσφάλτου καὶ
θείου παρεχομένη τύφεται μὲν καὶ παρ' ἑαυτῆς φύ-
σει, πῦρ δ' οὔπω ἐκδίδωσιν, εἰ δὲ σηραγγώδης τύχοι
καὶ ὑποδράμοι αὐτὴν πνεῦμα, φρυκτὸν ἤδη αἴρει.

πλεονεκτήσασα δὲ ἡ φλόξ, ὥσπερ τὸ ὕδωρ, ἀπορρεῖ τῶν ὀρῶν καὶ ἐς τὰ πεδία ἐκχεῖται χωρεῖ τε ἐπὶ θάλατταν πῦρ ἀθρόον ἐκβολὰς ποιούμενον, οἷαι τῶν ποταμῶν εἰσι. χῶρος δ' Εὐσεβῶν, περὶ οὓς τὸ πῦρ ἐρρύη, λεγέσθω μὲν κἀνταῦθά τις, ἡγώμεθα δὲ τοῖς ὅσια πράττουσι γῆν μὲν πᾶσαν ἀσφαλῆ χῶρον εἶναι, θάλατταν δ' εὔπορον οὐ πλέουσι μόνον, ἀλλὰ καὶ 202 νεῖν πειρωμένοις." ἀεὶ γὰρ τοὺς λόγους ἀνέπαυεν ἐς τὰ χρηστὰ τῶν παραγγελμάτων.

XVIII Ἐμφιλοσοφήσας δὲ τῇ Σικελίᾳ χρόνον, ὃς ἀποχρῶσαν αὐτῷ σπουδὴν εἶχεν, ἐπὶ τὴν Ἑλλάδα ἐκομίζετο περὶ ἀρκτούρου ἐπιτολάς. ἀλύπου δὲ τοῦ πλοῦ γενομένου κατασχὼν ἐς Λευκάδα „ἀποβῶμεν" ἔφη „τῆς νεὼς ταύτης, οὐ γὰρ λῷον αὐτῇ ἐς Ἀχαίαν πλεῦσαι". προσέχοντος δὲ οὐδενὸς τῷ λόγῳ πλὴν τῶν γιγνωσκόντων τὸν ἄνδρα, αὐτὸς μὲν ἐπὶ Λευκαδίας νεὼς ὁμοῦ τοῖς βουλομένοις ξυμπλεῖν ἐς Λέχαιον κατέσχεν, ἡ δὲ ναῦς ἡ Συρακουσία κατέδυ ἐσπλέουσα τὸν Κρισαῖον κόλπον.

XIX Μυηθεὶς δ' Ἀθήνησιν, ἐμύει δ' αὐτὸν ἱεροφάντης, ὃν αὐτὸς τῷ προτέρῳ ἐπεμαντεύσατο, ἐνέτυχε καὶ Δημητρίῳ τῷ φιλοσόφῳ, μετὰ γὰρ τὸ Νέρωνος βαλανεῖον καὶ ἃ ἐπ' αὐτῷ εἶπε διῃτᾶτο Ἀθήνησιν ὁ Δημήτριος οὕτω γενναίως, ὡς μηδὲ τὸν χρόνον, ὃν Νέρων περὶ τοὺς ἀγῶνας ὕβριζεν, ἐξελθεῖν τῆς Ἑλλάδος. ἐκεῖνος καὶ Μουσωνίῳ ἔφασκεν ἐντετυχηκέναι περὶ τὸν Ἰσθμὸν δεδεμένῳ τε καὶ κεκελευσμένῳ ὀρύττειν, καὶ αὐτὸς μὲν ἐπευφημῆσαι τὰ εἰκότα, τὸν δὲ ἔχεσθαι τῆς σμινύης καὶ ἐρρωμένως τῇ γῇ ἐμβάλλειν, ἀνακύψαντα δὲ „λυπῶ σε", φάναι „ὦ Δημήτριε, τὸν Ἰσθμὸν ὀρύττων τῇ Ἑλλάδι; εἰ δὲ καὶ κιθαρῳδοῦντά με εἶδες, ὥσπερ Νέρωνα, τί ἂν

ἔπαθες;“ καὶ ἐάσθω τὰ Μουσωνίου πλείω ὄντα καὶ θαυμασιώτερα, ὡς μὴ δοκοίην θρασύνεσθαι πρὸς τὸν ἀμελῶς αὐτὰ εἰπόντα.

Χειμάσας δ' ὁ Ἀπολλώνιος ἐν τοῖς Ἑλληνικοῖς XX
ἱεροῖς πᾶσιν εἴχετο τῆς ἐπ' Αἰγύπτου ὁδοῦ περὶ ἔαρ,
πολλὰ μὲν ἐπιπλήξας, πολλὰ δὲ συμβουλεύσας ταῖς
πόλεσι, πολλῶν δὲ ἐς ἔπαινον καταστάς, οὐδὲ γὰρ 93
ἐπαίνου ἀπείχετο, ὁπότε τι ὑγιῶς πράσσοιτο, κατα-
203 βὰς δὲ ἐς Πειραιᾶ ναῦς μέν τις ὥρμει πρὸς ἱστίοις
οὖσα καὶ ἐς Ἰωνίαν ἀφήσουσα, ὁ δ' ἔμπορος οὐ ξυν-
εχώρει ἐμβαίνειν, ἰδιόστολον γὰρ αὐτὴν ἄγειν. ἐρο-
μένου δὲ τοῦ Ἀπολλωνίου „τίς ὁ φόρτος;“ „θεῶν“
ἔφη „ἀγάλματα ἀπάγω ἐς Ἰωνίαν, τὰ μὲν χρυσοῦ
καὶ λίθου, τὰ δὲ ἐλέφαντος καὶ χρυσοῦ“. „ἱδρυσό-
μενος ἢ τί;“ „ἀποδωσόμενος“ ἔφη „τοῖς βουλομέ-
νοις ἱδρύεσθαι.“ „δέδιας οὖν, ὦ λῷστε, μὴ συλή-
σωμεν τὰ ἀγάλματα ἐν τῇ νηί;“ „οὐ τοῦτο“ ἔφη
„δέδια, τὸ δὲ πλείοσι ξυμπλεῖν αὐτὰ καὶ ὁμιλίας
ἀναπίμπλασθαι φαύλου διαίτης τε, ὁπόση ναυτική,
δεινὸν ἡγοῦμαι“. „καὶ μήν, ὦ βέλτιστε“, εἶπε „δο-
κεῖς γάρ μοί τις Ἀθηναῖος εἶναι, τὰς ναῦς, αἷς ἐπὶ
τοὺς βαρβάρους ἐχρήσασθε, καίτοι ναυτικῆς ἀταξίας
ἐμπεπλησμένας ἐνέβαινον οἱ θεοὶ ξὺν ὑμῖν καὶ οὐκ
ᾤοντο ὑφ' ὑμῶν χραίνεσθαι, σὺ δὲ ἀμαθῶς οὕτως
ἀπωθῇ τῆς νεὼς φιλοσόφους ἄνδρας, οἷς μάλιστα οἱ
θεοὶ χαίρουσι καὶ ταῦτα ἐμπορίαν τοὺς θεοὺς πε-
ποιημένος; ἡ δὲ ἀγαλματοποιία ἡ ἀρχαία οὐ τοῦτο
ἔπραττεν, οὐδὲ περιῄεσαν τὰς πόλεις ἀποδιδόμενοι
τοὺς θεούς, ἀλλ' ἀπάγοντες μόνον τὰς αὑτῶν χεῖρας
καὶ ὄργανα λιθουργὰ καὶ ἐλεφαντουργὰ ὕλην τε
παρατιθέμενοι ἀργὸν ἐν αὐτοῖς τοῖς ἱεροῖς τὰς δη-
μιουργίας ἐποιοῦντο, σὺ δ' ὥσπερ τὰ Ὑρκανικά τε

καὶ Σκυθικά, ἀπείη δὲ εἰπεῖν τίνα, οὕτω τοὺς θεοὺς ἐς τοὺς λιμένας τε καὶ τὰς ἀγορὰς ἄγων οὐδὲν οἴει ἀσεβὲς πράττειν; καὶ μὴν καὶ σπερμολογοῦσιν ἔνιοι τῶν ἀνθρώπων ἐξαψάμενοί τι Δήμητρος ἢ Διονύσου ἄγαλμα καὶ τρέφεσθαί φασιν ὑπὸ τῶν θεῶν, οὓς φέρουσι, τὸ δ' αὐτοὺς σιτεῖσθαι τοὺς θεοὺς καὶ μηδ' ἐμπίπλασθαι τούτου, δεινῆς ἐμπορίας, εἴποιμι δ' ἂν καὶ ἀνοίας, εἰ μηδὲν ἐκ τούτου δέδοικας.“ τοιαῦτα ἐπιπλήξας ἐπὶ νεὼς ἑτέρας ἔπλει.

XXI Καταπλεύσας δὲ ἐς τὴν Χίον, καὶ μηδὲ τὸν πόδα 204 ἐς τὴν γῆν ἐρείσας μετεπήδησεν ἐς τὴν ναῦν τὴν πλησίον — ἐκήρυττε δ' ἡ ναῦς ἐς Ῥόδον — καὶ οἱ ἑταῖροι δὲ μετεπήδων οὐδὲν εἰπόντες, ἐφιλοσοφεῖτο γὰρ αὐτοῖς μάλιστα τὸ ἕπεσθαι λέγοντί τε καὶ πράττοντι. εὐφόρῳ δὲ περαιωθεὶς πνεύματι τάδε ἐσπούδασεν ἐν τῇ Ῥόδῳ· προσιόντα αὐτὸν τῷ τοῦ Κολοσσοῦ ἀγάλματι ἤρετο ὁ Δάμις, τί ἡγοῖτο ἐκείνου μεῖζον; ὁ δὲ εἶπεν· „ἄνδρα φιλοσοφοῦντα ὑγιῶς τε καὶ ἀδόλως“. ἐπεχωρίαζε τότε τῇ Ῥόδῳ Κάνος αὐλητής, ὃς ἄριστα δὴ ἀνθρώπων ἐδόκει αὐλεῖν. καλέσας οὖν αὐτὸν „τί“ ἔφη „ὁ αὐλητὴς ἐργάζεται;“ „πᾶν“, εἶπεν „ὅπερ ἂν ὁ ἀκροατὴς βούληται“. „καὶ μὴν πολλοὶ“ ἔφη „τῶν ἀκροωμένων πλουτεῖν βούλονται μᾶλλον ἢ αὐλοῦ ἀκούειν· πλουσίους οὖν ἀποφαίνεις, οὓς ἂν ἐπιθυμοῦντας τούτου αἴσθῃ;“ „οὐδαμῶς“, εἶπεν „ὡς ἐβουλόμην ἄν“. „τί δ'; εὐειδεῖς ἐργάζῃ τοὺς νέους τῶν ἀκροατῶν; ἐπειδὴ καλοὶ βούλονται δοκεῖν πάντες, περὶ οὓς νεότης ἐστίν“. „οὐδὲ τοῦτο“ ἔφη „καίτοι πλεῖστον ἀφροδίτης ἔχων ἐν τῷ αὐλῷ“. „τὶ οὖν ἐστιν,“ εἶπεν „ὃ τὸν ἀκροατὴν ἡγῇ βούλεσθαι;“ „τί δὲ ἄλλο γε“, ἦ δ' ὁ Κάνος „ἢ τὸν λυπούμενον μὲν κοιμίζεσθαι αὐτῷ τὴν λύπην

ὑπὸ τοῦ αὐλοῦ, τὸν δὲ χαίροντα ἱλαρώτερον ἑαυτοῦ
γίγνεσθαι, τὸν δὲ ἐρῶντα θερμότερον, τὸν δὲ φιλο-
θύτην ἐνθεώτερόν τε καὶ ὑμνῳδη;" „τοῦτο οὖν",
ἔφη „ὦ Κάνε, πότερον αὐτὸς ἐργάζεται ὁ αὐλὸς διὰ
τὸ χρυσοῦ τε καὶ ὀρειχάλκου καὶ ἐλάφων κνήμης
ξυγκεῖσθαι, οἱ δὲ καὶ ὄνων, ἢ ἕτερόν ἐστιν, ὃ ταῦτα
δύναται;" „ἕτερον" ἔφη „ὦ Ἀπολλώνιε, ἡ γὰρ μου-
σικὴ καὶ οἱ τρόποι καὶ τὸ ἀναμὶξ καὶ τὸ εὐμετάβολον
τῆς αὐλήσεως καὶ τὰ τῶν ἁρμονιῶν ἤθη, ταῦτα τοὺς
ἀκροωμένους ἁρμόττει καὶ τὰς ψυχὰς ἐργάζεται σφῶν,
ὁποίας βούλονται". „ξυνῆκα" ἔφη „ὦ Κάνε, ὅ τι 94
σοι ἡ τέχνη πράττει· τὸ γὰρ ποικίλον αὐτῆς καὶ τὸ
ἐς πάντας τρόπους, τοῦτο ἐξασκεῖς τε καὶ παρέχεις
τοῖς παρὰ σὲ φοιτῶσιν. ἐμοὶ δὲ πρὸς τοῖς ὑπὸ σοῦ
εἰρημένοις καὶ ἑτέρων δοκεῖ ὁ αὐλὸς δεῖσθαι· τῆς
205 τε εὐπνοίας καὶ τῆς εὐστομίας καὶ τοῦ εὔχειρα εἶναι
τὸν αὐλοῦντα, ἔστι δὲ εὔπνοια μέν, ἢν τορὸν καὶ
λευκὸν ᾖ τὸ πνεῦμα καὶ μὴ ἐπικτυπῇ ἡ φάρυγξ,
τουτὶ γὰρ ἔοικε φθόγγῳ ἀμούσῳ, εὐστομία δέ, ἢν
τὰ χείλη ἐνθέμενα τὴν τοῦ αὐλοῦ γλῶτταν μὴ πιμ-
πραμένου τοῦ προσώπου αὐλῇ, τὸν δὲ εὔχειρα αὐ-
λητὴν πολλοῦ ἡγοῦμαι ἄξιον, ἢν μήτε ὁ καρπὸς ἀπα-
γορεύῃ ἀνακλώμενος μήτε οἱ δάκτυλοι βραδεῖς ὦσιν
ἐπιπέτεσθαι τοῖς φθόγγοις, καὶ γὰρ τὸ ταχέως μετα-
βάλλειν ἐκ τρόπου ἐς τρόπον περὶ τοὺς εὔχειράς ἐστι
μᾶλλον. εἰ δὴ ταῦτα πάντα παρέχεις, θαρρῶν αὔλει,
ὦ Κάνε, μετὰ σοῦ γὰρ ἡ Εὐτέρπη ἔσται." ἐτύγχανέ XXII
τι καὶ μειράκιον νεόπλουτόν τε καὶ ἀπαίδευτον οἰκο-
δομούμενον οἰκίαν τινὰ ἐν τῇ Ῥόδῳ καὶ ξυμφέρον
ἐς αὐτὴν γραφάς τε ποικίλας καὶ λίθους ἐξ ἁπάν-
των ἐθνῶν. ἤρετο οὖν αὐτό, ὁπόσα χρήματα εἴη ἐς
διδασκάλους τε καὶ παιδείαν ἀνηλωκός· ὁ δὲ „οὐδὲ

δραχμήν“ εἶπεν. „ἐς δὲ τὴν οἰκίαν πόσα;“ „δώδεκα“ ἔφη „τάλαντα, προσαναλώσαιμι δ' ἂν καὶ ἕτερα τοσαῦτα“. „τί δ'“ εἶπεν „ἡ οἰκία βούλεταί σοι;“ „δίαιτα“ ἔφη „λαμπρὰ ἔσται τῷ σώματι, καὶ γὰρ δρόμοι ἐν αὐτῇ καὶ ἄλση καὶ ὀλίγα ἐς ἀγορὰν βαδιοῦμαι καὶ προσεροῦσί με οἱ ἐσιόντες ἥδιον, ὥσπερ ἐς ἱερὸν φοιτῶντες.“ „ζηλωτότεροι δὲ“ εἶπεν „οἱ ἄνθρωποι πότερον δι' αὐτούς εἰσιν ἢ διὰ τὰ περὶ αὐτοὺς ὄντα;“ „διὰ τὸν πλοῦτον“, εἶπε, „τὰ γὰρ χρήματα πλεῖστον ἰσχύει“. „χρημάτων δ'“, ἔφη „ὦ μειράκιον, ἀμείνων φύλαξ πότερον ὁ πεπαιδευμένος ἔσται ἢ ὁ ἀπαίδευτος;“ ἐπεὶ δὲ ἐσιώπησε, „δοκεῖς μοι“, εἶπε „μειράκιον, οὐ σὺ τὴν οἰκίαν, ἀλλὰ σὲ ἡ οἰκία κεκτῆσθαι. ἐγὼ δὲ ἐς ἱερὸν παρελθὼν πολλῷ ἂν ἥδιον ἐν αὐτῷ μικρῷ ὄντι ἄγαλμα ἐλέφαντός τε καὶ χρυσοῦ ἴδοιμι ἢ ἐν μεγάλῳ κεραμεοῦν τε καὶ φαῦλον.“

XXIII νεανίαν δὲ ἰδὼν πίονα καὶ 206 φρονοῦντα ἐπὶ τῷ πλεῖστα μὲν ἀνθρώπων ἐσθίειν, πλεῖστον δὲ οἶνον πίνειν „ἀλλ' ἦ σὺ“ ἔφη „τυγχάνεις ὢν ὁ γαστριζόμενος;“ „καὶ θύω γε“ εἶπεν „ὑπὲρ τούτου“. „τί οὖν“ ἔφη „ἀπολέλαυκας τῆς βορᾶς ταύτης;“ „τὸ θαυμάζεσθαί με καὶ ἀποβλέπεσθαι· καὶ γὰρ τὸν Ἡρακλέα ἴσως ἀκούεις, ὡς καὶ τὰ σιτία αὐτοῦ παραπλησίως τοῖς ἄθλοις ᾔδετο“. „Ἡρακλέους“ ἔφη „ὄντος· σοῦ δὲ τίς, ὦ κάθαρμα, ἀρετή; τὸ γὰρ περίβλεπτον ἐν μόνῳ λείπεταί σοι τῷ ῥαγῆναι“.

XXIV Τοιάδε μὲν αὐτῷ τὰ ἐν τῇ Ῥόδῳ, τὰ δὲ ἐν τῇ Ἀλεξανδρείᾳ, ἐπειδὴ ἐσέπλευσεν· ἡ Ἀλεξάνδρεια καὶ ἀπόντος μὲν αὐτοῦ ἤρα καὶ ἐπόθουν τὸν Ἀπολλώνιον, ὡς εἷς ἕνα, καὶ ἡ Αἴγυπτος δὲ ἡ ἄνω μεστοὶ θεολογίας ὄντες καὶ φοιτῆσαι αὐτὸν ἐς τὰ ἤθη τὰ

αὐτῶν ηὔχοντο, ἅτε γὰρ πολλῶν ἀφικνουμένων μὲν ἐνθένδε ἐς Αἴγυπτον, πολλῶν δὲ ἐπιμιγνύντων δεῦρο ἐξ Αἰγύπτου ᾔδετό τε παρ' αὐτοῖς Ἀπολλώνιος καὶ τὰ ὦτα ἐς αὐτὸν Αἰγυπτίοις ὀρθὰ ἦν· προϊόντα γέ τοι ἀπὸ τῆς νεὼς ἐς τὸ ἄστυ θεῷ ἴσα ἀπέβλεπον καὶ διεχώρουν τῶν στενωπῶν, ὥσπερ τοῖς φέρουσι τὰ ἱερά. παραπεμπομένου δὲ αὐτοῦ μᾶλλον ἢ οἱ τῶν ἐθνῶν ἡγεμόνες, ἄνδρες ἤγοντο τὴν ἐπὶ θανάτῳ δώδεκα λῃσταὶ τὴν αἰτίαν, ὁ δὲ ἐς αὐτοὺς ἰδὼν „οὐ πάντες," εἶπεν „ὁ δεῖνα γὰρ καταψευσθεὶς ἄπεισι". καὶ πρὸς τοὺς δημίους, ὑφ' ὧν ἤγοντο, ὑφεῖναι" ἔφη „κελεύω τοῦ δρόμου καὶ σχολαιότερον ἥκειν ἐπὶ 95 τὸ ὄρυγμα ὕστατόν τε ἀποκτεῖναι τοῦτον, μετέχει 207 γὰρ οὐδὲν τῆς αἰτιάσεως, ἀλλ' ὑμεῖς γε ὅσι' ἂν πράττοιτε φειδόμενοι τούτων βραχὺ μέρος ἡμέρας, οὓς λῷον ἦν μηδ' ἀποκτείνειν·" καὶ ἅμα ἐνδιέτριβεν οἷς ἔλεγεν, οὐκ εἰωθὸς ἑαυτῷ ἀποτείνων μῆκος. τί δ' αὐτῷ ἐνόει τοῦτο, αὐτίκα ἐδείχθη· ὀκτὼ γὰρ ἤδη ἀποτετμημένων τὰς κεφαλὰς ἱππεὺς ἐλαύνων ἐπὶ τὸ ὄρυγμα „Φαρίωνος" ἐβόα „φείσασθε", μὴ γὰρ εἶναι λῃστὴν αὐτόν, ἀλλ' ἑαυτοῦ μὲν κατεψεῦσθαι δέει τοῦ στρεβλώσεσθαι, βασανισθέντων δὲ ἑτέρων χρηστὸν ὡμολογῆσθαι ἄνδρα. ἐῶ τὸ πήδημα τῆς Αἰγύπτου καὶ ὅσον ἐπὶ τούτῳ ἐκρότησαν καὶ ἄλλως θαυμαστικοὶ ὄντες. ἀνελθόντι δὲ αὐτῷ ἐς τὸ XXV ἱερὸν ὁ μὲν κόσμος ὁ περὶ αὐτὸ καὶ ὁ ἐφ' ἑκάστῳ 26 λόγος θεῖός τε ἐφαίνετο καὶ κατὰ σοφίαν ξυντεθείς, τὸ δὲ τῶν ταύρων αἷμα καὶ οἱ χῆνες καὶ ὁπόσα ἐθύετο, οὐκ ἐπῄνει τὰ τοιάδε, οὐδὲ ἐς δαῖτας θεῶν ἦγεν· ἐρομένου δ' αὐτὸν τοῦ ἱερέως, τί μαθὼν οὐχ οὕτω θύοι, „σὺ μὲν οὖν" εἶπεν „ἀπόκριναί μοι μᾶλλον, τί μαθὼν οὕτω θύεις;" εἰπόντος δὲ τοῦ ἱερέως

„καὶ τίς οὕτω δεινός, ὡς διορθοῦσθαι τὰ Αἰγυπτίων;“ „πᾶς“ ἔφη „σοφός, ἢν ἀπ' Ἰνδῶν ἥκῃ. καὶ βοῦν“ ἔφη „ἀπανθρακιῶ τήμερον καὶ κοινώνει τοῦ καπνοῦ ἡμῖν, οὐ γὰρ ἀχθέσῃ περὶ τῆς μοίρας, εἰ 208 κἀκείνην οἱ θεοὶ δαίσονται“. τηκομένου δὲ τοῦ πλάσματος „ὅρα“ ἔφη „τὰ ἱερά“. „ποῖα;“ εἶπεν ὁ Αἰγύπτιος „ὁρῶ γὰρ οὐδὲν ἐνθάδε.“ ὁ δὲ Ἀπολλώνιος „οἱ δὲ Ἰαμίδαι“ εἶπε „καὶ οἱ Τελλιάδαι καὶ οἱ Κλυτιάδαι καὶ τὸ τῶν Μελαμποδιδῶν μαντεῖον ἐλήρησαν, ὦ λῷστε, τοσαῦτα μὲν περὶ πυρὸς εἰπόντες, τοσαύτας δὲ ἀπ' αὐτοῦ ξυλλεξάμενοι φήμας; ἢ τὸ μὲν ἀπὸ τῆς πεύκης πῦρ καὶ τὸ ἀπό τῆς κέδρου μαντικὸν ἡγῇ καὶ ἱκανὸν δηλῶσαί τι, τὸ δ' ἀπὸ τοῦ πιοτάτου τε καὶ καθαρωτάτου δακρύου καόμενον οὐ πολλῷ αἱρετώτερον; εἰ δ' ἐμπύρου σοφίας ἦσθα εὐξύνετος, εἶδες ἂν καὶ ἐν τῷ τοῦ ἡλίου κύκλῳ πολλὰ XXVI δηλούμενα, ὁπότε ἀνίσχει.“ τούτοις ἐπέκοπτε τὸν Αἰγύπτιον ὡς ἀμαθῆ τῶν θείων. προσκειμένης δὲ τῆς Ἀλεξανδρείας ἵπποις καὶ ξυμφοιτώσης μὲν ἐς τὸν ἱππόδρομον ἐπὶ τῇ θέᾳ ταύτῃ, μιαιφονούντων δὲ ἀλλήλους ἐπίπληξιν ὑπὲρ τούτων ἐποιεῖτο, καὶ παρελθὼν ἐς τὸ ἱερὸν „ποῖ“ ἔφη „παρατενεῖτε ἀποθνήσκοντες οὐχ ὑπὲρ τέκνων οὐδὲ ἱερῶν, ἀλλ' ὡς χραίνοιτε μὲν τὰ ἱερὰ λύθρου μεστοὶ ἐς ταῦτα ἥκοντες, φθείροισθε δὲ ἔσω τείχους; καὶ Τροίαν μέν, ὡς ἔοικεν, ἵππος εἷς διεπόρθησεν, ὃν ἐσοφίσαντο οἱ 209 Ἀχαιοὶ τότε, ἐφ' ὑμᾶς δὲ ἅρματα ἔζευκται καὶ ἵπποι, δι' οὓς οὐκ ἔστιν ὑμῖν εὐηνίως ζῆν· ἀπόλλυσθε γοῦν οὐχ ὑπὸ Ἀτρειδῶν, οὐδ' ὑπὸ Αἰακιδῶν, ἀλλ' ὑπ' ἀλλήλων, ὃ μηδ' οἱ Τρῶες ἐν τῇ μέθῃ. κατὰ μὲν οὖν τὴν Ὀλυμπίαν, οὗ πάλης καὶ πυγμῆς καὶ τοῦ παγκρατιάζειν ἆθλα, οὐδεὶς ὑπὲρ ἀθλητῶν ἀπέ-

θανεν ἴσως καὶ ξυγγνώμης ὑπαρχούσης, εἴ τις ὑπερ-
σπουδάζοι περὶ τὸ ὁμόφυλον, ὑπὲρ δὲ ἵππων ἐν-
ταῦθα γυμνὰ μὲν ὑμῖν ἐπ᾽ ἀλλήλους ξίφη, βολαὶ δὲ
ἕτοιμοι λίθων. πῦρ δὲ ἐπὶ τὴν τοιαύτην πόλιν, ἔνθα
οἰμωγή τε καὶ ὕβρις ὀλλύντων τε καὶ ὀλλυμέ-
νων, ῥέει δ᾽ αἵματι γαῖα. αἰδέσθητε τὸν κοινὸν
τῆς Αἰγύπτου κρατῆρα Νεῖλον. ἀλλὰ τί Νείλου μνη-
μονεύω πρὸς ἀνθρώπους αἵματος ἀναβάσεις διαμε-
τροῦντας μᾶλλον ἢ ὕδατος;" καὶ πλείω ἐς τὴν ἐπί-
πληξιν ταύτην διελέχθη ἕτερα, ὡς διδάσκει ὁ Δάμις.

Οὐεσπασιανοῦ δὲ τὴν αὐτοκράτορα ἀρχὴν περι- XXVII
νοοῦντος περὶ τὰ ὅμορα τῇ Αἰγύπτῳ ἔθνη καὶ προ-
χωροῦντος ἐπὶ τὴν Αἴγυπτον Δίωνες μὲν καὶ Εὐ-
φρᾶται, περὶ ὧν μικρὸν ὕστερον εἰρήσεται, χαίρειν 96
παρεκελεύοντο· μετὰ γὰρ τὸν πρῶτον αὐτοκράτορα,
ὑφ᾽ οὗ τὰ Ῥωμαίων διεκοσμήθη, τυραννίδες οὕτω
210 χαλεπαὶ ἴσχυσαν ἐπὶ πεντήκοντα ἔτη, ὡς μηδὲ
Κλαύδιον τὰ μέσα τούτων τρισκαίδεκα ἄρξαντα χρη-
στὸν δόξαι· καίτοι πεντηκοντούτης μὲν ἐς τὸ ἄρχειν
παρῆλθεν, ὅτε νοῦς μάλιστα ὑγιαίνει ἀνθρώπων,
παιδείας δὲ ξυμπάσης ἐδόκει ἐρᾶν· ἀλλὰ κἀκεῖνος
τηλικόσδε ὢν πολλὰ μειρακιώδη ἔπαθε καὶ μηλόβο-
τον γυναίοις τὴν ἀρχὴν ἀνῆκεν, ὑφ᾽ ὧν οὕτω ῥα-
θύμως ἀπέθανεν, ὡς καίτοι προγιγνώσκων, ἃ ἔμελλε
πείσεσθαι, μηδ᾽ ἃ προῄδει, φυλάξασθαι. Ἀπολλώ-
νιος δὲ παραπλησίως μὲν Εὐφράτῃ καὶ Δίωνι περὶ
τούτων ἔχαιρε, μελέτην δ᾽ αὐτὰ οὐκ ἐποιεῖτο ἐς πάν-
τας ῥητορικωτέραν ἡγούμενος τὴν τοιάνδε ἰδέαν τοῦ
λόγου, προσιόντι δὲ τῷ αὐτοκράτορι τὰ μὲν ἱερὰ πρὸ
πυλῶν ἀπήντα καὶ τὰ τῆς Αἰγύπτου τέλη καὶ οἱ νο-
μοί, καθ᾽ οὓς Αἴγυπτος τέτμηται, φιλόσοφοί τε
ὡσαύτως καὶ σοφία πᾶσα, ὁ δὲ Ἀπολλώνιος οὐδὲν

ἐπολυπραγμόνει τούτων, ἀλλὰ ἐσπούδαζεν ἐν τῷ ἱερῷ. διαλεχθεὶς δὲ ὁ αὐτοκράτωρ γενναῖά τε καὶ ἥμερα καὶ διελθὼν λόγον οὐ μακρὸν „ἐπιδημεῖ“ ἔφη „ὁ Τυανεύς;“ „ναί“ ἔφασαν „βελτίους γε ἡμᾶς ἐργασάμενος“. „πῶς ἂν οὖν ξυγγένοιτο ἡμῖν;“ ἔφη „σφόδρα γὰρ δέομαι τοῦ ἀνδρός“. „ἐντεύξεταί σοι περὶ τὸ ἱερόν,“ ὁ Δίων εἶπε „πρὸς ἐμὲ γὰρ δεῦρο ἥκοντα ὡμολόγει ταῦτα“. „ἴωμεν“ ἔφη ὁ βασιλεὺς „προσευξόμενοι μὲν τοῖς θεοῖς, ξυνεσόμενοι δὲ ἀνδρὶ γενναίῳ.“ ἐντεῦθεν ἀνέφυ λόγος, ὡς ἐνθύμιος μὲν αὐτῷ ἡ ἀρχὴ γένοιτο πολιορκοῦντι τὰ Σόλυμα, μεταπέμποιτο δὲ τὸν Ἀπολλώνιον ὑπὲρ βουλῆς τούτων, ὁ δὲ παραιτοῖτο ἥκειν ἐς γῆν, ἣν ἐμίαναν οἱ ἐν αὐτῇ οἰκοῦντες οἷς τε ἔδρασαν οἷς τε ἔπαθον· ὅθεν αὐτὸς 211 ἐλθεῖν ἐς Αἴγυπτον τὴν μὲν ἀρχὴν κεκτημένος, δια-
XXVIII λεξόμενος δὲ τῷ ἀνδρὶ ὁπόσα δηλώσω· θύσας γὰρ καὶ οὔπω χρηματίσας κατ' ἀξίαν ταῖς πόλεσι προσεῖπε τὸν Ἀπολλώνιον καὶ ὥσπερ εὐχόμενος αὐτῷ „ποίησόν με“ ἔφη „βασιλέα“. ὁ δὲ „ἐποίησα“, „εἶπεν“ ἤδη γὰρ εὐξάμενος βασιλέα δίκαιόν τε καὶ γενναῖον καὶ σώφρονα καὶ πολιᾷ κεκοσμημένον καὶ πατέρα παίδων γνησίων, σὲ δήπου παρὰ τῶν θεῶν ᾔτουν ἐγώ.“ ὑπερησθεὶς δὲ τούτοις ὁ βασιλεύς, καὶ γὰρ ἐβόησε τὸ ἐν τῷ ἱερῷ πλῆθος ξυντιθέμενοι τῷ λόγῳ, „τί σοι“ ἔφη „Νέρωνος ἀρχὴ ἐφαίνετο;“ καὶ ὁ Ἀπολλώνιος „Νέρων“ εἶπε „κιθάραν μὲν ἴσως ᾔδει ἁρμόττεσθαι, τὴν δὲ ἀρχὴν ᾔσχυνεν ἀνέσει καὶ ἐπιτάσει.“ „ξύμμετρον οὖν“ ἔφη „κελεύεις εἶναι τὸν ἄρχοντα;“ „οὐκ ἐγώ“, εἶπε „θεὸς δὲ τὴν ἰσότητα μεσότητα ὁρισάμενος. ἀγαθοὶ δὲ τούτων ξύμβουλοι καὶ οἵδε οἱ ἄνδρες“ τὸν Δίωνα δείξας καὶ τὸν Εὐφράτην μήπω αὐτῷ ἐς διαφορὰν ἥκοντα. τότε

δὴ ἀνασχὼν ὁ βασιλεὺς τὰς χεῖρας „ὦ Ζεῦ“ ἔφη
„σοφῶν μὲν ἐγὼ ἄρχοιμι, σοφοὶ δὲ ἐμοῦ.“ καὶ ἐπι-
στρέψας ἑαυτὸν ἐς τοὺς *Αἰγυπτίους* „ἀρύσασθε“,
εἶπεν „ὡς *Νείλου* καὶ ἐμοῦ.“ ἡ μὲν δὴ *Αἴγυπτος* XXIX
ὧδε ἀνέσχεν ἀπειρηκότες ἤδη δι' ἃ ἐπιέζοντο. κατ-
ιὼν δὲ τοῦ ἱεροῦ ξυνῆψε τῷ *Ἀπολλωνίῳ* τὴν χεῖρα
καὶ παραγαγὼν αὐτὸν ἐς τὰ βασίλεια, „ἴσως“ ἔφη
„μειρακιώδης ἐνίοις δοκῶ βασιλείας ἁπτόμενος περὶ
ἔτος ἑξηκοστὸν τοῦ βίου· δώσω οὖν ἀπολογίαν, ὡς
ἀπολογοῖο ὑπὲρ ἐμοῦ τοῖς ἄλλοις· ἐγὼ γὰρ πλούτου
μὲν ἡττηθεὶς οὐδὲ ἐν μειρακίῳ ποτὲ οἶδα, τὰς δὲ
ἀρχάς τε καὶ λαμπρότητας, ὁπόσαι τῇ *Ῥωμαίων* ἀρχῇ
προσήκουσιν, οὕτω σωφρόνως καὶ μετρίως διεθέμην,
212 ὡς μήτε ὑπέρφρων μήτ' αὖ κατεπτηχὼς δόξαι, νεώ-
τερα δὲ οὐδ' ἐπὶ *Νέρωνα* ἐνεθυμήθην, ἀλλ' ἐπειδὴ
τὴν ἀρχήν, εἰ καὶ μὴ κατὰ νόμους, παρ' ἀνδρὸς γοῦν
αὐτοκράτορος παραλαβὼν εἶχεν, ὑφιέμην αὐτῷ διὰ
τὸν *Κλαύδιον*, ὃς ὕπατόν τε ἀπέδειξέ με καὶ ξύμ-
βουλον τῶν ἑαυτοῦ· καὶ νὴ τὴν *Ἀθηνᾶν*, ὁπότε *Νέ-
ρωνα* ἴδοιμι ἀσχημονοῦντα, δάκρυά μοι ἐξέπιπτεν
ἐνθυμουμένῳ τὸν *Κλαύδιον*, ὑφ' οἵου καθάρματος 97
τὸ μέγιστον τῶν ἑαυτοῦ ἐκληρονομήθη. ὁρῶν δὲ
μηδ' ὁπότε *Νέρων* ἐκποδὼν γέγονεν ἐπὶ τὸ λῷον
μεθιστάμενα τὰ τῶν ἀνθρώπων, ἀλλ' οὕτως ἀτίμως
τὴν ἀρχὴν πράττουσαν, ὡς ἐπὶ *Βιτελίῳ* κεῖσθαι,
θαρρῶν ἤδη ἐπ' αὐτήν εἰμι, πρῶτον μέν, ἐπειδὴ
βούλομαι τοῖς ἀνθρώποις παρασχεῖν ἐμαυτὸν πολλοῦ
ἄξιον, εἶτα, ἐπειδὴ πρὸς ἄνθρωπον ὁ ἀγὼν ἔσται
κραιπαλῶντα· *Βιτέλιος* γὰρ μύρῳ μὲν λοῦται πλεῖον
ἢ ἐγὼ ὕδατι, δοκεῖ δέ μοι καὶ ξίφει πληγεὶς μύρον
ἐκδώσειν μᾶλλον ἢ αἷμα, οἴνῳ δὲ οἶνον ξυνάπτων
μαίνεται, καὶ κυβεύει μὲν δεδιὼς μή τι αὐτὸν οἱ

πεττοὶ σφήλωσιν, ὑπὲρ δὲ ἀρχῆς ἀναρριπτεῖ παίζων, ἑταίραις δὲ ὑποκείμενος ἐπιθόρνυται ταῖς γεγαμημέναις ἡδίω φάσκων τὰ μετὰ κινδύνων ἐρωτικά. ἐῶ τὰ ἀσελγέστερα, ὡς μὴ τοιαῦτα ἐπὶ σοῦ λέγοιμι· μὴ δὴ περιίδοιμι Ῥωμαίους ὑπὸ τοιούτου ἀρχθέντας, ἀλλ' ἡγεμόνας ποιούμενος τοὺς θεοὺς ἀνὴρ γιγνοίμην ἐμαυτῷ ὅμοιος· ὅθεν ἐκ σοῦ, Ἀπολλώνιε, πεῖσμα ἐγὼ βάλλομαι, φασὶ γὰρ πλεῖστά σε τῶν θεῶν αἰσθάνεσθαι, καὶ ξύμβουλον ποιοῦμαί σε φροντίδων, ἐφ' αἷς ἐστι γῆ καὶ θάλαττα, ἵν' εἰ μὲν εὐμενῆ τὰ παρὰ τῶν θεῶν φαίνοιτο, πράττοιμι ταῦτα, εἰ δὲ ἐναντία καὶ μὴ πρὸς ἐμοῦ μηδὲ Ῥω-
XXX μαίων, μὴ ἐνοχλοίην τοὺς θεοὺς ἄκοντας." ἐπι-
θειάσας δ' ὁ Ἀπολλώνιος τῷ λόγῳ, „Ζεῦ" ἔφη
„Καπιτώλιε, σὲ γὰρ τῶν παρόντων πραγμάτων 213
βραβευτὴν οἶδα, φύλαττε σεαυτὸν μὲν τούτῳ, σεαυτῷ δὲ τοῦτον· τὸν γὰρ νεών, ὃν χθὲς ἄδικοι χεῖρες ἐνέπρησαν, τόνδε σοὶ τὸν ἄνδρα ἀναστῆσαι πέπρωται." θαυμάσαντος δὲ τοῦ βασιλέως τὸν λόγον „αὐτὰ" εἶπεν „αὐτὰ δηλώσει καὶ μηδὲν ἐμοῦ δέου, πέραινε δέ, ἃ ὀρθῶς ἐβουλεύσω". ξυμβεβήκει δὲ ἄρα κατὰ τὴν Ῥώμην Δομετιανὸν μὲν τὸν Οὐεσπασιανοῦ παῖδα παρατετάχθαι πρὸς τὸν Βιτέλιον ὑπὲρ τῆς ἀρχῆς τοῦ πατρός, πολιορκίας δ' αὐτὸν περισχούσης ἐν τῷ Καπιτωλίῳ τὸν μὲν διαπεφευγέναι τοὺς πολιορκοῦντας, τὸν νεὼν δ' ἐμπεπρῆσθαι καὶ τῷ Ἀπολλωνίῳ φαίνεσθαι πολλῷ θᾶττον ἢ εἰ κατ' Αἴγυπτον ἐπράττετο. τοσαῦτα σπουδάσαντες ὁ μὲν ἀπῆλθε τοῦ βασιλέως εἰπὼν μὴ ξυγχωρεῖν αὐτῷ τὰ Ἰνδῶν πάτρια κατὰ μεσημβρίαν ἄλλο τι παρ' ἃ ἐκεῖνοι πράττουσι (πράττειν), ὁ δὲ ἀνέλαμπέ τε ἔτι μᾶλλον καὶ οὐ ξυνεχώρει τοῖς πράγμασι διαφεύγειν ἑαυ-

τόν, ἀλλ᾽ ὡς βεβαίων τε καὶ αὐτῷ καθωμολογημένων εἴχετο δι᾽ ἃ ἤκουσεν.

XXXI Τῇ δ᾽ ὑστεραίᾳ περὶ ὄρθρον ἐπὶ τὰ βασίλεια ἥκων ὁ Ἀπολλώνιος ἤρετο τοὺς δορυφόρους, ὅ τι βασιλεὺς πράττοι, οἱ δὲ ἐγρηγορέναι τε αὐτὸν πάλαι ἔφασαν καὶ πρὸς ἐπιστολαῖς εἶναι. καὶ ἀκούσας τοῦτο ἀπῆλθεν εἰπὼν πρὸς τὸν Δάμιν „ὁ ἀνὴρ ἄρξει“. ἐπανελθὼν δὲ περὶ ἥλιον ἀνίσχοντα Δίωνα μὲν καὶ Εὐφράτην ἐπὶ θύραις εὗρε καὶ περὶ τῆς ξυνουσίας φιλοτίμως ἐρωτῶσι διῆλθε τὴν ἀπολογίαν, ἣν τοῦ βασιλέως ἤκουσε, τὰς δὲ αὑτοῦ δόξας ἀπεσιώπησεν. ἐσκληθεὶς δὲ πρῶτος „ὦ βασιλεῦ“, εἶπεν „Εὐφράτης καὶ Δίων πάλαι σοι γνώριμοι ὄντες πρὸς θύραις εἰσὶν οὐκ ἀφρόντιδες τῶν σῶν· κάλει δὴ κἀκείνους ἐς κοινὸν λόγον, σοφὼ γὰρ τὼ ἄνδρε“. „ἀκλείστους“ ἔφη „θύρας παρέχω σοφοῖς ἀνδράσι, σοὶ δὲ 214 καὶ τὰ στέρνα ἀνεῷχθαι δοκεῖ τἀμά“.

XXXII ἐπεὶ δὲ ἐσεκλήθησαν, „ὑπὲρ μὲν τῆς ἐμαυτοῦ διανοίας“, εἶπεν „ὦ ἄνδρες, ἀπολελόγημαι χθὲς Ἀπολλωνίῳ τῷ γενναίῳ“. „ἠκούσαμεν“ ἦ δ᾽ ὁ Δίων „τῆς ἀπολογίας, καὶ νοῦν εἶχε“. „τήμερον δὲ“ εἶπεν „ὦ 98 φίλε Δίων, ξυμφιλοσοφήσωμεν ὑπὲρ τῶν βεβουλευμένων, ἵν᾽ ὡς κάλλιστα καὶ κατὰ σωτηρίαν τῶν ἀνθρώπων πάντα πράττοιμι· ἐννοῶν γὰρ πρῶτον μὲν τὸν Τιβέριον, ὡς ἐς τὸ ἀπάνθρωπόν τε καὶ ὠμὸν τὴν ἀρχὴν μετέστησεν, εἶτα τὸν ἐπ᾽ ἐκείνῳ Γάιον, ὡς διονυσομανῶν καὶ λυδίζων τὴν στολὴν καὶ πολέμους νικῶν οὐκ ὄντας ἐς πάντα τὰ Ῥωμαίων αἰσχρῶς ἐβάκχευσεν, εἶτα τὸν χρηστὸν Κλαύδιον, ὡς ὑπὸ γυναίων ἡττηθεὶς ἐπελάθετο τοῦ ἄρχειν, ἀλλὰ καὶ τοῦ ζῆν, ἀπέθανε γὰρ ὑπ᾽ αὐτῶν, ὥς φασι, Νέρωνος δὲ τί ἂν καθαπτοίμην εἰπόντος Ἀπολλωνίου

βραχὺν καὶ ἀθρόον λόγον περὶ ἀνέσεώς τε καὶ ἐπιτάσεως, αἷς Νέρων τὴν ἀρχὴν ᾔσχυνε; τί δ' ἂν περὶ ὧν Γάλβας ξυνέταττεν, εἴποιμι, ὃς ἐπ' ἀγορᾶς μέσης ἀπέθανεν ἡταιρημένους ἐσποιῶν ἑαυτῷ παῖδας τὸν Ὄθωνα καὶ τὸν Πείσωνα; εἰ δὲ καὶ Βιτελίῳ τῷ πάντων ἀσελγεστάτῳ τὴν ἀρχὴν παραδοίημεν, ἀναβιῴη Νέρων· ὁρῶν οὖν, ὦ ἄνδρες, ὑφ' ὧν εἶπον τυραννίδων διαβεβλημένον τὸ ἄρχειν ξυμβούλους ὑμᾶς ποιοῦμαι, πῶς ἂν διαθείμην αὐτὸ προσκεκρουκὸς ἤδη τοῖς ἀνθρώποις.“ πρὸς ταῦτα ὁ Ἀπολλώνιος „αὐλητὴς“ ἔφη „τῶν πάνυ σοφῶν τοὺς ἑαυτοῦ μαθητὰς παρὰ τοὺς φαυλοτέρους τῶν αὐλητῶν ἔπεμπε μαθησομένους, πῶς δεῖ μὴ αὐλεῖν· τὸ μὲν δή, πῶς δεῖ μὴ ἄρχειν, μεμάθηκας, ὦ βασιλεῦ, παρὰ τούτων, οἳ πονηρῶς ἦρξαν, τὸ δ', ὅπως δεῖ ἄρχειν, σπουδάσωμεν.“

XXXIII Ὁ δ' Εὐφράτης ἀφανῶς μὲν ἤδη ἐβάσκαινε τῷ 215
Ἀπολλωνίῳ προσκείμενον αὐτῷ τὸν βασιλέα ὁρῶν μᾶλλον ἢ τοῖς χρηστηρίοις τοὺς ἐς αὐτὰ ἥκοντας, ἀνοιδήσας δὲ ὑπὲρ τὸ μέτρον τότε καὶ τὴν φωνὴν ἐπάρας παρ' ὃ εἰώθει „οὐ χρὴ“ ἔφη „κολακεύειν τὰς ὁρμάς, οὐδὲ ἀνοήτως συνεκφέρεσθαι τοῖς παρὰ τὴν ἡνίαν τι πράττουσι, καταρρυθμίζειν δὲ αὐτούς, εἴπερ φιλοσοφοῦμεν· ἃ γὰρ εἰ προσήκει πράττειν, ἔδει βουλευομένους φαίνεσθαι, ταῦθ' ὃν πεπράξεται τρόπον κελεύεις λέγειν οὔπω μαθών, εἰ ὑπὲρ πρακτέων οἱ λόγοι. ἐγὼ δὲ Βιτέλιον μὲν καταλυθῆναι κελεύω, μιαρὸν γὰρ τὸν ἄνθρωπον οἶδα καὶ μεθύοντα ἀσελγείᾳ πάσῃ, σὲ δ' ἄνδρα εἰδὼς ἀγαθὸν καὶ γενναιότητι προὔχοντα οὔ φημι χρῆναι τὰ μὲν Βιτελίου διορθοῦσθαι, τὰ σεαυτοῦ δὲ μήπω εἰδέναι. ὅσα μὲν δὴ αἱ μοναρχίαι ὑβρίζουσιν, οὐκ ἐμοῦ χρὴ μαν-

θάνειν, ἀλλ' αὐτὸς εἴρηκας, γιγνώσκοις δ' ἄν, ὡς
νεότης μὲν ἐπὶ τυραννίδα πηδῶσα προσήκοντα ἑαυτῇ
που πράττει, τὸ γὰρ τυραννεύειν οὕτως ἔοικε νέοις,
ὡς τὸ μεθύειν, ὡς τὸ ἐρᾶν, καὶ νέος μὲν τυραννεύ-
σας οὔπω κακός, ἢν μιαιφόνος παρὰ τὴν τυραννίδα
καὶ ὠμὸς καὶ ἀσελγὴς δόξῃ, γέροντος δὲ ἐπὶ τυραν-
νίδα ἥκοντος πρώτη αἰτία τὸ τοιαῦτα βούλεσθαι·
καὶ γὰρ ἢν φιλάνθρωπος φαίνηται καὶ κεκοσμημένος,
οὐκ ἐκείνου ταῦτα νομίζουσιν, ἀλλὰ τῆς ἡλικίας καὶ
τοῦ κατηρτυκέναι, δόξει δὲ καὶ πάλαι τούτου καὶ
νέος ἔτι ἐπιθυμήσας ἁμαρτεῖν, αἱ δὲ τοιαῦται ἁμαρ-
τίαι πρόσκεινται μὲν δυστυχίᾳ, πρόσκεινται δὲ δει-
λίᾳ· δοκεῖ γάρ τις ἢ καταγνοὺς τῆς ἑαυτοῦ τύχης
τὸ ἐν νῷ τυραννεῦσαι παρεῖναι ἢ τυραννησείοντι ἐκ-
στῆναι ἑτέρῳ δείσας δήπου αὐτὸν ὡς ἄνδρα. τὸ μὲν
δὴ τῆς δυστυχίας ἐάσθω, τὸ δὲ τῆς δειλίας πῶς
παραιτήσῃ καὶ ταῦτα Νέρωνα δοκῶν δεῖσαι τὸν δει-
λότατόν τε καὶ ῥᾳθυμότατον; ἃ γὰρ ἐνεθυμήθη
216 Βίνδιξ ἐπ' αὐτόν, σέ, νὴ τὸν Ἡρακλέα, ἐκάλει πρῶ-
τον. καὶ γὰρ στρατιὰν εἶχες καὶ ἡ δύναμις, ἣν ἐπὶ
τοὺς Ἰουδαίους ἦγες, ἐπιτηδειοτέρα ἦν τιμωρεῖσθαι
Νέρωνα· ἐκεῖνοι μὲν γὰρ πάλαι ἀφεστᾶσιν οὐ μόνον 99
Ῥωμαίων, ἀλλὰ καὶ πάντων ἀνθρώπων· οἱ γὰρ βίον
ἄμικτον εὑρόντες καὶ οἷς μήτε κοινὴ πρὸς ἀνθρώ-
πους τράπεζα μήτε σπονδαὶ μήτε εὐχαὶ μήτε θυσίαι,
πλέον ἀφεστᾶσιν ἡμῶν ἢ Σοῦσα καὶ Βάκτρα καὶ οἱ
ὑπὲρ ταῦτα Ἰνδοί· οὐκοῦν οὐδ' εἰκὸς ἦν τιμωρεῖ-
σθαι τούτους ἀφισταμένους, οὓς βέλτιον ἦν μηδὲ
κτᾶσθαι. Νέρωνα δὲ τίς οὐκ ἂν ηὔξατο τῇ ἑαυτοῦ
χειρὶ ἀποκτεῖναι μονονοὺ πίνοντα τὸ τῶν ἀνθρώπων
αἷμα καὶ ἐν μέσοις τοῖς φόνοις ᾄδοντα; καίτοι ἐμοῦ
τὰ ὦτα ὀρθὰ ἦν πρὸς τοὺς ὑπὲρ σοῦ λόγους καὶ

ὁπότε τις ἐκεῖθεν ἀφίκοιτο τρισμυρίους Ἰουδαίων ἀπολωλέναι φάσκων ὑπὸ σοῦ καὶ πεντακισμυρίους κατὰ τὴν ἐφεξῆς μάχην, ἀπολαμβάνων τὸν ἥκοντα ξυμμέτρως ἠρώτων, τί δ' ὁ ἀνήρ; μὴ μεῖζόν τι τούτων; ἐπεὶ δὲ τὸν Βιτέλιον εἴδωλον πεποιημένος τοῦ Νέρωνος ἐπ' αὐτὸν στρατεύεις, ἃ μὲν βεβούλευσαι, πρᾶττε, καλὰ γὰρ καὶ ταῦτα, τὰ δὲ ἐπὶ τούτοις ὧδε ἐχέτω· Ῥωμαίοις τὸ δημοκρατεῖσθαι πολλοῦ ἄξιον καὶ πολλὰ τῶν ὄντων αὐτοῖς ἐπ' ἐκείνης τῆς πολιτείας ἐκτήθη· παῦε μοναρχίαν, περὶ ἧς τοιαῦτα εἴρηκας, καὶ δίδου Ῥωμαίοις μὲν τὸ τοῦ δήμου κράτος, σαυτῷ δὲ τὸ ἐλευθερίας αὐτοῖς ἄρξαι.“

XXXIV Τοσαῦτα τοῦ Εὐφράτου εἰπόντος ὁρῶν ὁ Ἀπολλώνιος τὸν Δίωνα προστιθέμενον τῇ γνώμῃ, τουτὶ γὰρ καὶ τῷ νεύματι ἐπεδήλου καὶ οἷς ἐπῄνει λέγοντα, „μή τι,“ ἔφη „Δίων, τοῖς εἰρημένοις προστίθης; νὴ Δί', εἶπε „πὴ μὲν ὅμοια, πὴ δὲ ἀνόμοια· τὸ μὲν γὰρ ὡς πολλῷ βελτίων ἂν ἦν Νέρωνα καταλύων μᾶλλον ἢ τὰ τῶν Ἰουδαίων διορθούμενος, ἡγοῦμαι κἀμοὶ πρὸς σὲ εἰρῆσθαι, σὺ δὲ ἐῴκεις ἀγῶνα ποιουμένῳ μὴ καταλυθῆναί ποτε αὐτόν· ὁ γὰρ τὴν 217 ταραχὴν τῶν ἐκείνου πραγμάτων εὖ τιθέμενος ἐρρώννυέ που τὸν ἄνθρωπον ἐπὶ πάντας, οὓς κακῶς ἔρρωτο. τὴν δὲ ἐπὶ τὸν Βιτέλιον ὁρμὴν ἐπαινῶ· τοῦ γὰρ τυραννίδα καθεστηκυῖαν παῦσαι μεῖζον ἡγοῦμαι τὸ μηδὲ ἐᾶσαι φῦναι. δημοκρατίαν δὲ ἀσπάζομαι μέν — καὶ γὰρ εἰ τῆς ἀριστοκρατίας ἥττων ἥδε ἡ πολιτεία, ἀλλὰ τυραννίδων τε καὶ ὀλιγαρχιῶν αἱρετωτέρα τοῖς σώφροσι — δέδια δέ, μὴ χειροήθεις ἤδη Ῥωμαίους αὗται αἱ τυραννίδες πεποιηκυῖαι χαλεπὴν ἐργάσωνται τὴν μεταβολὴν καὶ μὴ δύνωνται μήτε ἐλευθεριάζειν μήτε πρὸς δημοκρατίαν ἀναβλέπειν,

ὥσπερ οἱ ἐκ σκότους ἐς ἀθρόον φῶς βλέψαντες· ὅθεν φημὶ δεῖν τὸν μὲν Βιτέλιον ἐξωθεῖν τῶν πραγμάτων, καὶ ὡς τάχιστά γε καὶ ἄριστα τοῦτο ἔσται, γιγνέσθω, δοκεῖ δέ μοι παρασκευάζεσθαι μὲν ὡς πολεμήσοντα, πόλεμον δὲ αὐτῷ μὴ προκηρύττειν, ἀλλὰ τιμωρίαν, εἰ μὴ μεθεῖτο τῆς ἀρχῆς, κἂν ἕλῃς αὐτόν, τουτὶ δ' ὑπάρξειν ἡγοῦμαί σοι μηδὲ πονήσαντι, δίδου Ῥωμαίοις αἵρεσιν τῆς αὐτῶν πολιτείας, κἂν μὲν αἱρῶνται δημοκρατίαν, ξυγχώρει· τουτὶ γάρ σοι πολλῶν μὲν τυραννίδων, πολλῶν δὲ Ὀλυμπιάδων μεῖζον καὶ πανταχοῦ μὲν γεγράψῃ τῆς πόλεως, πανταχοῦ δὲ ἑστήξεις χαλκοῦς, ἡμῖν δ' ἀφορμὰς παραδώσεις λόγων, αἷς οὔτε Ἁρμόδιος οὔτε Ἀριστογείτων παραβεβλήσεταί τις. εἰ δὲ μοναρχίαν προσδέχοιντο, τίνι λοιπὸν ἀλλ' ἢ σοὶ ψηφίσασθαι τὴν ἀρχὴν πάντας; ἃ γὰρ ἔχων ἤδη τῷ κοινῷ παρήσεις, σοὶ δήπου μᾶλλον ἢ ἑτέρῳ δώσουσιν."

Σιωπὴ μὲν οὖν ἐπὶ τούτοις ἐγένετο καὶ τὸ πρόσ- XXXV
ωπον τοῦ βασιλέως ἀγῶνα ἐπεδήλου τῆς γνώμης, ἐπειδὴ πάνθ' ὥσπερ αὐτοκράτωρ χρηματίζων τε καὶ πράττων ἀπάγεσθαι ἐδόκει τῆς βουλῆς ταύτης, καὶ ὁ Ἀπολλώνιος „δοκεῖτέ μοι" εἶπεν „ἁμαρτάνειν ἀναλύοντες βασιλέα περὶ πραγμάτων ἤδη βεβουλευμένων, ἐς ἀδολεσχίαν καθιστάμενοι μειρακιώδη καὶ ἀργοτέραν τοῦ καιροῦ. εἰ μὲν γὰρ ἐμοὶ κεκτημένῳ δύναμιν, ὁπόσην οὗτος, καὶ βουλευομένῳ, τί δρῴην
ἂν τοὺς ἀνθρώπους ἀγαθόν, ξύμβουλοι τῶν τοιού- 100
των ἐγίγνεσθε, προὔβαινεν ἂν ὁ λόγος ὑμῖν — αἱ γὰρ φιλόσοφοι γνῶμαι τοὺς φιλοσόφους τῶν ἀκροα-
218 τῶν διορθοῦνται — ἀνδρὶ δὲ ξυμβουλεύοντας ὑπάτῳ καὶ ἄρχειν εἰθισμένῳ, καὶ ᾧ ἕτοιμον, ἐπειδὰν ἐκπέσῃ τῆς ἀρχῆς, ἀπολωλέναι, τί δεῖ ἐπιπλήττειν, εἰ μὴ

διωθεῖται τὰ παρὰ τῆς τύχης, ἀλλὰ δέχεται μὲν αὐτὰ ἥκοντα, βουλεύεται δέ, ὅπως χρήσεται σωφρόνως οἷς ἔχει; ὥσπερ οὖν, εἰ ἀθλητὴν ὁρῶντες εὐψυχίᾳ τε κατεσκευασμένον καὶ μήκει καὶ τὴν ἁρμονίαν τοῦ σώματος ἐπιτήδειον ἐς Ὀλυμπίαν βαδίζοντα δι' Ἀρκαδίας ἤδη προσελθόντες ἐπὶ μὲν τοὺς ἀντιπάλους ἐρρώννυμεν, ἐκελεύομεν δὲ αὐτόν, ἐπειδὰν νικήσῃ τὰ Ὀλύμπια, μὴ κηρύττεσθαι τῆς νίκης, μηδὲ ὑπέχειν τὴν κεφαλὴν τῷ κοτίνῳ, ληρεῖν ἂν ἐδόξαμεν ἢ παίζειν ἐς τοὺς ἑτέρων πόνους, οὕτως ἐνθυμούμενοι τὸν ἄνδρα, καὶ ὁπόση μὲν αἰχμὴ περὶ αὐτόν, ὁπόσος δὲ χαλκὸς ἀστράπτει, πλῆθος δὲ ἵππων ὅσον, αὐτὸς δὲ ὡς γενναῖός τε καὶ σώφρων καὶ πρέπων κατασχεῖν ἃ διανοεῖται, πέμπωμεν ἐφ' ἃ ὥρμηκεν αἴσια μὲν φθεγγόμενοι πρὸς αὐτόν, εὐφημότερα δὲ τούτων παρεγγυῶντες. οὔτε γὰρ ἐκεῖνο ἐνεθυμήθητε, ὅτι δυοῖν παίδοιν πατὴρ οὗτος, οἳ στρατοπέδων ἤδη ἄρχουσιν, οἷς εἰ μὴ παραδώσει τὴν ἀρχήν, ἐχθίστοις χρήσεται, καὶ τί λοιπόν, ἀλλ' ἢ ἐκπεπολεμῆσθαι πρὸς τὸν ἑαυτοῦ οἶκον; τὴν δὲ ἀρχὴν ὑποδεξάμενος θεραπεύσεται μὲν ὑπὸ τῶν ἑαυτοῦ παίδων, στηρίξεται δὲ ἐπ' αὐτῶν καὶ ἐπ' αὐτοῦ οἱ παῖδες, δορυφόροις δὲ αὐτοῦ χρήσεται, μὰ Δί', οὐ μεμισθωμένοις, οὐδ' ἠναγκασμένοις, οὐδὲ πλαττομένοις εὔνουν πρόσωπον, ἀλλ' ἐπιτηδειοτάτοις τε καὶ φιλτάτοις. ἐμοὶ πολιτείας μὲν οὐδεμιᾶς μέλει, ζῶ γὰρ ὑπὸ τοῖς θεοῖς, τὴν δὲ τῶν ἀνθρώπων ἀγέλην οὐκ ἀξιῶ φθείρεσθαι χήτει βουκόλου δικαίου τε καὶ σώφρονος. ὥσπερ γὰρ εἷς ἀρετῇ προὔχων μεθίστησι τὴν δημοκρατίαν ἐς τὸ ἑνὸς ἀνδρὸς τοῦ ἀρίστου ἀρχὴν φαίνεσθαι, οὕτως ἡ ἑνὸς ἀρχὴ πάντα ἐς τὸ ξυμφέρον τοῦ κοινοῦ προορῶσα δῆμός ἐστιν. οὐ κατέλυσας, φησί,

Νέρωνα. σὺ δὲ, *Εὐφρᾶτα*; *Δίων* δέ; ἐγὼ δέ; ἀλλ' ὅμως οὐδεὶς ἡμῖν ἐπιπλήττει τοῦτο, οὐδ' ἡγεῖται δειλούς, εἰ φιλοσόφων ἀνδρῶν μυρίας ἤδη καθελόντων τυραννίδας ἀπελείφθημεν ἡμεῖς τοῦ δόξαι ὑπὲρ
219 ἐλευθερίας τι πράττειν. καίτοι τό γε ἐπ' ἐμοὶ καὶ παρεταττόμην πρὸς Νέρωνα, πολλὰ μὲν κακοήθως διαλεχθεὶς καὶ τὸν ὠμότατον Τιγελλῖνον ἐπικόψας ἀκούοντα, ἃ δὲ περὶ τὰ ἑσπέρια τῶν χωρίων ὠφέλουν Βίνδικα, Νέρωνι δήπου ἐπετείχιζον. ἀλλ' οὔτε ἐμαυτὸν διὰ ταῦτα φήσω καθῃρηκέναι τὸν τύραννον, οὔτε ὑμᾶς, ἐπεὶ μὴ ταῦτ' ἐπράττετε, μαλακωτέρους ἡγήσομαι τοῦ φιλοσοφίᾳ προσήκοντος. ἀνδρὶ μὲν οὖν φιλοσόφῳ τὸ ἐπὶ νοῦν ἐλθὸν εἰρήσεται, ποιήσεται δέ, οἶμαι, λόγον τοῦ μή τι ἀνοήτως ἢ μανικῶς εἰπεῖν· ὑπάτῳ δ' ἐνθυμουμένῳ καταλῦσαι τύραννον πρῶτον μὲν δεῖ βουλῆς πλείονος, ἵν' ἐξ ἀφανοῦς προσβαίη τοῖς πράγμασιν, εἶτ' ἐπιτηδείου σχήματος ἐς τὸ μὴ παρορκεῖν δοκεῖν. εἰ γὰρ ἐπ' αὐτόν, ὃς ἀπέφηνεν αὐτὸν στρατηγὸν καὶ ᾧ τὰ βέλτιστα βουλεύσειν τε καὶ πράξειν ὤμοσε, μέλλοι χρήσεσθαι τοῖς ὅπλοις, ἀπολογεῖσθαι δήπου τοῖς θεοῖς δεῖ πρότερον, ὡς ξὺν ὁσίᾳ ἐπιορκοῦντα, φίλων τε δεῖ πλειόνων, οὐ γὰρ ἀχαρακώτους γε, οὐδὲ ἀφράκτους χρὴ τὰ τοιαῦτα πράττειν, καὶ χρημάτων ὡς πλείστων, ἵν' ὑποποιήσαιτο τὰς δυνάμεις καὶ ταῦτα ἐπιτιθέμενος ἀνθρώπῳ τὰ ἐν πάσῃ τῇ γῇ κεκτημένῳ. τριβὴ δὲ ὅση περὶ ταῦτα, ὅσοι δὲ χρόνοι. καὶ ταῦτα μὲν ἐκδέχεσθε, ὅπῃ βούλεσθε, μὴ γὰρ ἐς ἔλεγχον ἴωμεν ὧν ἐνεθυμήθη μέν, ὡς εἰκός, οὗτος, ἡ τύχη δὲ οὐδὲ 101
ἀγωνισαμένῳ ξυνέλαβε· πρὸς δὲ ἐκεῖνο τί ἐρεῖτε; τὸν γὰρ χθὲς ἄρχοντα καὶ στεφανούμενον μὲν ὑπὸ τῶν πόλεων ἐν τοῖς δεῦρο ἱεροῖς, χρηματίζοντα δὲ

λαμπρῶς καὶ ἀφθόνως, τοῦτον κελεύετε δημοσίᾳ κηρύττειν τήμερον, ὡς ἰδιώτης μὲν εἴη λοιπόν, παρανοῶν δὲ ἐπὶ τὴν ἀρχὴν ἦλθεν; ὥσπερ γὰρ ἐπιτελῶν τὰ δεδογμένα προθύμους δορυφόρους, οἷς πιστεύων 220
ταῦτ' ἐνεθυμήθη, παραστήσεται, οὕτως ἐς τὸ μεθίστασθαι τῶν δοξάντων ἥκων πολεμίῳ τῷ μετὰ ταῦτα ἀπιστουμένῳ χρήσεται."

XXXVI "Ἄσμενος τούτων ἀκούσας ὁ βασιλεὺς „εἰ τὴν ψυχὴν" ἔφη „τὴν ἐμὴν ᾤκεις, οὐκ ἂν οὕτω σαφῶς, ἃ ἐνεθυμήθην, ἀπήγγειλας· ἕπομαι δή σοι, θεῖον γὰρ ἡγοῦμαι τὸ ἐκ σοῦ πᾶν, καὶ ὁπόσα χρὴ τὸν ἀγαθὸν βασιλέα πράττειν δίδασκε." καὶ ὁ Ἀπολλώνιος „οὐ διδακτά με" ἔφη „ἐρωτᾷς· βασιλεία γὰρ μέγιστον μὲν τῶν κατ' ἀνθρώπους, ἀδίδακτον δέ. ὁπόσα δ' οὖν μοι δοκεῖς πράττων ὑγιῶς ἂν πρᾶξαι, καὶ δὴ φράσω· πλοῦτον ἡγοῦ μὴ τὸν ἀπόθετον — τί γὰρ βελτίων οὗτος τῆς ὁποθενδὴ ξυνενεχθείσης ψάμμου; — μηδὲ τὸν φοιτῶντα παρ' ἀνθρώπων, οἳ τὰς ἐσφορὰς ὀλοφύρονται, κίβδηλον γὰρ ὁ χρυσὸς καὶ μέλαν, ἢν ἐκ δακρύων ἥκῃ· πλούτῳ δ' ἂν ἄριστα βασιλέων χρῷο τοῖς μὲν δεομένοις ἐπαρκῶν, τοῖς δὲ πολλὰ κεκτημένοις παρέχων ἀσφαλῆ τὸν πλοῦτον. τὸ ἐξεῖναί σοι πᾶν, ὅ τι βούλει, δέδιθι, σωφρονέστερον γὰρ αὐτῷ χρήσῃ. μὴ τέμνε τῶν ἀσταχύων τοὺς ὑψηλούς τε καὶ ὑπεραίροντας, ἄδικος γὰρ ὁ τοῦ Ἀριστοτέλους λόγος, ἀλλὰ τὸ δύσνουν ἐξαίρει μᾶλλον, ὥσπερ τὰς ἀκάνθας τῶν ληίων καὶ φοβερὸς δόκει τοῖς νεώτερα πράττουσι μὴ ἐν τῷ τιμωρεῖσθαι, ἀλλ' ἐν τῷ τιμωρήσεσθαι. νόμος, ὦ βασιλεῦ, καὶ σοῦ ἀρχέτω· σωφρονέστερον γὰρ νομοθετήσεις, ἢν μὴ ὑπερορᾷς τῶν νόμων. θεοὺς θεράπευε μᾶλλον ἢ πρότερον· μεγάλα μὲν γὰρ παρ' αὐτῶν εἴληφας,

ὑπὲρ μεγάλων δὲ εὐχῇ. καὶ τὰ μὲν τῇ ἀρχῇ προσ-
221 ήκοντα, ὡς βασιλεὺς πρᾶττε, τὰ δὲ τῷ σώματι, ὡς ἰδιώτης. περὶ δὲ κύβων καὶ μέθης καὶ ἐρώτων καὶ τοῦ διαβεβλῆσθαι πρὸς τὰ τοιαῦτα τί ἄν σοι παραινοίην, ὅν φασι μηδὲ ἐφ' ἡλικίας ταῦτα ἐπαινέσαι; παῖδές εἰσί σοι, βασιλεῦ, δύο καὶ γενναῖοι, ὥς φασιν. ἄρχε τούτων μάλιστα, τὰ γὰρ ἐκείνοις ἁμαρτηθέντα σὲ δήπου διαβαλεῖ. ἔστω δέ σοι καὶ ἀπειλὴ πρὸς αὐτούς, ὡς οὐ παραδώσεις τὴν ἀρχήν σφισιν, εἰ μή που καλοί τε καὶ ἀγαθοὶ μείνωσιν, ἵνα μὴ κληρονομίαν ἡγῶνται τὴν ἀρχήν, ἀλλ' ἀρετῆς ἆθλα. τὰς δὲ ἐμπολιτευομένας ἡδονὰς τῇ Ῥώμῃ, πολλαὶ δὲ αὗται, δοκεῖ μοι, ὦ βασιλεῦ, ξυμμέτρως παύειν, χαλεπὸν γὰρ μεταβαλεῖν δῆμον ἐς τὸ ἀθρόως σῶφρον, ἀλλὰ δεῖ κατ' ὀλίγον ἐμποιεῖν ῥυθμὸν ταῖς γνώμαις, τὰ μὲν φανερῶς, τὰ δὲ ἀφανῶς διορθούμενον. ἀπελευθέρων τε καὶ δούλων, οὓς ἡ ἀρχή σοι δίδωσιν, ἀνέλωμεν τρυφὴν τοσούτῳ ταπεινότερον αὐτοὺς ἐθίσαντες φρονεῖν, ὅσῳ μείζονος δεσπότου εἰσίν. τί λοιπὸν ἀλλ' ἢ περὶ τῶν ἡγεμόνων εἰπεῖν, οἳ ἐς τὰ ἔθνη φοιτῶσιν, οὐ περὶ ὧν αὐτὸς ἐκπέμψεις, ἀριστίνδην γάρ που τὰς ἀρχὰς δώσεις, ἀλλὰ περὶ τῶν κληρωσομένων τὸ ἄρχειν· τούτων γὰρ τοὺς μὲν προσφόρους τοῖς ἔθνεσιν, ἃ διέλαχον, φημὶ δεῖν πέμπειν, ὡς ὁ κλῆρος, ἑλληνίζοντας μὲν Ἑλληνικῶν ἄρχειν, ῥωμαΐζοντας δὲ ὁμογλώττων καὶ ξυμφώνων. ὅθεν δὲ τοῦτ' ἐνεθυμήθην, λέξω· κατὰ τοὺς χρόνους, οὓς ἐν Πελοποννήσῳ διῃτώμην, ἡγεῖτο τῆς Ἑλλάδος
ἄνθρωπος οὐκ εἰδὼς τὰ Ἑλλήνων, καὶ οὐδ' οἱ Ἕλ- 102
ληνές τι ἐκείνου ξυνίεσαν· ἔσφηλεν οὖν καὶ ἐσφάλη τὰ πλεῖστα, οἱ γὰρ ξύνεδροί τε καὶ κοινωνοὶ τῆς ἐν τοῖς δικαστηρίοις γνώμης ἐκαπήλευον τὰς δίκας δια-

λαβόντες τὸν ἡγεμόνα, ὥσπερ ἀνδράποδον. ταῦτά μοι, βασιλεῦ, παρέστη τήμερον, εἰ δέ τι καὶ ἕτερον ἐπὶ νοῦν ἔλθοι, πάλιν ξυνελευσόμεθα. νυνὶ δὲ τὰ προσήκοντα τῇ ἀρχῇ πρᾶττε, μὴ ἀργότερος τοῖς ὑπηκόοις δόξῃς."

XXXVII Ὁ δὲ Εὐφράτης „τοῖς μὲν δεδογμένοις ξυγχωρῶ," ἔφη „τί γὰρ ἂν πλέον μεταδιδάσκων πράττοιμι; φιλοσοφίαν δέ, ὦ βασιλεῦ, τουτὶ γὰρ λοιπὸν προσειρήσει, τὴν μὲν κατὰ φύσιν ἐπαίνει καὶ ἀσπάζου, τὴν δὲ θεοκλυτεῖν φάσκουσαν παραιτοῦ, καταψευδόμενοι γὰρ τοῦ θείου πολλὰ καὶ ἀνόητα ἡμᾶς ἐπαίρουσιν." ταυτὶ μὲν πρὸς τὸν Ἀπολλώνιον αὐτῷ ἐλέγετο, ὁ δὲ οὐδὲν ἐπιστραφεὶς ἀπῄει μετὰ τῶν ἑαυτοῦ γνωρίμων, διανύσας τὴν σπουδήν· βουλομένου δὲ τοῦ Εὐφράτου θρασύτερόν τι περὶ αὐτοῦ λέγειν, ξυνῆκεν ὁ βασιλεὺς καὶ διακρουόμενος αὐτὸν „ἐσκαλεῖτε" ἔφη „τοὺς δεομένους τῆς ἀρχῆς καὶ ἀπολαβέτω ἡ βουλὴ τὸ ἑαυτῆς σχῆμα." οὕτω μὲν δὴ ὁ Εὐφράτης ἔλαθε διαβαλὼν ἑαυτόν, καὶ γὰρ βάσκανός τε τῷ βασιλεῖ καὶ ὑβριστὴς ἔδοξε, καὶ τοὺς λόγους τοὺς ὑπὲρ τῆς δημοκρατίας οὐχ ὡς ἐγίγνωσκεν, εἰρηκώς, ἀλλ' ἐς ἀντιλογίαν τοῦ Ἀπολλωνίου δι' ἃ περὶ τῆς ἀρχῆς ἐκείνῳ ἐδόκει· οὐ μὴν ἀπερρίπτει αὐτόν, οὐδὲ ἐπεδήλου τι ὀργῆς πρὸς ταῦτα. καὶ τὸν Δίωνα οὐκ ἐπῄνει μὲν ξυναράμενον αὐτῷ τῆς γνώμης, οὐ μὴν ἐπαύσατο ἀγαπῶν· ἐπίχαρίς τε γὰρ τὰς διαλέξεις ἐδόκει καὶ τὰς ἔριδας παρῃτεῖτο, ὥραν τε ἐπέφαινε τοῖς λόγοις, οἷα τοῦ πρὸς τοῖς ἱεροῖς ἀτμοῦ ἐκπνεῖ, προσῆν δὲ αὐτῷ καὶ τὸ ἀποσχεδιάζειν ἄριστα ἀνθρώπων. τὸν δὲ Ἀπολλώνιον ὁ βασιλεὺς οὐκ ἠγάπα μόνον, ἀλλὰ καὶ ὑπέκειτο αὐτῷ διιόντι μὲν τὰ ἀρχαῖα, διηγουμένῳ δὲ τὸν 222

Ἰνδὸν Φραώτην ποταμούς τε ἀναγράφοντι καὶ θηρία, ὑφ' ὧν ἡ Ἰνδικὴ οἰκεῖται, προλέγοντι δὲ καὶ ὁπόσα οἱ θεοὶ περὶ τῆς ἀρχῆς ἔφαινον. ἐξελαύνων δὲ τῆς Αἰγύπτου ξυνῳκισμένης τε καὶ νεαζούσης κοινωνὸν μὲν τῆς ὁδοῦ τὸν Ἀπολλώνιον ἐποιεῖτο, τῷ δὲ οὐκ ἐδόκει ταῦτα· Αἴγυπτόν τε γάρ, ὁπόση ἐστίν, οὔπω ἑωρακέναι τοῖς τε Γυμνοῖς οὔπω ἀφῖχθαι ἐς λόγον μάλα ἐσπουδακὼς σοφίᾳ Ἰνδικῇ ἀντικρῖναι Αἰγυπτίαν. „οὐδὲ Νείλου“ ἔφη „ἔπιον, ὅθεν
223 ἄρχεται.“ ξυνεὶς οὖν ὁ βασιλεύς, ὅτι ἐπ' Αἰθιοπίαν στέλλεται „ἡμῶν δὲ“ ἔφη „οὐ μεμνήσῃ;“ „νὴ Δί',“ εἶπεν „ἢν βασιλεὺς ἀγαθὸς μένῃς καὶ σεαυτοῦ μνημονεύῃς.“

Μετὰ ταῦτα θύσας ὁ βασιλεὺς ἐν τῷ ἱερῷ XXXVIII
δωρεὰς ἐπήγγειλεν αὐτῷ δημοσίᾳ. ὁ δὲ ὥσπερ αἰτήσων „τίνας δέ,“ εἶπεν „ὦ βασιλεῦ, δωρεὰς δώσεις;“ „δέκα“ ἔφη „νῦν, ἀφικομένῳ δὲ ἐς τὴν Ῥώμην τἀμὰ πάντα.“ καὶ ὁ Ἀπολλώνιος „οὐκοῦν“ ἔφη „φείδεσθαί με χρὴ τῶν σῶν ὡς ἐμῶν καὶ μὴ σπαθᾶν αὐτὰ νῦν ἀποκεισόμενά μοι ἀθρόα· ἀλλ' ἐπιμελήθητι τούτων, ὦ βασιλεῦ μᾶλλον, ἐοίκασι γὰρ δεομένοις.“ ἐδείκνυε δὲ ἄρα τοὺς περὶ τὸν Εὐφράτην. ὁ μὲν δὴ βασιλεὺς ἐκέλευσεν αἰτεῖν θαρροῦντας, ἐρυθριάσας δὲ ὁ Δίων „διάλλαξόν με, βασιλεῦ,“ εἶπε „πρὸς Ἀπολλώνιον τὸν διδάσκαλον ὑπὲρ ὧν ἀντιλέγειν αὐτῷ ἔδοξα μήπω πρότερον ἀντειπὼν τῷ ἀνδρί.“ ἐπαινέσας οὖν ὁ βασιλεὺς „χθὲς“ ἔφη „τοῦτο ἐγὼ ᾔτησα καὶ ὑπάρχει· ἀλλ' αἴτει ὑπὲρ δωρεᾶς.“ καὶ ὁ Δίων „Λασθένης“ ἔφη „ἐστὶ μὲν ἐξ Ἀπαμείας τῆς ἐν τῷ Βιθυνῶν ἔθνει, ξυμφιλοσοφῶν δέ μοι χλαμύδος ἠράσθη καὶ στρατιώτου βίου· τοῦτον, ἐπειδὴ τρίβωνος πάλιν ἐρᾶν φησιν, ἄνες τῆς στρατείας, δεῖ-

103 ται δὲ αὐτὸς ταῦτα. χαριεῖ δὲ ἐμοὶ μὲν ἀποφῆναι
αὐτὸν ἄνδρα ἀγαθόν, ἐκείνῳ δὲ ζῆν, ὡς βούλεται.“
„ἀνείσθω“, ἔφη „δίδωμι δὲ αὐτῷ καὶ τὰ τῶν ἐστρα-
τευμένων, ἐπειδὴ σοφίας ἐρᾷ καὶ σοῦ.“ καὶ μετὰ
τοῦτον ἐς τὸν Εὐφράτην ἐπεστράφη, τῷ δὲ ἐπιστολὴ
ξυνετέτακτο περὶ ὧν ᾔτει. τὴν μὲν δὴ ἐπιστολὴν
ὤρεγεν, ὡς ἀναγνωσομένῳ καθ' ἑαυτόν, βουληθεὶς
δὲ ὁ βασιλεὺς παραδοῦναί τινα κατ' αὐτοῦ λόγον
ἀνέγνω δημοσίᾳ πᾶσιν· αἰτῶν δὲ ἐφαίνετο τὰ μὲν
ἑαυτῷ, τὰ δὲ ἑτέροις, καὶ τῶν δωρεῶν αἱ μὲν χρή- 224
ματα ἦσαν, αἱ δὲ ὑπὲρ χρημάτων. γελάσας οὖν ὁ
Ἀπολλώνιος „εἶτα ὑπὲρ δημοκρατίας“ ἔφη „ξυνεβού-
λευες τοσαῦτα μέλλων αἰτήσειν βασιλέα;“

XXXIX Τὰ μὲν δὴ τῆς διαφορᾶς, ἣ Ἀπολλωνίῳ τε καὶ
Εὐφράτῃ ἐγένετο, τοιάδε εὗρον, ἐξελάσαντος δὲ τοῦ
βασιλέως καθήπτοντο ἀλλήλων ἐς τὸ φανερόν, ὁ μὲν
Εὐφράτης ξὺν ὀργῇ τε καὶ λοιδορίαις, ὁ δ' αὖ φι-
λοσόφως καὶ ξὺν ἐλέγχῳ μᾶλλον. ὁπόσα μὲν δὴ
Εὐφράτου κατηγόρηκεν, ὡς παρὰ τὸ πρέπον φιλο-
σοφίᾳ πράττοντος, ἔξεστιν Ἀπολλωνίου μαθεῖν ἐκ
τῶν πρὸς αὐτὸν ἐπιστολῶν, πλείους γάρ, ἐμοὶ δὲ
ἀφεκτέα τοῦ ἀνδρός, οὐ γὰρ ἐκεῖνον διαβαλεῖν προὐ-
θέμην, ἀλλὰ παραδοῦναι τὸν Ἀπολλωνίου βίον τοῖς
μήπω εἰδόσι. τὸ μέντοι περὶ τοῦ ξύλου λεγόμενον,
λέγεται δὲ ἐπανατείνασθαι μὲν αὐτὸ διαλεγομένῳ
τῷ Ἀπολλωνίῳ, μὴ καθικέσθαι δέ, οἱ μὲν πολλοὶ
δεινότητι τοῦ πεπληξομένου προσγράφουσιν, ἐγὼ δὲ
λογισμῷ τοῦ πλήξοντος, δι' ὃν ἐγένετο κρείττων ὀρ-
γῆς νενικηκυίας ἤδη.

XL Ἡ δὲ τοῦ Δίωνος φιλοσοφία ῥητορικωτέρα τῷ
Ἀπολλωνίῳ ἐφαίνετο καὶ ἐς τὸ εὐφραῖνον κατεσκευ-
ασμένη μᾶλλον, ὅθεν διορθούμενος αὐτόν φησιν

„αὐλῷ καὶ λύρᾳ μᾶλλον ἢ λόγῳ θέλγε," καὶ πολλαχοῦ τῶν πρὸς Δίωνα ἐπιστολῶν ἐπιπλήττει τῇ δημαγωγίᾳ ταύτῃ.

Τὸ δὲ μὴ ἀφικέσθαι αὐτὸν παρὰ τὸν βασιλέα XLI
ἔτι, μηδὲ ξυγγενέσθαι οἱ μετὰ τὴν Αἴγυπτον καίτοι καλοῦντι καὶ πλεῖστα ὑπὲρ τούτου γράφοντι ὁπόθεν ξυνέβη, δηλῶσαι βούλομαι· Νέρων ἐλευθέραν ἀφῆκε τὴν Ἑλλάδα σωφρονέστερόν τι ἑαυτοῦ γνούς, καὶ
225 ἐπανῆλθον αἱ πόλεις ἐς ἤθη Δωρικὰ καὶ Ἀττικὰ πάντα τε ἀνήβησε ξὺν ὁμονοίᾳ τῶν πόλεων, ὃ μηδὲ πάλαι ἡ Ἑλλὰς εἶχεν, Οὐεσπασιανὸς δὲ ἀφικόμενος ἀφείλετο αὐτὴν τοῦτο στάσεις προβαλλόμενος καὶ ἄλλα οὔπω τῆς ἐπὶ τοσόνδε ὀργῆς· ταῦτ' οὖν οὐ μόνον τοῖς παθοῦσιν, ἀλλὰ καὶ τῷ Ἀπολλωνίῳ πικρότερα τοῦ τῆς βασιλείας ἤθους ἔδοξεν, ὅθεν ἐπέστειλε τῷ βασιλεῖ ὧδε·

Ἀπολλώνιος Οὐεσπασιανῷ βασιλεῖ χαίρειν.

Ἐδουλώσω τὴν Ἑλλάδα, ὥς φασί, καὶ πλέον μὲν οἴει τι ἔχειν Ξέρξου, λέληθας δὲ ἔλαττον ἔχων Νέρωνος· Νέρων γὰρ ἔχων αὐτὸ παρῃτήσατο. ἔρρωσο.

Τῷ αὐτῷ.

Διαβεβλημένος οὕτω πρὸς Ἕλληνας, ὡς δουλοῦσθαι αὐτοὺς ἐλευθέρους ὄντας τί ἐμοῦ ξυνόντος δέῃ; ἔρρωσο.

Τῷ αὐτῷ.

Νέρων τοὺς Ἕλληνας παίζων ἠλευθέρωσε, σὺ δὲ αὐτοὺς σπουδάζων ἐδουλώσω. ἔρρωσο.

Τὰ μὲν δὴ διαβάλλοντα Οὐεσπασιανὸν Ἀπολ- 104
λωνίῳ τοιάδε ἐγένετο, ἀκούων δ' αὐτὸν εὖ διατιθέμενον τὴν μετὰ ταῦτα ἀρχὴν πᾶσαν οὐκ ἀφανὴς ἦν χαίρων καὶ ἡγούμενος ἑαυτῷ ἀγαθὸν πράττεσθαι.

105

Ζ΄.

I *Αἰθιοπία* δὲ τῆς μὲν ὑπὸ ἡλίῳ πάσης ἐπέχει τὸ ἑσπέριον κέρας, ὥσπερ Ἰνδοὶ τὸ πρὸς ἕω, κατὰ Μερόην δ' Αἰγύπτῳ ξυνάπτουσα καί τι τῆς ἀμαρτύρου Λιβύης ἐπελθοῦσα τελευτᾷ ἐς θάλατταν, ἣν Ὠκεανὸν οἱ ποιηταὶ καλοῦσι, τὸ περὶ γῆν ἅπαν ὧδε ἐπονομάζοντες. ποταμὸν δὲ Νεῖλον Αἰγύπτῳ δίδωσιν, ὃς ἐκ Καταδούπων ἀρχόμενος, ἣν ἐπικλύζει πᾶσαν Αἴγυπτον ἀπ' Αἰθιόπων ἄγει. μέγεθος μὲν οὖν οὐκ ἀξία παραβεβλῆσθαι πρὸς Ἰνδοὺς ἥδε ἡ χώρα, ὅτι μηδ' ἄλλη μηδεμία, ὁπόσαι κατ' ἀνθρώπους ὀνομασταὶ ἤπειροι, εἰ δὲ καὶ πᾶσαν Αἴγυπτον Αἰθιοπίᾳ ξυμβάλοιμεν, τουτὶ δὲ ἡγώμεθα καὶ τὸν ποταμὸν πράττειν, οὔπω ξύμμετροι πρὸς τὴν Ἰνδῶν ἄμφω, 229
τοσαύτη ξυντεθεῖσα, ποταμοὶ δὲ ἀμφοῖν ὅμοιοι λογισαμένῳ τὰ Ἰνδοῦ τε καὶ Νείλου· ἐπιρραίνουσί τε γὰρ τὰς ἠπείρους ἐν ὥρᾳ ἔτους, ὁπότε ἡ γῆ ἐρᾷ τούτου, ποταμῶν τε παρέχονται μόνοι τὸν κροκόδειλον καὶ τὸν ἵππον, λόγοι τε ὀργίων ἐπ' αὐτοῖς ἴσοι, πολλὰ γὰρ τῶν Ἰνδῶν καὶ Νείλῳ ἐπιθειάζεται. τὴν δὲ ὁμοιότητα τῶν ἠπείρων πιστούσθων μὲν καὶ τὰ ἐν αὐταῖς ἀρώματα, πιστούσθων δὲ καὶ οἱ λέοντες καὶ ὁ ἐλέφας ἐν ἑκατέρᾳ ἁλισκόμενός τε καὶ δουλεύων. βόσκουσι δὲ καὶ θηρία, οἷα οὐχ ἑτέρωθι, καὶ ἀνθρώπους μέλανας, ὃ μὴ ἄλλαι ἤπειροι, Πυγμαίων τε ἐν αὐταῖς ἔθνη καὶ ὑλακτούντων ἄλλο ἄλλη καὶ ὧδε θαυμαστά. γρῦπες δὲ Ἰνδῶν καὶ μύρμηκες Αἰθιόπων εἰ καὶ ἀνόμοιοι τὴν ἰδέαν εἰσίν, ἀλλ' ὅμοιά γε, ὥς φασι, βούλονται, χρυσοῦ γὰρ φύλακες ἐν ἑκατέρᾳ ᾄδονται τὸ χρυσόγεων τῶν ἠπείρων ἀσπαζόμενοι. ἀλλὰ μὴ πλείω ὑπὲρ τού-

των, ὁ δὲ λόγος ἐς τὸ ἑαυτοῦ ἴτω καὶ ἐχώμεθα τοῦ ἀνδρός.

᾿Αφικόμενος γὰρ ἐπὶ τὰ Αἰθιόπων τε καὶ Αἰγυ- II
πτίων ὅρια, Συκάμινον δὲ αὐτὰ ὀνομάζουσι, χρυσῷ τε ἀσήμῳ ἐνέτυχε καὶ λίνῳ καὶ ἐλέφαντι καὶ ῥίζαις καὶ μύρῳ καὶ ἀρώμασιν, ἔκειτο δὲ πάντα ἀφύλακτα ἐν ὁδῷ σχιστῇ· καὶ ὅ τι βούλεται ταῦτα, ἐγὼ δηλώσω, νομίζεται γὰρ καὶ ἐς ἡμᾶς ἔτι· ἀγορὰν Αἰθίο-
230 πες ἀπάγουσιν, ὧν Αἰθιοπία δίδωσιν, οἱ δ' ἀνελόμενοι πᾶσαν ξυμφέρουσιν ἐς τὸν αὐτὸν χῶρον ἀγορὰν Αἰγυπτίαν ἴσου ἀξίαν ὠνούμενοι τῶν αὐτοῖς ὄντων τὰ οὐκ ὄντα. οἱ δὲ τὰ ὅρια τῶν ἠπείρων οἰκοῦντες οὔπω μέλανες, ἀλλὰ ὁμόφυλοι τὸ χρῶμα, μελαίνονται γὰρ οἱ μὲν ἧττον Αἰθιόπων, οἱ δὲ μᾶλλον Αἰγυπτίων. ξυνεὶς οὖν ὁ ᾿Απολλώνιος τοῦ τῆς ἀγορᾶς ἤθους „οἱ δὲ χρηστοὶ“ ἔφη „῞Ελληνες, ἢν μὴ ὀβολὸς ὀβολὸν τέκῃ καὶ τὰ ὤνια αὐτοῖς ἐπιτιμήσωσι καπηλεύοντες ἢ καθειργνύντες, οὔ φασι ζῆν ὁ μὲν θυγατέρα σκηπτόμενος ἐν ὥρᾳ γάμων, ὁ δ' υἱὸν ἤδη τελοῦντα ἐς ἄνδρας, ὁ δ' ἐράνου πλήρωσιν, ὁ δ', ὡς οἰκοδομοῖτο οἰκίαν, ὁ δέ, ὡς αἰσχύνοιτο χρηματιστὴς ἥττων τοῦ πατρὸς δόξαι. καλῶς δ' ἄρ' εἶχεν, ἵνα ὁ πλοῦτος ἀτίμως ἔπραττεν ἰσότης τε ἤνθει,

μέλας δ' ἀπέκειτο σίδηρος,

ὁμονοούντων τῶν ἀνθρώπων, καὶ ἡ γῆ πᾶσα ἐδόκει μία.“

Τοιαῦτα διαλεγόμενος καὶ ξυμβούλους τῶν δια- III
λέξεων, ὥσπερ εἰώθει, ποιούμενος τοὺς καιροὺς 106
ἐχώρει ἐπὶ * Μέμνονος, ἡγεῖτο δ' αὐτοῖς μειράκιον Αἰγύπτιον, ὑπὲρ οὗ τάδε ἀναγράφει Δάμις· Τιμασίων μὲν τῷ μειρακίῳ τούτῳ ὄνομα ἦν, ἐφήβου δὲ

ἄρτι ὑπαπήει καὶ τὴν ὥραν ἔτι ἔρρωτο. σωφρονοῦντι δὲ αὐτῷ μητρυιὰ ἐρῶσα ἐνέκειτο καὶ χαλεπὸν τὸν πατέρα ἐποίει, ξυντιθεῖσα μὲν οὐδὲν ὧνπερ ἡ Φαίδρα, διαβάλλουσα δ' αὐτὸν ὡς θῆλυν καὶ ἐρασταῖς μᾶλλον ἢ γυναίοις χαίροντα. ὁ δ' ἐκλιπὼν Ναύκρατιν, ἐκεῖ γὰρ ταῦτα ἐγίγνετο, περὶ Μέμφιν διῃτᾶτο, καὶ ναῦν δὲ ἰδιόστολον ἐκέκτητο καὶ ἐναυ- 231 κλήρει ἐν τῷ Νείλῳ. ἰδὼν οὖν ἀναπλέοντα τὸν Ἀπολλώνιον καταπλέων αὐτὸς ξυνῆκέ τε, ὡς ἀνδρῶν σοφῶν εἴη τὸ πλήρωμα ξυμβαλλόμενος τοῖς τρίβωσι καὶ τοῖς βιβλίοις, οἷς προσεσπούδαζον, καὶ ἱκέτευε προσδοῦναί οἱ τῆς τοῦ πλοῦ κοινωνίας ἐρῶντι σοφίας, ὁ δ' Ἀπολλώνιος „σώφρων“ ἔφη „ὁ νεανίσκος, ὦ ἄνδρες, καὶ ἀξιούσθω ὧν δεῖται,“ καὶ διῆλθε τὸν περὶ τῆς μητρυιᾶς λόγον πρὸς τοὺς ἐγγὺς τῶν ἑταίρων ὑφειμένῳ τῷ τόνῳ προσπλέοντος τοῦ μειρακίου ἔτι. ὡς δὲ ξυνῆσαν αἱ νῆες, μεταβὰς ὁ Τιμασίων καὶ πρὸς τὸν ἑαυτοῦ κυβερνήτην εἰπών τι ὑπὲρ τοῦ φόρτου προσεῖπε τοὺς ἄνδρας. κελεύσας οὖν αὐτὸν ὁ Ἀπολλώνιος κατ' ὀφθαλμοὺς αὐτοῦ ἱζῆσαι „μειράκιον“ ἔφη „Αἰγύπτιον, ἔοικας γὰρ τῶν ἐπιχωρίων εἶναί τις, τί σοι φαῦλον ἢ τί χρηστὸν εἴργασται, λέξον, ὡς τῶν μὲν λύσις παρ' ἐμοῦ γένοιτό σοι δι' ἡλικίαν, τῶν δ' αὖ ἐπαινεθεὶς ἐμοί τε ξυμφιλοσοφοίης καὶ τοῖσδε.“ ὁρῶν δὲ τὸν Τιμασίωνα ἐρυθριῶντα καὶ μεταβάλλοντα τὴν ὁρμὴν τοῦ στόματος ἐς τὸ λέξαι τι ἢ μή, θαμὰ ἤρειδε τὴν ἐρώτησιν, ὥσπερ οὐδεμιᾷ προγνώσει ἐς αὐτὸν κεχρημένος, ἀναθαρσήσας δὲ ὁ Τιμασίων „ὦ θεοί,“ ἔφη „τίνα ἐμαυτὸν εἴπω; κακὸς μὲν γὰρ οὐκ εἰμί, ἀγαθὸν δὲ εἰ χρὴ νομίζεσθαί με, οὐκ οἶδα, τὸ γὰρ μὴ ἀδικεῖν οὔπω ἔπαινος.“ καὶ ὁ Ἀπολλώνιος „βαβαί,“ ἔφη „μειρά-

κιον, ὡς ἀπὸ Ἰνδῶν μοι διαλέγῃ, ταυτὶ γὰρ καὶ Ἰάρχᾳ δοκεῖ τῷ θείῳ. ἀλλ' (εἰπὲ) ὅπως ταῦτα δοξάζεις, κἀξ ὅτου; φυλαξομένῳ γάρ τι ἁμαρτεῖν ἔοικας." ἐπεὶ δὲ ἀρξαμένου λέγειν, ὡς ἡ μητρυιὰ μὲν ἐπ' αὐτὸν φέροιτο, αὐτὸς δ' ἐρώσῃ ἐκσταίη, βοὴ ἐγένετο, ὡς δαιμονίως αὐτὰ τοῦ Ἀπολλωνίου προειπόντος, 232 ὑπολαβὼν ὁ Τιμασίων „ὦ λῷστοι," ἔφη „τί πεπόνθατε; τοσοῦτον γὰρ ἀπέχει τὰ εἰρημένα θαύματος, ὅσον, οἶμαι, γέλωτος." καὶ ὁ Δάμις „ἕτερόν τι" ἔφη „ἐθαυμάσαμεν, ὃ μήπω γιγνώσκεις. καὶ σὲ δέ, μειράκιον, ἐπαινοῦμεν, ὅτι μηδὲν οἴει λαμπρὸν εἰργάσθαι." „Ἀφροδίτῃ δὲ θύεις, ὦ μειράκιον;" ἤρετο ὁ Ἀπολλώνιος, καὶ ὁ Τιμασίων, „νὴ Δί'," εἶπεν, „ὁσημέραι γε, πολλὴν γὰρ ἡγοῦμαι τὴν θεὸν (ἐν) ἀνθρωπείοις τε καὶ θείοις πράγμασιν." ὑπερησθεὶς οὖν ὁ Ἀπολλώνιος, „ψηφισώμεθα," ἔφη „ὦ ἄνδρες, ἐστεφανῶσθαι αὐτὸν ἐπὶ σωφροσύνῃ καὶ πρὸ Ἱππολύτου τοῦ Θησέως, ὁ μὲν γὰρ ἐς τὴν Ἀφροδίτην ὕβρισε καὶ διὰ τουτὶ ἴσως οὐδὲ ἀφροδισίων ἥττητο, οὐδὲ ἔρως ἐπ' αὐτὸν οὐδεὶς 233 ἐκώμαζεν, ἀλλ' ἦν τῆς ἀγροικοτέρας τε καὶ ἀτέγκτου μοίρας, οὑτοσὶ δὲ ἡττᾶσθαι τῆς θεοῦ φάσκων οὐδὲν πρὸς τὴν ἐρῶσαν ἔπαθεν, ἀλλ' ἀπῆλθεν αὐτὴν δείσας τὴν θεόν, εἰ τὸ κακῶς ἐρᾶσθαι μὴ φυλάξοιτο, καὶ αὐτὸ δὲ τὸ διαβεβλῆσθαι πρὸς ὁντιναδὴ τῶν θεῶν, ὥσπερ πρὸς τὴν Ἀφροδίτην ὁ Ἱππόλυτος, οὐκ ἀξιῶ σωφροσύνης. σωφρονέστερον γὰρ τὸ περὶ πάντων θεῶν εὖ λέγειν καὶ ταῦτα Ἀθήνησιν, οὗ καὶ ἀγνώστων δαιμόνων βωμοὶ ἵδρυνται." τοσαῦτα ἐς τὸν Τιμασίωνα αὐτῷ ἐσπουδάσθη. πλὴν ἀλλὰ Ἱππόλυτόν γε ἐκάλει αὐτὸν διὰ τοὺς ὀφθαλμούς, οἷς τὴν μητρυιὰν εἶδεν. ἐδόκει δὲ καὶ τῶν

σώματος ἐπιμεληθῆναι καὶ γυμναστικῆς ἐπαφροδίτως ἅψασθαι.

IV Ὑπὸ τούτῳ ἡγεμόνι παρελθεῖν φασιν ἐς τὸ τέμενος τοῦ Μέμνονος. περὶ δὲ τοῦ Μέμνονος τάδε ἀναγράφει Δάμις· Ἠοῦς μὲν παῖδα γενέσθαι αὐτόν, ἀποθανεῖν δὲ οὐκ ἐν Τροίᾳ, ὅτι μηδὲ ἀφικέσθαι ἐς Τροίαν, ἀλλ' ἐν Αἰθιοπίᾳ τελευτῆσαι βασιλεύσαντα Αἰθιόπων γενεὰς πέντε. οἱ δ', ἐπειδὴ μακροβιώτατοι 233 ἀνθρώπων εἰσίν, ὀλοφύρονται τὸν Μέμνονα ὡς κομιδῇ νέον καὶ ὅσα ἐπὶ ἀώρῳ κλαίουσι, τὸ δὲ χωρίον, ἐν ᾧ ἵδρυται, φασὶ μὲν προσεοικέναι ἀγορᾷ ἀρχαίᾳ, οἷαι τῶν ἀγορῶν ἐν πόλεσί ποτε οἰκηθείσαις λείπονται στηλῶν παρεχόμεναι τρύφη καὶ τειχῶν ἴχνη καὶ θάκους καὶ φλιὰς ἑρμῶν τε ἀγάλματα, τὰ μὲν ὑπὸ χειρῶν διεφθορότα, τὰ δὲ ὑπὸ χρόνου. τὸ δὲ ἄγαλμα τετράφθαι πρὸς ἀκτῖνα μήπω γενειάσκον, λίθου δὲ εἶναι μέλανος, ξυμβεβηκέναι δὲ τὼ πόδε ἄμφω κατὰ τὴν ἀγαλματοποιίαν τὴν ἐπὶ Δαιδάλου καὶ τὰς χεῖρας ἀπερείδειν ὀρθὰς ἐς τὸν θᾶκον, καθῆσθαι γὰρ ἐν ὁρμῇ τοῦ ὑπανίστασθαι. τὸ δὲ σχῆμα τοῦτο καὶ τὸν τῶν ὀφθαλμῶν νοῦν καὶ ὁπόσα τοῦ στόματος ὡς φθεγξομένου ᾄδουσι, τὸν μὲν ἄλλον χρόνον ἧττον θαυμάσαι φασίν, οὔπω γὰρ ἐνεργὰ φαίνεσθαι, προσβαλούσης δὲ τὸ ἄγαλμα τῆς ἀκτῖνος, τουτὶ δὲ γίγνεσθαι περὶ ἡλίου ἐπιτολάς, μὴ κατασχεῖν τὸ θαῦμα, φθέγξασθαι μὲν γὰρ παραχρῆμα τῆς ἀκτῖνος ἐλθούσης αὐτῷ ἐπὶ στόμα, φαιδροὺς δὲ ἱστάναι τοὺς ὀφθαλμοὺς δόξαι πρὸς τὸ φῶς, οἷα τῶν ἀνθρώπων οἱ εὐήλιοι. τότε ξυνεῖναι λέγουσιν, ὅτι τῷ Ἡλίῳ δοκεῖ ὑπανίστασθαι, καθάπερ οἱ τὸ κρεῖττον ὀρθοὶ θεραπεύοντες. θύσαντες οὖν Ἡλίῳ τε Αἰθίοπι καὶ Ἠῴῳ Μέμνονι, τουτὶ γὰρ ἔφραζον οἱ ἱερεῖς, τὸν μὲν

ἀπὸ τοῦ αἴθειν τε καὶ θάλπειν, τὸν δὲ ἀπὸ τῆς μητρὸς ἐπονομάζοντες, ἐπορεύοντο ἐπὶ καμήλων ἐς τὰ τῶν Γυμνῶν ἤθη.

Ἀνδρὶ δὲ ἐντυχόντες ἐσταλμένῳ τρόπον, ὅνπερ V
οἱ Μεμφῖται καὶ ἀλύοντι μᾶλλον ἢ ξυντείνοντι ἤροντο οἱ περὶ τὸν Δάμιν, ὅστις εἴη καὶ (δι') ὅ τι πλανῷτο, καὶ ὁ Τιμασίων „ἐμοῦ“ ἔφη „πυνθάνεσθε, ἀλλὰ μὴ τούτου, οὗτος μὲν γὰρ οὐκ ἂν εἴποι πρὸς ὑμᾶς τὸ ἑαυτοῦ πάθος αἰδοῖ τῆς ξυμφορᾶς, ᾗ κέχρηται,
234 ἐγὼ δέ, γιγνώσκω γὰρ τὸν ἄνδρα καὶ ἐλεῶ, λέξω τὰ περὶ αὐτὸν πάντα· ἀπέκτεινε γὰρ Μεμφίτην τινὰ ἄκων, κελεύουσι δ' οἱ κατὰ Μέμφιν νόμοι τὸν φεύγοντα ἐπ' ἀκουσίῳ, δεῖ δὲ φεύγειν, ἐπὶ τοῖς Γυμνοῖς εἶναι, κἂν ἐκνίψηται τοῦ φόνου, χωρεῖν ἐς ἤθη καθαρὸν ἤδη, βαδίσαντα πρότερον ἐπὶ τὸ τοῦ πεφονευμένου σῆμα καὶ σφάξαντά τι ἐκεῖ οὐ μέγα. τὸν δὲ χρόνον, ὃν οὔπω τοῖς Γυμνοῖς ἐνέτυχεν, ἀλᾶσθαι χρὴ περὶ ταυτὶ τὰ ὅρια, ἔστ' ἂν αἰδέσωνται αὐτόν,
ὥσπερ ἱκέτην.“ ἤρετο οὖν τὸν Τιμασίωνα ὁ Ἀπολ- 108
λώνιος, πῶς οἱ Γυμνοὶ περὶ τοῦ φεύγοντος ἐκείνου φρονοῦσιν, ὁ δὲ „οὐκ οἶδα,“ εἶπε „μῆνα γὰρ τουτονὶ ἕβδομον ἱκετεύει δεῦρο καὶ οὔπω λύσις.“ „οὐ σοφοὺς λέγεις ἄνδρας,“ ἔφη „εἰ μὴ καθαίρουσιν αὐτόν, μηδὲ γιγνώσκουσιν, ὅτι Φιλίσκος, ὃν ἀπέκτεινεν οὗτος, ἀνέφερεν ἐν Θαμοῦν τὸν Αἰγύπτιον, ὃς ἐδῄωσέ ποτε τὴν τῶν Γυμνῶν χώραν.“ θαυμάσας οὖν ὁ Τιμασίων „πῶς“ ἔφη „λέγεις;“ „ὥς γε“ εἶπεν, „ὦ μειράκιον, καὶ πέπρακται· Θαμοῦν γάρ ποτε νεώτερα ἐπὶ Μεμφίτας πράττοντα ἤλεγξαν οἱ Γυμνοὶ καὶ ἔσχον, ὁ δὲ ὁρμῆς ἁμαρτὼν ἔκειρε πᾶσαν, ἣν οὗτοι νέμονται, λῃστρικῶς γὰρ περὶ Μέμφιν ἔρρωτο· τούτου Φιλίσκον, ὃν οὗτος ἀπέκτεινεν, ὁρῶ

ἔκγονον τρίτον ἀπὸ δεκάτου, κατάρατον δηλαδὴ τούτοις, ὧν ὁ Θαμοῦς τότε διεπόρθει τὴν χώραν· καὶ ποῦ σοφόν, ὃν στεφανοῦν ἐχρῆν, εἰ καὶ προνοήσας ἀπέκτεινε, τοῦτον ἀκουσίου φόνου μέν, ὑπὲρ αὐτῶν δ' εἰργασμένου μὴ καθῆραι;“ ἐκπλαγὲν οὖν τὸ μειράκιον „ξένε,“ εἶπε „τίς εἶ;“ καὶ ὁ Ἀπολλώνιος „ὃν ἂν“ ἔφη „παρὰ τοῖς Γυμνοῖς εὕροις. ἐπεὶ δὲ οὔπω μοι ὅσιον προσφθέγξασθαι τὸν ἐν τῷ αἵματι, κέλευσον αὐτόν, ὦ μειράκιον, θαρρεῖν, ὡς αὐτίκα δὴ καθαρεύσοντα, εἰ βαδίσειεν οὗ καταλύω.“ ἀφικομένῳ δὲ ἐπιδράσας ὅσα Ἐμπεδοκλῆς τε καὶ Πυθαγόρας ὑπὲρ καθαρσίων νομίζουσιν, ἐκέλευσεν ἐς ἤθη στείχειν ὡς καθαρὸν ἤδη τῆς αἰτίας.

VI Ἐντεῦθεν ἐξελάσαντες ἡλίου ἀνίσχοντος, ἀφίκοντο πρὸ μεσημβρίας ἐς τὸ τῶν Γυμνῶν φροντι- 235 στήριον. τοὺς δὲ Γυμνοὺς τούτους οἰκεῖν μὲν ἐπί τινος λόφου, φασί, ξυμμέτρου μικρὸν ἀπὸ τῆς ὄχθης τοῦ Νείλου, σοφίᾳ δὲ Ἰνδῶν λείπεσθαι πλέον ἢ προὔχειν Αἰγυπτίων, γυμνοὺς δὲ ἐστάλθαι κατὰ ταὐτὰ τοῖς εἱληθεροῦσιν Ἀθήνησι. δένδρα δὲ ἐν τῷ νομῷ ὀλίγα καί τι ἄλσος οὐ μέγα, ἐς ὃ ξυνίασιν ὑπὲρ τῶν κοινῶν, ἱερὰ δὲ οὐκ ἐς ταὐτόν, ὥσπερ τὰ Ἰνδῶν, ἄλλο δὲ ἄλλῃ τοῦ γηλόφου ἵδρυται σπουδῆς ἀξιούμενα, ὡς Αἰγυπτίων λόγοι. θεραπεύουσι δὲ Νεῖλον μάλιστα, τὸν γὰρ ποταμὸν τοῦτον ἡγοῦνται γῆν καὶ ὕδωρ. καλύβης μὲν οὖν ἢ οἰκίας οὐδὲν αὐτοὶ δέονται ζῶντες ὑπαίθριοι καὶ ὑπὸ τῷ οὐρανῷ αὐτῷ, καταγωγὴν δὲ ἀποχρῶσαν τοῖς ξένοις ἐδείμαντο στοὰν οὐ μεγάλην, ἰσομήκη ταῖς Ἠλείων, ὑφ' αἷς ὁ ἀθλητὴς περιμένει τὸ μεσημβρινὸν κήρυγμα.

VII Ἐνταῦθά τι ἀναγράφει Δάμις Εὐφράτου ἔργον, ἡγώμεθα δὲ αὐτὸ μὴ μειρακιῶδες, ἀλλ' ἀφιλοτιμό-

τερον τοῦ φιλοσοφίᾳ προσήκοντος· ἐπεὶ γὰρ τοῦ
Ἀπολλωνίου θαμὰ ἤκουε βουλομένου σοφίαν Ἰνδι-
κὴν ἀντικρῖναι Αἰγυπτίᾳ, πέμπει παρὰ τοὺς Γυμνοὺς
Θρασύβουλον τὸν ἐκ Ναυκράτιδος ὑπὲρ διαβολῆς
τοῦ ἀνδρός, ὁ δὲ ἥκειν μὲν ὑπὲρ ξυνουσίας ἔφη τῆς
πρὸς αὐτούς, ἀφίξεσθαι δὲ καὶ τὸν Τυανέα, τουτὶ
δὲ ἐκείνοις ἀγῶνα ἔχειν οὐ σμικρόν, φρονεῖν τε γὰρ
αὐτὸν ὑπὲρ τοὺς Ἰνδῶν σοφούς, οὓς ἐν λόγῳ παντὶ
236 αἴρει, μυρίας δὲ ἐλέγξεις ἐπ' αὐτοὺς συνεσκευά-
σθαι, ξυγχωρεῖν τε οὔτε ἡλίῳ οὐδὲν οὔτε οὐρανῷ
καὶ γῇ, κινεῖν γὰρ καὶ ὀχεῖν αὐτὸς ταῦτα καὶ μετα-
τάττειν οἷ βούλεται. τοιαῦτα ὁ Ναυκρατίτης ξυνθεὶς VIII
ἀπῆλθεν, οἱ δ' ἀληθῆ ταῦτα ἡγούμενοι τὴν μὲν
ξυνουσίαν οὐ παρῃτοῦντο ἥκοντος, ὑπὲρ μεγάλων
δὲ σπουδάζειν ἐπλάττοντο καὶ πρὸς ἐκείνοις εἶναι,
ἀφίξεσθαι δὲ κἀκείνῳ ἐς λόγους, ἢν σχολὴν ἄγωσι
μάθωσί τε, ὅ τι βούλεται καὶ ὅτου ἐρῶν ἧκεν. ἐκέ-
λευε δὲ ὁ παρ' αὐτῶν ἥκων καὶ καταλύειν αὐτοὺς
ἐν τῇ στοᾷ, ὁ δὲ Ἀπολλώνιος „ὑπὲρ μὲν στέγης“
ἔφη „μηδὲν διαλέγου, ξυγχωρεῖ γὰρ πᾶσιν ὁ οὐρα-
νὸς ὁ ἐνταῦθα γυμνοῖς ζῆν,“ διαβάλλων αὐτοὺς ὡς 109
οὐ καρτερίᾳ γυμνούς, ἀλλ' ἀνάγκῃ, „ὅ τι δὲ βού-
λομαι καὶ ὑπὲρ ὅτου ἥκω τοὺς μὲν οὐ θαυμάζω οὔπω
γιγνώσκοντας, Ἰνδοὶ δέ με οὐκ ἤροντο ταῦτα.“ ὁ IX
μὲν δὴ Ἀπολλώνιος ἑνὶ τῶν δένδρων ὑποκλιθεὶς
ξυνῆν τοῖς ἑταίροις ὁπόσα ἠρώτων, ἀπολαβὼν δὲ
τὸν Τιμασίωνα ὁ Δάμις ἤρετο ἰδίᾳ· „οἱ Γυμνοὶ
οὗτοι, βέλτιστε, ξυγγέγονας γὰρ αὐτοῖς, ὡς τὸ εἰκός,
τί σοφοί εἰσι;“ „πολλὰ“ ἔφη „καὶ μεγάλα.“ „καὶ
μὴν οὐ σοφὰ“ εἶπεν „αὐτῶν, ὦ γενναῖε, τὰ πρὸς
ἡμᾶς ταῦτα, τὸ γὰρ μὴ ξυμβῆναι τοιῷδε ἀνδρὶ ὑπὲρ
σοφίας, ὄγκῳ δ' ἐπ' αὐτὸν χρήσασθαι τί φῶ οὐκ

οἶδα ἢ τῦφον,“ ἔφη „ὦ ἑταῖρε.“ „τῦφον; ὃν οὔπω πρότερον περὶ αὐτοὺς εἶδον δὶς ἤδη ἀφικόμενος, 237
ἀεὶ γὰρ μέτριοί τε καὶ χρηστοὶ πρὸς τοὺς ἐπιμιγνύντας ἦσαν· πρῴην γοῦν, πεντήκοντα δὲ τοῦτ' ἴσως ἡμέραι, Θρασύβουλος μὲν ἐπεχωρίαζεν ἐνταῦθα λαμπρὸν οὐδὲν ἐν φιλοσοφίᾳ πράττων, οἱ δ' ἄσμενοι αὐτὸν ἀπεδέξαντο, ἐπειδὴ προσέγραψεν ἑαυτὸν τῷ Εὐφράτῃ.“ καὶ ὁ Δάμις „τί λέγεις, ὦ μειράκιον; ἑώρακας σὺ Θρασύβουλον τὸν Ναυκρατίτην ἐν τῷ φροντιστηρίῳ τούτῳ,“ „καὶ πρός γε“ εἶπε „διήγαγον αὐτὸν τῇ ἐμαυτοῦ νηὶ κατιόντα ἐνθένδε.“ „τὸ πᾶν ἔχω, νὴ τὴν Ἀθηνᾶν,“ ἔφη ὁ Δάμις ἀναβοήσας τε καὶ σχετλιάσας „ἔοικε γὰρ πεπανουργῆσθαί τι.“ ὑπολαβὼν οὖν ὁ Τιμασίων „ὁ μὲν ἀνήρ,“ ἔφη „ὡς ἠρόμην αὐτὸν χθές, ὅστις εἴη, οὔπω με ἠξίου τοῦ ἀπορρήτου, σὺ δ', εἰ μὴ μυστήρια ταῦτα, λέγε ὅστις οὗτος, ἴσως γὰρ ἂν κἀγώ τι ξυμβαλοίμην τῇ τοῦ ζητουμένου θήρᾳ.“ ἐπεὶ δὲ ἤκουσε τοῦ Δάμιδος καὶ ὅτι ὁ Τυανεὺς εἴη „ξυνείληφας“ ἔφη „τὸ πρᾶγμα· Θρασύβουλος γὰρ καταπλέων μετ' ἐμοῦ τὸν Νεῖλον ἐρομένῳ μοι ἐφ' ὅ τι ἀναβαίη ἐνταῦθα, σοφίαν οὐ χρηστὴν ἑαυτοῦ διηγεῖτο τοὺς Γυμνοὺς τούτους ὑποψίας ἐμπεπληκέναι φάσκων πρὸς τὸν Ἀπολλώνιον, ὡς ὑπεροφθείη, ὁπότε ἔλθοι, κἀξ ὅτου μὲν διαφέρεται πρὸς αὐτὸν οὐκ οἶδα, τὸ δὲ ἐς διαβολὰς καθίστασθαι γυναικεῖόν τε ἡγοῦμαι καὶ ἀπαίδευτον. ἐγὼ δ' ἄν, ὡς διάκεινται, μάθοιμι προσειπὼν τοὺς ἄνδρας, φίλοι γάρ.“ καὶ ἐπανῆλθε περὶ δείλην ὁ Τιμασίων πρὸς μὲν τὸν Ἀπολλώνιον οὐδὲν φράζων πλὴν τοῦ προσειρηκέναι σφᾶς, ἰδίᾳ δ' ἀπαγγέλλων πρὸς τὸν Δάμιν, ὡς ἀφίξοιντο αὔριον μεστοὶ ὧν τοῦ Θρασυβούλου ἤκουσαν.

Τὴν μὲν δὴ ἑσπέραν ἐκείνην μέτριά τε καὶ οὐκ X
ἄξια τοῦ ἀναγράψαι σπουδάσαντες ἐκοιμήθησαν οὐ ἐδείπνησαν, ἅμα δὲ τῇ ἡμέρᾳ ὁ μὲν Ἀπολλώνιος, ὥσπερ εἰώθει, θεραπεύσας τὸν Ἥλιον ἐφειστήκει τινὶ γνώμῃ, προσδραμὼν δὲ αὐτῷ Νεῖλος, ὅσπερ ἦν νεώτατος τῶν Γυμνῶν „ἡμεῖς“ ἔφη „παρὰ σὲ ἥκομεν.“ „εἰκότως,“ εἶπεν ὁ Ἀπολλώνιος „καὶ γὰρ
238 ἐγὼ πρὸς ὑμᾶς ὁδὸν τὴν ἀπὸ θαλάττης ἐνταῦθα.“ καὶ εἰπὼν ταῦτα εἵπετο τῷ Νείλῳ. προσειπὼν οὖν καὶ προσρηθείς, ξυνέτυχον δὲ ἀλλήλοις περὶ τὴν στοάν, „ποῖ,“ ἔφη „ξυνεσόμεθα;“ „ἐνταῦθα“ ἔφη ὁ Θεσπεσίων δείξας τὸ ἄλσος. ὁ δὲ Θεσπεσίων πρεσβύτατος ἦν τῶν Γυμνῶν, καὶ ἡγεῖτο μὲν αὐτὸς πᾶσιν, οἱ δέ, ὥσπερ Ἑλλανοδίκαι τῷ πρεσβυτάτῳ, εἵποντο κοσμίῳ ἅμα καὶ σχολαίῳ βαδίσματι. ἐπεὶ δ' ἐκάθισαν, ὡς ἔτυχε, τουτὶ γὰρ οὐκέτι ἐν κόσμῳ ἕδρων, ἐς τὸν Θεσπεσίωνα εἶδον πάντες οἷον ἑστιάτορα τοῦ λόγου, ὁ δὲ ἤρξατο ἐνθένδε· „τὴν Πυθὼ καὶ τὴν Ὀλυμπίαν ἐπεσκέφθαι σέ φασιν, Ἀπολλώνιε, τουτὶ γὰρ ἀπήγγειλεν ἐνταῦθα καὶ Στρατοκλῆς ὁ Φάριος ἐντετυχηκέναι σοι φάσκων ἐκεῖ, καὶ τὴν μὲν Πυθὼ τοὺς ἐς αὐτὴν ἥκοντας αὐλῷ τε παραπέμπειν καὶ ᾠδαῖς καὶ ψάλσει, κωμῳδίας τε καὶ τραγῳδίας ἀξιοῦν, εἶτα τὴν ἀγωνίαν παρέχειν τὴν γυμνὴν ὀψὲ τούτων, τὴν δὲ Ὀλυμπίαν τὰ μὲν τοιαῦτα ἐξελεῖν 110
ὡς ἀνάρμοστα καὶ οὐ χρηστὰ ἐκεῖ, παρέχεσθαι δὲ τοῖς ἐς αὐτὴν ἰοῦσιν ἀθλητὰς γυμνούς, Ἡρακλέους ταῦτα ξυνθέντος· τοῦτο ἡγοῦ παρὰ τὴν Ἰνδῶν σοφίαν τὰ ἐνταῦθα· οἱ μὲν γάρ, ὥσπερ ἐς τὴν Πυθὼ καλοῦντες, ποικίλαις δημαγωγοῦσιν ἴυγξιν, ἡμεῖς δέ, ὥσπερ ἐν Ὀλυμπίᾳ, γυμνοί. οὐχ ὑποστρώννυσιν ἡ γῆ οὐδὲν ἐνταῦθα, οὐδὲ γάλα ὥσπερ βάκχαις ἢ

οἶνον δίδωσιν, οὐδὲ μετεώρους ἡμᾶς ὁ ἀὴρ φέρει, ἀλλ' αὐτὴν ὑπεστορεσμένοι τὴν γῆν ζῶμεν μετέχοντες αὐτῆς τὰ κατὰ φύσιν, ὡς χαίρουσα διδοίη αὐτὰ καὶ μὴ βασανίζοιτο ἄκουσα. ὅτι δ' οὐκ ἀδυνατοῦμεν σοφίζεσθαι „τὸ δεῖνα“ ἔφη „δένδρον,“ πτελέα δὲ 239 ἦν, τρίτον ἀπ' ἐκείνου, ὑφ' ᾧ διελέγοντο, „πρόσειπε τὸν σοφὸν Ἀπολλώνιον.“ καὶ προσεῖπε μὲν αὐτόν, ὡς ἐκελεύσθη, τὸ δένδρον, ἡ φωνὴ δὲ ἦν ἔναρθρός τε καὶ θῆλυς. ἀπεσήμαινε δὲ πρὸς τοὺς Ἰνδοὺς ταῦτα μεταστήσειν ἡγούμενος τὸν Ἀπολλώνιον τῆς ὑπὲρ αὐτῶν δόξης, ἐπειδὴ διῄει ἐς πάντας λόγους τε Ἰνδῶν καὶ ἔργα. προσετίθει δὲ κἀκεῖνα, ὡς ἀπόχρη τῷ σοφῷ βρώσεώς τε καθαρῷ εἶναι, ὁπόση ἔμπνους, ἱμέρου τε, ὃς φοιτᾷ δι' ὀμμάτων, φθόνου τε, ὃς διδάσκαλος ἀδίκων ἐπὶ χεῖρα καὶ γνώμην ἥκει, θαυμασιουργίας τε καὶ βιαίου τέχνης μὴ δεῖσθαι ἀλήθειαν. „σκέψαι γὰρ τὸν Ἀπόλλω“ εἶπε „τὸν Δελφικόν, ὃς τὰ μέσα τῆς Ἑλλάδος ἐπὶ προρρήσει λογίων ἔχει· ἐνταῦθα τοίνυν, ὥς που καὶ αὐτὸς γιγνώσκεις, ὁ μὲν τῆς ὀμφῆς δεόμενος ἐρωτᾷ βραχὺ ἐρώτημα, ὁ δὲ Ἀπόλλων οὐδὲν τερατευσάμενος λέγει, ὁπόσα οἶδε. καίτοι ῥᾴδιόν γε ἦν αὐτῷ σεῖσαι μὲν τὸν Παρνασὸν πάντα, τὴν Κασταλίαν δὲ οἰνοχοῆσαι μεταβαλόντι τὰς πηγάς, Κηφισῷ δὲ μὴ ξυγχωρῆσαι ποταμῷ εἶναι, ὁ δὲ οὐδὲν τούτων ἐπικομπάσας ἀναφαίνει τἀληθὲς αὐτό. ἡγώμεθα δὲ μηδὲ τὸν χρυσὸν ἢ τὰ δοκοῦντα λαμπρὰ τῶν ἀναθημάτων ἑκόντι αὐτῷ φοιτᾶν, μηδὲ τῷ νεῷ τὸν Ἀπόλλω χαίρειν, εἰ καὶ διπλάσιος ἀποφανθείη τοῦ νῦν ὄντος· ᾤκησε γάρ ποτε καὶ λιτὴν στέγην ὁ θεὸς οὗτος, καὶ καλύβη αὐτῷ ξυνεπλάσθη μικρά, ἐς ἣν ξυμβαλέσθαι λέγονται μέλιτται μὲν κηρόν, πτερὰ δὲ

ὄρνιθες. εὐτέλεια γὰρ διδάσκαλος μὲν σοφίας, δι-
δάσκαλος δὲ ἀληθείας, ἣν ἐπαινῶν σοφὸς ἀτεχνῶς
δόξεις ἐκλαθόμενος τῶν παρ' Ἰνδοῖς μύθων. τὸ γὰρ
πρᾶττε ἢ μὴ πρᾶττε, ἢ οἶδα ἢ οὐκ οἶδα, ἢ τὸ δεῖνα,
ἀλλὰ μὴ τὸ δεῖνα, τί δεῖται κτύπου; τί δὲ τοῦ βρον-
τᾶν, μᾶλλον δὲ τοῦ ἐμβεβροντῆσθαι; εἶδες ἐν ζω-
γραφίας λόγοις καὶ τὸν τοῦ Προδίκου Ἡρακλέα, ὡς
ἔφηβος μὲν ὁ Ἡρακλῆς, οὔπω δὲ ἐν αἱρέσει τοῦ βίου,
κακία δ' αὐτὸν καὶ ἀρετὴ διαλαβοῦσαι παρὰ σφᾶς
240 ἄγουσιν, ἡ μὲν χρυσῷ τε κατεσκευασμένη καὶ ὅρ-
μοις ἐσθῆτί τε ἁλιπορφύρῳ καὶ παρειᾶς ἄνθει καὶ
χαίτης ἀναπλοκαῖς καὶ γραφαῖς ὀμμάτων, ἔστι δ'
αὐτῇ καὶ χρυσοῦν πέδιλον, γέγραπται γὰρ καὶ τούτῳ
ἐνσοβοῦσα, ἡ δ' αὖ πεπονηκυίᾳ μὲν προσφερής,
τραχὺ δὲ ὁρῶσα, τὸν δὲ αὐχμὸν πεποιημένη κόσμημα
καὶ ἀνυπόδετος ἡ ἀρετὴ καὶ λιτὴ τὴν ἐσθῆτα, καὶ
γυμνὴ δ' ἂν ἐφαίνετο, εἰ μὴ ἐγίγνωσκε τὸ ἐν θη-
λείαις εὔσχημον. ἡγοῦ δὴ καὶ σεαυτόν, Ἀπολλώνιε,
μέσον τῆς Ἰνδικῆς τε καὶ τῆς ἡμεδαπῆς σοφίας ἑστά-
ναι, καὶ τῆς μὲν ἀκούειν λεγούσης, ὡς ὑποστορέσει
σοι ἄνθη καθεύδοντι, καί, νὴ Δί', ὡς ποτιεῖ γά-
λακτι καὶ ὡς κηρίοις θρέψει, καὶ ὡς νέκταρ σοί [τι]
παρ' αὐτῆς ἔσται καὶ πτερά, ὁπότε βούλοιο, τρίπο-
δάς τε ἐσκυκλήσει πίνοντι καὶ χρυσοῦς θρόνους,
καὶ πονήσεις οὐδέν, ἀλλ' αὐτόματά σοι βαδιεῖται
πάντα, τῆς δέ γε ἑτέρας, ὡς χαμευνεῖν μὲν ἐν αὐχμῷ
προσήκει, γυμνὸν δέ, ὥσπερ ἡμεῖς, μοχθοῦντα φαί-
νεσθαι, ὃ δὲ μὴ πονήσαντί σοι ἀφίκετο, μήτε φίλον
ἡγεῖσθαι μήτε ἡδύ, μηδὲ ἀλαζόνα εἶναι μηδὲ τύφου
θηρατήν, ἀπέχεσθαι δὲ καὶ ὀνειράτων ὄψεις, ὁπόσαι 111
ἀπὸ τῆς γῆς αἴρουσιν. εἰ μὲν δὴ κατὰ τὸν Ἡρακλέα
αἱροῖο καὶ δόξῃ ἀδαμαντίνῃ χρῷο μὴ ἀτιμάζων ἀλή-

θειαν, μηδὲ τὴν κατὰ φύσιν εὐτέλειαν παραιτούμενος πολλοὺς μὲν ᾑρηκέναι φήσεις λέοντας, πολλὰς δὲ ὕδρας ἐκτετμῆσθαί σοι Γηρυόνας τε καὶ Νέσσους καὶ ὁπόσοι ἐκείνου ἆθλοι, εἰ δὲ τὸ τῶν ἀγειρόντων ἀσπάσῃ, κολακεύσεις ὀφθαλμούς τε καὶ ὦτα καὶ οὔτε σοφώτερος ἑτέρου δόξεις γενήσῃ τε ἆθλος ἀνδρὸς Αἰγυπτίου Γυμνοῦ."

XI Ταῦτα εἰπόντος ἐστράφησαν ἐς τὸν Ἀπολλώνιον 241
πάντες, οἱ μὲν ἀμφ' αὐτόν, ὡς ἀντιλέξοι, γιγνώσκοντες, οἱ δὲ ἀμφὶ τὸν Θεσπεσίωνα θαυμάζοντες, ὅ τι ἀντερεῖ. ὁ δὲ ἐπαινέσας αὐτὸν τῆς εὐροίας καὶ τοῦ τόνου „μή τι" ἔφη „προστίθης;" „μὰ Δί'," εἶπεν „εἴρηκα γάρ." τοῦ δ' αὖ ἐρομένου „μὴ τῶν ἄλλων τις Αἰγυπτίων;" „πάντων" ἔφη „δι' ἐμοῦ ἤκουσας." ἐπισχὼν οὖν ὀλίγον καὶ τοὺς ὀφθαλμοὺς ἐρείσας ἐς τὰ εἰρημένα οὑτωσὶ ἔλεξεν· „ἡ μὲν Ἡρακλέους αἵρεσις, ἥν φησι Πρόδικος ἐν ἐφήβῳ ἑλέσθαι αὐτόν, ὑγιῶς τε ὑμῖν λέλεκται καὶ κατὰ τὸν φιλοσοφίας νοῦν, ὦ σοφοὶ Αἰγυπτίων, προσήκει δέ μοι οὐδέν· οὔτε γὰρ ξυμβούλους ὑμᾶς βίου ποιησόμενος ἥκω πάλαι γε ᾑρημένος τὸν ἐμαυτῷ δόξαντα, πρεσβύτατός τε ὑμῶν πλὴν Θεσπεσίωνος ἀφιγμένος αὐτὸς ἂν μᾶλλον εἰκότως ξυνεβούλευον ὑμῖν σοφίας αἵρεσιν, εἰ μήπω ᾑρημένοις ἐνέτυχον. ὢν δ' ὅμως τηλικόσδε καὶ σοφίας ἐπὶ τοσόνδε ἀφιγμένος οὐκ ὀκνήσω λογισταῖς ὑμῖν τῆς ἐμαυτοῦ βουλῆς χρήσασθαι διδάσκων, ὡς ὀρθῶς εἱλόμην ταῦτα, ὧν μήπω βελτίω ἐπὶ νοῦν ἦλθέ μοι. κατιδὼν γάρ τι ἐν Πυθαγόρου μέγα καὶ ὡς ὑπὸ σοφίας ἀρρήτου μὴ μόνον γιγνώσκοι ἑαυτόν, ὅστις εἴη, ἀλλὰ καὶ ὅστις γένοιτο, βωμῶν τε ὡς καθαρὸς ἅψαιτο καὶ ὡς ἀχράντῳ μὲν ἐμψύχου βρώσεως γαστρὶ χρήσαιτο, καθαρῷ δὲ σώ-

ματι πάντων ἐσθημάτων, ὁπόσα θνησειδίων ξύγκειται, γλῶττάν τε ὡς πρῶτος ἀνθρώπων ξυνέσχε βοῦν ἐπ' αὐτῇ σιωπῆς εὑρὼν δόγμα, καὶ τὴν ἄλλην φιλοσοφίαν ὡς χρησμῴδη καὶ ἀληθῆ κατεστήσατο, ἔδραμον ἐπὶ τὰς ἐκείνου δόξας, οὐ μίαν σοφίαν ἐκ δυοῖν ἑλόμενος, ὡς σύ, βέλτιστε Θεσπεσίων, ξυμβουλεύεις.
242 παραστήσασα γάρ μοι φιλοσοφία τὰς ἑαυτῆς δόξας, ὁπόσαι εἰσί, περιβαλοῦσά τε αὐταῖς κόσμον, ὃς ἑκάστῃ οἰκεῖος, ἐκέλευσεν ἐς αὐτὰς βλέπειν καὶ ὑγιῶς αἱρεῖσθαι· ὥρα μὲν οὖν σεμνή τε ἁπασῶν ἦν καὶ θεία, καὶ κατέμυσεν ἄν τις πρὸς ἐνίας αὐτῶν ὑπ' ἐκπλήξεως, ἐμοὶ δὲ εἱστήκει τὸ ὄμμα ἐς πάσας, καὶ γάρ με καὶ παρεθάρρυνον αὐταὶ προσαγόμεναί τε καὶ προκηρύττουσαι, ὁπόσα δώσουσιν. ἐπεὶ δ' ἡ μέν τις αὐτῶν οὐδὲν μοχθήσαντι πολὺν ἐπαντλήσειν ἔφασκεν ἡδονῶν ἑσμόν, ἡ δ' αὖ μοχθήσαντα ἀναπαύσειν, ἡ δ' ἐγκαταμίξειν εὐφροσύνας τῷ μόχθῳ, πανταχοῦ δὲ ἡδοναὶ διεφαίνοντο καὶ ἄνετοι μὲν ἡνίαι γαστρός, ἑτοίμη δὲ χεὶρ ἐς πλοῦτον, χαλινὸς δὲ οὐδεὶς ὀμμάτων, ἀλλ' ἔρωτές τε καὶ ἵμεροι καὶ τὰ τοιαῦτα πάθη ξυνεχωρεῖτο, μία δὲ αὐτῶν ἴσχειν μὲν τῶν τοιούτων ἐκόμπαζε, θρασεῖα δὲ ἦν καὶ φιλολοίδορος καὶ ἀπηγκωνισμένη πάντα, εἶδον σοφίας εἶδος 112
ἄρρητον, οὗ καὶ Πυθαγόρας ποτὲ ἡττήθη, καὶ εἱστήκει δὲ ἄρα οὐκ ἐν ταῖς πολλαῖς, ἀλλ' ἀπετέτακτο αὐτῶν καὶ ἐσιώπα, ξυνεῖσα δέ, ὡς ταῖς μὲν ἄλλαις οὐ ξυντίθεμαι, τὰ δὲ ἐκείνης οὔπω οἶδα „μειράκιον,“ εἶπεν, „ἀηδὴς ἐγὼ καὶ μεστὴ πόνων· εἰ γάρ ἀφίκοιτό τις ἐς ἤθη τὰ ἐμά, τράπεζαν μέν, ὁπόση ἐμψύχων, ἀνῃρῆσθαι πᾶσαν (ἂν) ἕλοιτο, οἴνου δὲ ἐκλελῆσθαι καὶ τὸν σοφίας μὴ ἐπιθολοῦν κρατῆρα, ὃς ἐν ταῖς ἀοίνοις ψυχαῖς ἕστηκεν, οὐδὲ χλαῖνα

θάλψει αὐτόν, οὐδὲ ἔριον, ὃ ἀπ' ἐμψύχου ἐπέχθη, ὑπόδημα δὲ αὐτοῖς βύβλου δίδωμι καὶ καθεύδειν ὡς ἔτυχε, κἂν ἀφροδισίων ἡττηθέντας αἴσθωμαι, βάραθρά ἐστί μοι, καθ' ὧν σοφίας ὀπαδὸς δίκη φέρει τε αὐτοὺς καὶ ὠθεῖ, χαλεπὴ δ' οὕτως ἐγὼ τοῖς τἀμὰ αἱρουμένοις, ὡς καὶ δεσμὰ γλώττης ἐπ' αὐτοὺς ἔχειν. 243
ἃ δ' ἐστί σοι καρτερήσαντι ταῦτα, ἐμοῦ μάθε· σωφροσύνη μὲν καὶ δικαιοσύνη αὐτόθεν, ζηλωτὸν δὲ ἡγεῖσθαι μηδένα τυράννοις τε φοβερὸν εἶναι μᾶλλον ἢ ὑπ' αὐτοῖς κεῖσθαι, θεοῖς τε ἡδίω φαίνεσθαι μικρὰ θύσαντα ἢ οἱ προχέοντες αὐτοῖς τὸ τῶν ταύρων αἷμα, καθαρῷ δὲ ὄντι σοι καὶ προγιγνώσκειν δώσω καὶ τοὺς ὀφθαλμοὺς οὕτω τι ἐμπλήσω ἀκτῖνος, ὡς διαγιγνώσκειν μὲν θεόν, γιγνώσκειν δὲ ἥρωα, σκιοειδῆ δ' ἐλέγχειν φαντάσματα, ὅτε ψεύδοιντο εἴδη ἀνθρώπων.“ ἥδε μοι βίου αἵρεσις, ὦ σοφοὶ Αἰγυπτίων, ἣν ὑγιῶς τε καὶ κατὰ τὸν Πυθαγόραν ἑλόμενος οὔτε ἐψευσάμην οὔτε ἐψεύσθην, ἐγενόμην μὲν γὰρ ἃ χρὴ τὸν φιλοσοφήσαντα, φιλοσοφοῦντι δὲ ὁπόσα δώσειν ἔφη, πάντ' ἔχω. ἐφιλοσόφησα γὰρ ὑπὲρ γενέσεως τῆς τέχνης καὶ ὁπόθεν αὐτῆς αἱ ἀρχαί, καί μοι ἔδοξεν ἀνδρῶν εἶναι περιττῶν τὰ θεῖα ψυχήν τε ἄριστα ἐσκεμμένων, ἧς τὸ ἀθάνατόν τε καὶ ἀγέννητον πηγαὶ γενέσεως. Ἀθηναίοις μὲν οὖν οὐ πάνυ προσήκων ἐφαίνετό μοι ὅδε ὁ λόγος, τὸν γὰρ Πλάτωνος λόγον, ὃν θεσπεσίως ἐκεῖ καὶ πανσόφως ὑπὲρ ψυχῆς ἀνεφθέγξατο, αὐτοὶ διέβαλλον ἐναντίας ταύτῃ καὶ οὐκ ἀληθεῖς δόξας ὑπὲρ ψυχῆς προσέμενοι, ἔδει δὲ σκοπεῖν, τίς μὲν εἴη πόλις, ποίων δὲ ἀνδρῶν ἔθνος, παρ' οἷς οὐχ ὁ μέν τις, ὁ δὲ οὔ, πᾶσα δὲ ἡλικία ταὐτὸν ὑπὲρ ψυχῆς φθέγγοιτο· κἀγὼ μὲν νεότητός τε οὕτως ἀγούσης καὶ τοῦ μήπω

ξυνιέναι πρὸς ὑμᾶς ἔβλεψα, ἐπειδὴ πλεῖστα ἐλέγεσθε ὑπερφυῶς εἰδέναι, καὶ πρὸς τὸν διδάσκαλον τὸν
244 ἐμαυτοῦ διῄειν ταῦτα, ὁ δὲ ἐφιστάς με „εἰ τῶν ἐρώντων“ εἶπεν „ἐτύγχανες ὢν ἢ τὴν ἡλικίαν ἐχόντων τοῦ ἐρᾶν, εἶτα μειρακίῳ καλῷ ἐντυχὼν καὶ ἀγασθεὶς αὐτὸ τῆς ὥρας σὺ δὲ καὶ ὅτου εἴη παῖς ἐζήτεις, ἦν δὲ ὁ μὲν ἱπποτρόφου καὶ στρατηγοῦ πατρὸς καὶ χορηγοὶ οἱ πάπποι, σὺ δ' αὐτὸν τριηράρχου τινὸς ἢ φυλάρχου ἐκάλεις, ἆρά γ' ἂν οἴει προσάγεσθαι τὰ παιδικὰ τούτοις, ἢ κἂν ἀηδὴς δόξαι μὴ πατρόθεν ὀνομάζων τὸ μειράκιον, ἀλλ' ἀπ' ἐκφύλου σπορᾶς καὶ νόθου; σοφίας οὖν ἐρῶν, ἣν Ἰνδοὶ εὗρον, οὐκ ἀπὸ τῶν φύσει πατέρων ὀνομάζεις αὐτήν, ἀλλ' ἀπὸ τῶν θέσει καὶ δίδως τι μεῖζον Αἰγυπτίοις, ἢ εἰ πάλιν αὐτοῖς, ὥς αὐτοὶ ᾄδουσι, μέλιτι ξυγκεκραμένος ἀναβαίη ὁ Νεῖλος; ταῦτά με πρὸ ὑμῶν ἐπ' Ἰνδοὺς ἔτρεψεν ἐνθυμηθέντα περὶ αὐτῶν, ὡς λεπτότεροι μὲν τὴν ξύνεσιν οἱ τοιοίδε ἄνθρωποι καθαρωτέραις ὁμιλοῦντες ἀκτῖσιν, ἀληθέστεροι δὲ τὰς περὶ φύσεώς
τε καὶ θεῶν δόξας, ἅτε ἀγχίθεοι καὶ πρὸς ἀρχαῖς 113
τῆς ζῳογόνου καὶ θερμῆς οὐσίας οἰκοῦντες· ἐντυχών τε αὐτοῖς ἔπαθόν τι πρὸς τὴν ἐπαγγελίαν τῶν ἀνδρῶν, ὁποῖον λέγονται πρὸς τὴν Αἰσχύλου σοφίαν παθεῖν Ἀθηναῖοι· ποιητὴς μὲν γὰρ οὗτος τραγῳδίας ἐγένετο, τὴν τέχνην δὲ ὁρῶν ἀκατάσκευόν τε καὶ μήπω κεκοσμημένην εἰ μὲν ξυνέστειλε τοὺς χοροὺς ἀποτάδην ὄντας, ἢ τὰς τῶν ὑποκριτῶν ἀντιλέξεις εὗρε παραιτησάμενος τὸ τῶν μονῳδιῶν μῆκος, ἢ τὸ ὑπὸ σκηνῆς ἀποθνῄσκειν ἐπενόησεν, ὡς μὴ ἐν φανερῷ σφάττοι, σοφίας μὲν μηδὲ ταῦτα ἀπηλλάχθω, δοκείτω δὲ κἂν ἑτέρῳ παρασχεῖν ἔννοιαν ἧττον δεξιῷ τὴν ποίησιν, ὁ δ' ἐνθυμηθεὶς μὲν ἑαυτόν, ὡς ἐπάξιον

τοῦ τραγῳδίαν ποιεῖν φθέγγοιτο, ἐνθυμηθεὶς δὲ 245
καὶ τὴν τέχνην, ὡς προσφυᾶ τῷ μεγαλείῳ μᾶλλον ἢ τῷ καταβεβλημένῳ τε καὶ ὑπὸ πόδα, σκευοποιίας μὲν ἥψατο εἰκασμένης τοῖς τῶν ἡρώων εἴδεσιν, ὀκρίβαντος δὲ τοὺς ὑποκριτὰς ἐνεβίβασεν, ὡς ἴσα ἐκείνοις βαίνοιεν, ἐσθήμασί τε πρῶτος ἐκόσμησεν, ἃ πρόσφορον ἥρωσί τε καὶ ἡρωίσιν ἠσθῆσθαι, ὅθεν Ἀθηναῖοι πατέρα μὲν αὐτὸν τῆς τραγῳδίας ἡγοῦντο, ἐκάλουν δὲ καὶ τεθνεῶτα ἐς Διονύσια, τὰ γὰρ τοῦ Αἰσχύλου ψηφισαμένων ἀνεδιδάσκετο καὶ ἐνίκα ἐκ καινῆς· καίτοι τραγῳδίας μὲν εὖ κεκοσμημένης ὀλίγη χάρις, εὐφραίνει γὰρ ἐν σμικρῷ τῆς ἡμέρας, ὥσπερ ἡ τῶν Διονυσίων ὥρα, φιλοσοφίας δὲ ξυγκειμένης μέν, ὡς Πυθαγόρας ἐδικαίωσεν, ὑποθειαζούσης δέ, ὡς πρὸ Πυθαγόρου Ἰνδοί, οὐκ ἐς βραχὺν χρόνον ἡ χάρις, ἀλλ᾿ ἐς ἄπειρόν τε καὶ ἀριθμοῦ πλείω. οὐ δὴ ἀπεικός τι παθεῖν μοι δοκῶ φιλοσοφίας ἡττηθεὶς εὖ κεκοσμημένης, ἣν ἐς τὸ πρόσφορον Ἰνδοὶ στείλαντες ἐφ᾿ ὑψηλῆς τε καὶ θείας μηχανῆς ἐκκυκλοῦσιν· ὡς δὲ ἐν δίκῃ μὲν ἠγάσθην αὐτούς, ἐν δίκῃ δὲ ἡγοῦμαι σοφούς τε καὶ μακαρίους, ὥρα μανθάνειν· εἶδον ἄνδρας οἰκοῦντας ἐπὶ τῆς γῆς καὶ οὐκ ἐπ᾿ αὐτῆς καὶ ἀτειχίστως τετειχισμένους καὶ οὐδὲν κεκτημένους ἢ τὰ πάντων. εἰ δ᾿ αἰνιγμάτων ἅπτομαι, σοφία Πυθαγόρου ξυγχωρεῖ ταῦτα, παρέδωκε γὰρ καὶ τὸ αἰνίττειν διδάσκαλον εὑρὼν σιωπῆς λόγον· σοφίας δὲ ταύτης ἐγένεσθε μὲν καὶ αὐτοὶ Πυθαγόρᾳ ξύμβουλοι χρόνον, ὃν τὰ Ἰνδῶν ἐπῃνεῖτε, Ἰνδοὶ τὸ ἀρχαῖον πάλαι ὄντες· ἐπεὶ δ᾿ αἰδοῖ τοῦ 246
λόγου, δι᾿ ὃν ἐκ μηνιμάτων τῆς γῆς ἀφίκεσθε δεῦρο, ἕτεροι μᾶλλον ἐβούλεσθε δοκεῖν ἢ Αἰθίοπες οἱ ἀπὸ Ἰνδῶν ἥκοντες, πάντα ὑμῖν ἐς τοῦτο ἐδρᾶτο· ὅθεν

ἐγυμνώθητε μὲν σκευῆς, ὁπόση ἐκεῖθεν, ὥσπερ ξυν-
αποδυόμενοι τὸ Αἰθίοπες εἶναι, θεοὺς δὲ θεραπεύειν
ἐψηφίσασθε τὸν Αἰγύπτιον μᾶλλον ἢ τὸν ὑμέτερον
τρόπον, ἐς λόγους τε οὐκ ἐπιτηδείους ὑπὲρ Ἰνδῶν
κατέστητε, ὥσπερ οὐκ αὐτοὶ διαβεβλημένοι τῷ ἀφ'
οἵων διαβεβλῆσθαι ἥκειν, καὶ οὐδὲ μετερρύθμισθέ
πώ γε τοῦτο, οἵ καὶ τήμερον ἐπίδειξιν αὐτοῦ πεποίη-
σθε φιλολοίδορόν τε καὶ ἰαμβώδη, χρηστὸν οὐδὲν
ἐπιτηδεύειν Ἰνδοὺς φάσκοντες, ἀλλ' ἢ ἐκπλήξεις καὶ
ἀγωγάς, καὶ τὰς μὲν ὀφθαλμῶν, τὰς δὲ ὤτων, σο-
φίαν δὲ οὔπω ἐμὴν εἰδότες ἀναίσθητοι φαίνεσθε τῆς
ἐπ' αὐτῇ δόξης, ἐγὼ δ' ὑπὲρ ἐμαυτοῦ μὲν λέξω
οὐδέν, εἴην γάρ, ὅ με Ἰνδοὶ ἡγοῦνται, Ἰνδῶν δὲ οὐ
ξυγχωρῶ ἅπτεσθαι. ἀλλ' εἰ μέν τις ὑγιῶς καὶ ὑμᾶς
ἔχει σοφία Ἱμεραίου ἀνδρός, ὃς ᾄδων ἐς τὴν Ἑλένην
ἐναντίον τῷ προτέρῳ λόγῳ παλινῳδίαν αὐτὸν ἐκά- 114
λεσεν οὐκ ἔστιν ἔτυμος ὁ λόγος οὗτος ἤδη
καὶ αὐτοὺς ὥρα λέγειν, ἀμείνω τῆς νῦν παρεστη-
κυίας μεταλαβόντας περὶ αὐτῶν δόξαν. εἰ δὲ καὶ
ἄμουσοι πρὸς παλινῳδίαν ὑμεῖς, ἀλλὰ φείδεσθαί γε
χρὴ ἀνδρῶν, οὓς ἀξιοῦντες θεοὶ τῶν αὐτοῖς ὄντων
οὐδὲ ἑαυτοὺς ἀπαξιοῦσιν ὧν ἐκεῖνοι πέπανται. διῆλ-
247 θές τινα, Θεσπεσίων, καὶ περὶ τῆς Πυθοῦς λόγον
ὡς ἁπλῶς τε καὶ ἀκατασκεύως χρώσης, καὶ παρά-
δειγμα ἐγένετό σοι τοῦ λόγου νεὼς κηροῦ καὶ πτε-
ρῶν ξυντεθείς· ἐμοὶ δὲ ἀκατάσκευα μὲν δοκεῖ οὐδὲ
ταῦτα, τὸ γὰρ

ξυμφέρετε πτερά τ' οἰωνοὶ κηρόν τε μέλιτται

κατασκευαζομένου ἦν οἶκον καὶ οἴκου σχῆμα, ὁ δ',
οἶμαι, μικρὰ ταῦτα ἡγούμενος καὶ τῆς ἑαυτοῦ σο-
φίας ἥττω καὶ ἄλλου ἐδεήθη νεὼ καὶ ἄλλου καὶ με-
γάλων ἤδη καὶ ἑκατομπέδων, ἑνὸς δὲ αὐτῶν καὶ

φόρως ᾀσομένους αὐτὸν ἀπὸ γῆς αἴρεσθαι καὶ ξυμμετεωροπολεῖν τῷ θεῷ· τοῦτο δὲ βούλονται μὲν πάντες, δύνανται δὲ Ἰνδοὶ μόνοι."

XII Ἀναπνεῦσαι ὁ Δάμις ἑαυτόν φησιν, ἐπειδὴ ταῦτα ἤκουσεν· ὑπὸ γὰρ τῶν τοῦ Ἀπολλωνίου λόγων οὕτω διατεθῆναι τοὺς Αἰγυπτίους, ὡς τὸν Θεσπεσίωνα μὲν καίτοι μέλανα ὄντα κατάδηλον εἶναι, ὅτι ἐρυθριῴη, φαίνεσθαι δέ τινα καὶ περὶ τοὺς λοιποὺς ἔκπληξιν ἐφ' οἷς ἐρρωμένως τε καὶ ξὺν εὐροίᾳ διαλε- 250
γομένου ἤκουσαν, τὸν νεώτατον δὲ τῶν Αἰγυπτίων, ᾧ ὄνομα ἦν Νεῖλος, καὶ ἀναπηδῆσαί φησιν ὑπὸ θαύματος μεταστάντα τε πρὸς τὸν Ἀπολλώνιον ξυμβαλεῖν τε αὐτῷ τὴν χεῖρα καὶ δεῖσθαι αὐτοῦ τὰς ξυνουσίας, αἳ ἐγένοντο αὐτῷ πρὸς τοὺς Ἰνδούς, φράζειν. τὸν δὲ Ἀπολλώνιον „σοὶ μὲν οὐδενὸς ἂν" φάναι, „βασκήναιμι ἐγὼ λόγου φιληκόῳ τε, ὡς ὁρῶ, τυγχάνοντι καὶ σοφίαν ἀσπαζομένῳ πᾶσαν." Θεσπεσίωνι δὲ καὶ εἴ τις ἕτερος λῆρον τὰ Ἰνδῶν ἡγεῖται, μὴ ἂν ἐπαντλῆσαι τοὺς ἐκεῖθεν λόγους· ὅθεν ὁ Θεσπεσίων „εἰ δὲ ἔμπορος" εἶπεν „ἢ ναύκληρος ἦσθα καί τινα ἡμῖν ἀπῆγες ἐκεῖθεν φόρτον, ἆρα ἂν ἠξίους, ἐπειδὴ ἀπ' Ἰνδῶν οὗτος, ἀδοκίμαστον αὐτὸν διατίθεσθαι καὶ μήτε γεῦμα παρέχειν αὐτοῦ μήτε δεῖγμα;" ὑπολαβὼν δὲ ὁ Ἀπολλώνιος „παρειχόμην ἂν" εἶπε τοῖς γε χρῄζουσιν, εἰ δ' ἥκων τις ἐπὶ τὴν θάλατταν καταπεπλευκυίας ἄρτι τῆς νεὼς ἐλοιδορεῖτο τῷ φόρτῳ καὶ διέβαλλε μὲν αὐτὸν ὡς ἥκοντα ἐκ γῆς, ἣ μηδὲν ὑγιὲς φέρει, ἐμοὶ δὲ ἐπέπληττεν ὡς οὐχ ὑπὲρ σπουδαίων ἀγωγίμων πλεύσαντι τούς τε ἄλλους ἔπειθεν οὕτω φρονεῖν, ἆρ' ἄν σοι δοκεῖ τις καταπλεύσας ἐς τοιόνδε λιμένα βαλέσθαι τινὰ ἄγκυραν ἢ πεῖσμα, ἀλλ' οὐχὶ μᾶλλον ἀνασείσας τὰ ἱστία

μετεωρίσαι ἂν τὴν ναῦν ἐς τὸ πέλαγος ἀνέμοις ἐπι-
τρέψας τὰ ἑαυτοῦ ἥδιόν γε ἢ ἀκρίτοις τε καὶ ἀξένοις
ἤθεσιν;“ „ἀλλ᾽ ἐγὼ“ ἔφη ὁ Νεῖλος „λαμβάνομαι
τῶν πεισμάτων καὶ ἀντιβολῶ σε, ναύκληρε, κοινωνῆ-
σαί μοι τῆς ἐμπορίας, ἣν ἄγεις, καὶ ξυνεμβαίην ἂν
σοι τὴν ναῦν περίνεώς τε καὶ μνήμων τοῦ σοῦ φόρ-
του.“ διαπαῦσαι δὲ ὁ Θεσπεσίων (ζητῶν) τὰ τοι- XIII
αῦτα „χαίρω“ ἔφη „Ἀπολλώνιε, ὅτι ἄχθῃ ὑπὲρ ὧν
ἤκουσας· καὶ γὰρ ἂν καὶ ἡμῖν ξυγγιγνώσκοις ἀχθο-
μένοις ὑπὲρ ὧν διέβαλες τὴν δεῦρο σοφίαν, οὐδὲ ἐς 116
πεῖράν πω αὐτῆς ἀφιγμένος.“ ὁ δ᾽ ἐκπλαγεὶς μὲν
ὑπὸ τοῦ λόγου πρὸς βραχὺ τῷ μηδ᾽ ἀκηκοέναι πω
τὰ περὶ τὸν Θρασύβουλόν τε καὶ τὸν Εὐφράτην,
251 ξυμβαλὼν δ᾽, ὥσπερ εἰώθει, τὸ γεγονὸς „Ἰνδοὶ
δέ“, εἶπεν „ὦ Θεσπεσίων, οὐκ ἂν τοῦτο ἔπαθον,
οὐδ᾽ ἂν προσέσχον Εὐφράτῃ καθιέντι ταῦτα, σοφοὶ
γὰρ προγιγνώσκειν. ἐγὼ δὲ ἴδιον μὲν ἐμαυτοῦ πρὸς
Εὐφράτην διηνέχθην οὐδέν, χρημάτων δὲ ἀπάγων
αὐτὸν καὶ τοῦ μὴ ἐπαινεῖν τὸ ἐξ ἅπαντος κέρδος
οὔτ᾽ ἐπιτήδεια ξυμβουλεύειν ἔδοξα οὔτε ἐκείνῳ δυ-
νατά, καὶ ἔλεγχον δὲ ἡγεῖται ταῦτα καὶ οὐκ ἀνίησιν
ἀεί τι κατ᾽ ἐμοῦ ξυντιθείς. ἐπεὶ δὲ πιθανὸς ὑμῖν
ἔδοξε τοὐμὸν διαβάλλειν ἦθος, ἐνθυμεῖσθε, ὡς προ-
τέρους ὑμᾶς ἐμοῦ διέβαλεν· ἐμοὶ γὰρ κίνδυνοι μὲν
καὶ περὶ τὸν διαβεβλησόμενον οὐ σμικροὶ φαίνονται,
μισήσεται γάρ που ἀδικῶν οὐδέν, ἐλεύθεροι δὲ κιν-
δύνων οὐδ᾽ οἱ τῶν διαβολῶν ἀκροασόμενοι δοκοῦσιν,
εἰ πρῶτον μὲν ἁλώσονται ψευδολογίαν τιμῶντες καὶ
ἀξιοῦντες αὐτὴν ὧνπερ τὴν ἀλήθειαν, εἶτα κουφό-
τητα καὶ εὐαγωγίαν — ἡττᾶσθαι δὲ τούτων καὶ μει-
ρακίῳ αἰσχρόν — φθονεροί τε δόξουσι διδάσκαλον
ἀκοῆς ἀδίκου ποιούμενοι τὸν φθόνον, αὐτοί τε μᾶλ-

λον ἔνοχοι ταῖς διαβολαῖς, ἃς ἐφ' ἑτέρων ἀληθεῖς ἡγοῦνται, αἱ γὰρ τῶν ἀνθρώπων φύσεις ἑτοιμότεραι δρᾶν, ἃ μὴ ἀπιστοῦσι. μὴ τυραννεύσειεν ἀνὴρ ἕτοιμος ταῦτα, μηδὲ προσταίη δήμου, τυραννὶς γὰρ καὶ ἡ δημοκρατία ὑπ' αὐτοῦ ἔσται, μηδὲ δικάσειεν, ὑπὲρ μηδενὸς γὰρ γνώσεται, μηδὲ ναυκληρήσειεν, ἡ γὰρ ναῦς στασιάσει, μηδὲ ἄρξειε στρατοῦ, τὸ γὰρ ἀντίξοον εὖ πράξει, μηδὲ φιλοσοφήσειεν οὕτως ἔχων, οὐ γὰρ πρὸς τἀληθὲς δοξάσει. ὑμᾶς δὲ Εὐφράτης ἀφῄρηται καὶ τὸ σοφοὺς εἶναι, οὓς γὰρ ψεύδει ὑπηγάγετο, πῶς ἂν οὗτοι σοφίας αὑτοὺς ἀξιώσειαν, ἧς ἀπέστησαν τῷ τὰ μὴ πιθανὰ πείσαντι;" διαπραΰνων δ' αὐτὸν ὁ Θεσπεσίων „ἅλις Εὐφράτου" ἔφη „καὶ μικροψύχων λόγων, καὶ γὰρ ἂν καὶ διαλλακταὶ γενοίμεθά σοι τε κἀκείνῳ, σοφὸν ἡγούμενοι καὶ τὸ διαιτᾶν σοφοῖς. πρὸς δὲ ὑμᾶς," εἶπε „τίς διαλλάξει 252 με; χρὴ γάρ που καταψευσθέντα ἐκπεπολεμῶσθαι ὑπὲρ τοῦ ψεύδους." *** „ἐχέτω οὕτως" ἦ δ' ὁ Ἀπολλώνιος „καὶ σπουδῆς ἁπτώμεθα, τουτὶ γὰρ

XIV ἡμᾶς διαλλάξει μᾶλλον." ἐρῶν δὲ ὁ Νεῖλος τῆς ἀκροάσεως τοῦ ἀνδρὸς „καὶ μὴν σὲ" ἔφη „προσήκει ἄρξαι τοῦ σπουδάσαι, διελθόντα ἡμῖν τήν τε ἀποδημίαν τὴν γενομένην σοι ἐς τὸ Ἰνδῶν ἔθνος τάς τε ἐκεῖ σπουδάς, ἃς ὑπὲρ λαμπρῶν δήπου ἐποιεῖσθε." „ἐγὼ δὲ" ἔφη ὁ Θεσπεσίων „καὶ περὶ τῆς Φραώτου σοφίας ἀκοῦσαι ποθῶ, λέγεσθε γὰρ καὶ τῶν ἐκείνου λόγων ἀγάλματα ἀπὸ Ἰνδῶν ἄγειν." ὁ μὲν δὴ Ἀπολλώνιος ἀρχὴν τοῦ λόγου τὰ ἐν Βαβυλῶνι ποιησάμενος διῄει πάντα, οἱ δὲ ἄσμενοι ἠκροῶντο ὑποκείμενοι τῷ λόγῳ. μεσημβρία δ' ὡς ἐγένετο, διέλυσαν τὴν σπουδήν, τὸν γὰρ καιρὸν τοῦτον καὶ οἱ Γυμνοὶ πρὸς ἱεροῖς γίγνονται.

Δειπνοῦντι δὲ τῷ Ἀπολλωνίῳ καὶ τοῖς ἀμφ' XV
αὐτὸν ὁ Νεῖλος ἐφίσταται λαχάνοις ἅμα καὶ ἄρτοις
καὶ τραγήμασι, τὰ μὲν αὐτὸς φέρων, τὰ δὲ ἕτεροι,
καὶ μάλα ἀστείως „οἱ σοφοὶ" ἔφη „ξένια πέμπουσιν
ὑμῖν τε κἀμοὶ ταῦτα, κἀγὼ γὰρ ξυσσιτήσω ὑμῖν οὐκ
ἄκλητος, ὥς φασιν, ἀλλ' ἐμαυτὸν καλῶν." „ἡδὺ"
εἶπεν ὁ Ἀπολλώνιος „ἀπάγεις, ὦ νεανία, ξένιον,
σεαυτόν τε καὶ τὸ σεαυτοῦ ἦθος, ὃς ἀδόλως μὲν φι-
λοσοφοῦντι ἔοικας, ἀσπαζομένῳ δὲ τὰ Ἰνδῶν τε καὶ
Πυθαγόρου. κατακλίνου δὴ ἐνταῦθα καὶ ξυσσίτει." 117
„κατάκειμαι," ἔφη „σιτία δὲ οὐκ ἔσται σοι τοσαῦτα,
ὡς ἐμπλῆσαί με." „ἔοικας" εἶπεν „εὔσιτος εἶναι
καὶ δεινὸς φαγεῖν." „δεινότατος μὲν οὖν," ἔφη „ὃς
γὰρ τοσαύτην καὶ οὕτω λαμπρὰν δαῖτά σου παρα-
θέντος οὔπω ἐμπέπλησμαι, διαλιπὼν δὲ ὀλίγον πάλιν
ἐπισιτιούμενος ἥκω, τί φήσεις ἀλλ' ἢ ἀκόρεστόν τε
εἶναί με καὶ δεινῶς γάστριν;" „ἐμπίπλασο," εἶπεν
„ἀφορμαὶ δ', ὁπόσαι λόγων, τὰς μὲν αὐτὸς παραδί-
253 δου, τὰς δὲ ἐγὼ δώσω." ἐπεὶ δ' ἐδείπνησαν, „ἐγὼ" XVI
ἦ δ' ὁ Νεῖλος „τὸν μὲν ἄλλον χρόνον ἐστρατευόμην
ὁμοῦ τοῖς Γυμνοῖς οἷον ψιλοῖς τισιν ἢ σφενδονήταις
ἐκείνοις ἐμαυτὸν ξυντάττων, νυνὶ δὲ ὁπλιτεύσω καὶ
κοσμήσει με ἡ ἀσπὶς ἡ σή." „ἀλλ' οἶμαί σε," εἶπεν
„Αἰγύπτιε, παρὰ Θεσπεσίωνί τε καὶ τοῖς ἄλλοις ἕξειν
αἰτίαν, ἐφ' οἷς οὐδὲ ἐς ἔλεγχον ἡμῶν καταστὰς
πλείω σὺ δ' ἑτοιμότερον ἢ ξυγχωρεῖ βίου αἵρεσις ἐς
τὰ ἡμέτερα ἤθη ἀφήσεις." „οἶμαι," ἔφη „εἰ δ' αἰτία
ἑλομένου ἔσται τις, τάχα καὶ μὴ ἑλομένου αἰτία, καὶ
ἁλώσονται μᾶλλον ἅπερ ἐγὼ ἑλόμενοι· τὸ γὰρ πρεσ-
βυτέρους ὁμοῦ καὶ σοφωτέρους ὄντας μὴ πάλαι ᾑρῆ-
σθαι, ἅπερ ἐγὼ νῦν, δικαίαν αἰτίαν κατ' ἐκείνων
ἔχοι ἂν μᾶλλον οὕτω πλεονεκτοῦντας μὴ ἐς τὸ βέλ-

τιον ἑλέσθαι, ὅ τι χρήσονται." „οὐκ ἀγεννῆ μέν, ὦ νεανίσκε, λόγον εἴρηκας· ὅρα δέ, μὴ αὐτῷ τῷ οὕτω μὲν σοφίας, οὕτω δὲ ἡλικίας ἔχειν ἐκεῖνά γε ὀρθῶς ᾑρημένοι φαίνονται ταῦτά τε ξὺν εἰκότι λόγῳ παραιτούμενοι, σύ τε θρασυτέρου λόγου δοκῇς ἅπτεσθαι καθιστὰς μᾶλλον αὐτὸς ἢ ἐκείνοις ἑπόμενος." ὑποστρέψας δὲ ὁ Αἰγύπτιος παρὰ τὴν τοῦ Ἀπολλωνίου δόξαν „ἃ μὲν εἰκὸς ἦν" ἔφη „πρεσβυτέροις ὁμαρτεῖν νέον, οὐ παρεῖταί μοι, σοφίαν γὰρ ὁπότ' ᾤμην εἶναι περὶ τοὺς ἄνδρας, ἣν οὐκ ἄλλοις τισὶν ἀνθρώπων ὑπάρχειν, προσεποίησα ἐμαυτὸν τούτοις, πρόφασις δέ μοι τῆς ὁρμῆς ἥδε ἐγένετο· ἔπλευσέ ποτε ὁ πατὴρ ἐς τὴν Ἐρυθρὰν ἑκών, ἦρχε δὲ ἄρα τῆς νεώς, ἣν Αἰγύπτιοι στέλλουσιν ἐς τὸ Ἰνδῶν ἔθνος, ἐπιμίξας δὲ τοῖς ἐπὶ θαλάττῃ Ἰνδοῖς διεκόμισε λόγους περὶ τῶν ἐκείνῃ σοφῶν ἀγχοῦ τούτων, οὓς πρὸς ἡμᾶς διῆλθες· ἀκούων δὲ αὐτοῦ καὶ τοιουτονί τινα λόγον, ὡς σοφώτατοι μὲν ἀνθρώπων Ἰνδοί, ἄποικοι δὲ Ἰνδῶν Αἰθίοπες, πατρῴζουσι δὲ οὗτοι τὴν σο- 254
φίαν καὶ πρὸς τὰ οἴκοι βλέπουσι, μειράκιον γενόμενος τὰ μὲν πατρῷα τοῖς βουλομένοις ἀφῆκα, γυμνὸς δὲ Γυμνοῖς ἐπεφοίτησα τούτοις, ὡς μαθησόμενος τὰ Ἰνδῶν ἢ ἀδελφά γε ἐκείνων, καί μοι ἐφαίνοντο σοφοὶ μέν, οὐ μὴν ἐκεῖνα, ἐμοῦ δ' αὐτοὺς ἐρομένου, τοῦ χάριν οὐ τὰ Ἰνδῶν φιλοσοφοῦσιν, ἐκείνων μὲν ἐς διαβολὰς κατέστησαν παραπλησίως ταῖς πρὸς σὲ εἰρημέναις τήμερον, ἐμὲ δὲ νέον ἔτι, ὡς ὁρᾷς, ὄντα κατέλεξαν ἐς τὸ αὐτῶν κοινὸν δείσαντες, οἶμαι, μὴ ἀποπηδήσας αὐτῶν πλεύσαιμι ἐς τὴν Ἐρυθράν, ὥσπερ ποτὲ ὁ πατήρ, ὃ μὰ τοὺς θεοὺς οὐκ ἂν παρῆκα· προῆλθον γὰρ ἂν καὶ μέχρι τοῦ ὄχθου τῶν σοφῶν, εἰ μή σέ τις ἐνταῦθα θεῶν ἔστειλεν ἐμοί

ἀρωγόν, ὡς μήτε τὴν Ἐρυθρὰν πλεύσας μήτε πρὸς
τοὺς Κολπίτας παραβαλόμενος σοφίας Ἰνδικῆς γευ-
σαίμην οὐ τήμερον βίου ποιησόμενος αἵρεσιν, ἀλλὰ
πάλαι μὲν ᾑρημένος, ἃ δὲ ᾤμην ἕξειν, οὐκ ἔχων. τί
γὰρ δεινόν, εἰ ὁτουδὴ ἁμαρτών τις ἐπάνεισιν ἐφ' ὃ
ἐθήρευεν; εἰ δὲ κἀκείνους ἐς τουτὶ μεταβιβάζοιμι
καὶ γιγνοίμην αὐτοῖς ξύμβουλος ὧν ἐμαυτὸν πέπεικα,
τί ἄν, εἰπέ μοι, θρασὺ πράττοιμι; οὔτε γὰρ ἡ νεότης
ἀπελατέα τοῦ τι καὶ αὐτὴ βέλτιον ἐνθυμηθῆναι ἂν 118
τοῦ γήρως, σοφίας τε ὅστις ἑτέρῳ γίγνεται ξύμβου-
λος, ἣν αὐτὸς ᾕρηται, διαφεύγει δήπου τὸ μὴ οὐχ ἃ
πέπεισται πείθειν, τοῖς τε ἥκουσιν ἀγαθοῖς παρὰ
τῆς τύχης ὅστις ἀπολαβὼν αὐτὰ χρῆται μόνος, ἀδι-
κεῖ τἀγαθά, ἀφαιρεῖται γὰρ αὐτῶν τὸ πλείοσιν ἡδίω
φαίνεσθαι." τοιαῦτα εἴραντος τοῦ Νείλου καὶ οὕτω XVII
νεανικὰ ὑπολαβὼν ὁ Ἀπολλώνιος „ὑπὲρ μισθοῦ δὲ"
εἶπεν „οὐ διαλέξῃ μοι πρότερον σοφίας γε ἐρῶν τῆς
ἐμῆς;" „διαλεγώμεθα" ἦ δ' ὁ Νεῖλος „καὶ ὅ τι
βούλει, αἴτει." „αἰτῶ σε," εἶπεν „ἃ μὲν αὐτὸς εἵλου,
ᾑρῆσθαι, τοὺς δὲ Γυμνοὺς μὴ ἐνοχλεῖν ξυμβουλεύ-
255 οντα ἃ μὴ πείσεις." „πείσομαι" ἔφη „καὶ ὁμολο-
γείσθω ὁ μισθός." ταῦτα μὲν δὴ οὕτως ἐσπούδα-
σαν, ἐρομένου δ' αὐτὸν μετὰ ταῦτα τοῦ Νείλου,
πόσον χρόνου διατρίψοι περὶ τοὺς Γυμνούς, „ὁπό-
σου" ἔφη „χρόνου ἀξία ἡ τῶνδε σοφία τῷ ξυνεσο-
μένῳ σφίσιν, εἶτα ἐπὶ Καταδούπων τὴν ὁδὸν ποιη-
σόμεθα τῶν πηγῶν ἕνεκα, χαρίεν γὰρ τὸ μὴ μόνον
ἰδεῖν τὰς τοῦ Νείλου ἀρχάς, ἀλλὰ καὶ κελαδοῦντος
αὐτοῦ ἀκοῦσαι."

Ὧδε διαλεχθέντες καί τινων Ἰνδικῶν μνημονεύ- XVIII
σαντες ἐκάθευδον ἐν τῇ πόᾳ, ἅμα δὲ τῇ ἡμέρᾳ προσ-
ευξάμενοι τὰ εἰωθότα εἵποντο τῷ Νείλῳ παρὰ τὸν

Θεσπεσίωνα αὐτοὺς ἄγοντι· προσειπόντες οὖν ἀλλήλους καὶ ξυνιζήσαντες ἐν τῷ ἄλσει διαλέξεως ἥπτοντο, ἦρχε δ' αὐτῆς ὁ Ἀπολλώνιος· „ὡς μὲν γὰρ πολλοῦ“ ἔφη „ἄξιον τὸ μὴ κρύπτειν σοφίαν, δηλοῦσιν οἱ χθὲς λόγοι· διδαξαμένων γάρ με Ἰνδῶν, ὁπόσα τῆς ἐκείνων σοφίας ᾤμην προσήκειν ἐμοί, μέμνημαί τε τῶν ἐμαυτοῦ διδασκάλων καὶ περίειμι διδάσκων, ἃ ἐκείνων ἤκουσα, καὶ ὑμῖν δ' ἂν ἐν κέρδει γενοίμην, εἴ με καὶ τὴν ὑμετέραν σοφίαν εἰδότα πέμποιτε, οὐ γὰρ ἂν παυσαίμην Ἕλλησί τε διιὼν τὰ ὑμέτερα

XIX καὶ Ἰνδοῖς γράφων.“ „ἐρώτα,“ ἔφασαν „ἕπεται γάρ που ἐρωτήσει λόγος.“ καὶ ὁ Ἀπολλώνιος „περὶ θεῶν“ εἶπεν „ὑμᾶς ἐρήσομαι πρῶτον, τί μαθόντες ἄτοπα καὶ γελοῖα θεῶν εἴδη παραδεδώκατε τοῖς δεῦρο ἀνθρώποις πλὴν ὀλίγων· ὀλίγων γάρ; πάνυ μέντοι ὀλίγων, ἃ σοφῶς καὶ θεοειδῶς ἵδρυται, τὰ λοιπὰ δ' ὑμῶν ἱερὰ ζῴων ἀλόγων καὶ ἀδόξων τιμαὶ μᾶλλον ἢ θεῶν φαίνονται.“ δυσχεράνας δὲ ὁ Θεσπεσίων „τὰ δὲ παρ' ὑμῖν“ εἶπεν „ἀγάλματα πῶς ἱδρῦσθαι φήσεις;“ „ὥς γε“ ἔφη „κάλλιστόν τε καὶ θεοφιλέστατον δημιουργεῖν θεούς.“ „τὸν Δία που λέγεις“ εἶπε „τὸν ἐν τῇ Ὀλυμπίᾳ καὶ τὸ τῆς Ἀθηνᾶς 256
ἕδος καὶ τὸ τῆς Κνιδίας τε καὶ τὸ τῆς Ἀργείας καὶ ὁπόσα ὧδε καλὰ καὶ μεστὰ ὥρας.“ „οὐ μόνον“ ἔφη „ταῦτα, ἀλλὰ καὶ καθάπαξ τὴν μὲν παρὰ τοῖς ἄλλοις ἀγαλματοποιίαν ἅπτεσθαί φημι τοῦ προσήκοντος, ὑμᾶς δὲ καταγελᾶν τοῦ θείου μᾶλλον ἢ νομίζειν αὐτό.“ „οἱ Φειδίαι δὲ“ εἶπε „καὶ οἱ Πραξιτέλεις μῶν ἀνελθόντες ἐς οὐρανὸν καὶ ἀπομαξάμενοι τὰ τῶν θεῶν εἴδη τέχνην αὐτὰ ἐποιοῦντο, ἢ ἕτερόν τι ἦν, ὃ ἐφίστη αὐτοὺς τῷ πλάττειν;“ „ἕτερον“ ἔφη „καὶ μεστόν γε σοφίας πρᾶγμα.“ „ποῖον;“ εἶπεν

„οὐ γὰρ ἄν τι παρὰ τὴν μίμησιν εἴποις." „φαντασία" ἔφη „ταῦτα εἰργάσατο σοφωτέρα μιμήσεως δημιουργός· μίμησις μὲν γὰρ δημιουργήσει, ὃ εἶδεν, φαντασία δὲ καὶ ὃ μὴ εἶδεν, ὑποθήσεται γὰρ αὐτὸ πρὸς τὴν ἀναφορὰν τοῦ ὄντος, καὶ μίμησιν μὲν πολλάκις ἐκκρούει ἔκπληξις, φαντασίαν δὲ οὐδέν, χωρεῖ γὰρ ἀνέκπληκτος πρὸς ὃ αὐτὴ ὑπέθετο. δεῖ δέ που Διὸς μὲν ἐνθυμηθέντα εἶδος ὁρᾶν αὐτὸν ξὺν οὐρανῷ καὶ ὥραις καὶ ἄστροις, ὥσπερ ὁ Φειδίας τότε ὥρμησεν, Ἀθηνᾶν δὲ δημιουργήσειν μέλλοντα στρατόπεδα
ἐννοεῖν καὶ μῆτιν καὶ τέχνας καὶ ὡς Διὸς αὐτοῦ 119
ἀνέθορεν. εἰ δὲ ἱέρακα ἢ γλαῦκα ἢ λύκον ἢ κύνα ἐργασάμενος ἐς τὰ ἱερὰ φέροις ἀντὶ Ἑρμοῦ τε καὶ Ἀθηνᾶς καὶ Ἀπόλλωνος, τὰ μὲν θηρία καὶ τὰ ὄρνεα ζηλωτὰ δόξει τῶν εἰκόνων, οἱ δὲ θεοὶ παραπολὺ τῆς αὑτῶν δόξης ἑστήξουσιν." „ἔοικας" εἶπεν „ἀβα-
257 σανίστως ἐξετάζειν τὰ ἡμέτερα· σοφὸν γάρ, εἴπερ
τι Αἰγυπτίων, καὶ τὸ μὴ θρασύνεσθαι ἐς τὰ τῶν θεῶν εἴδη, ξυμβολικὰ δὲ αὐτὰ ποιεῖσθαι καὶ ὑπονοούμενα, καὶ γὰρ ἂν καὶ σεμνότερα οὕτω φαίνοιτο." γελάσας οὖν ὁ Ἀπολλώνιος „ὦ ἄνθρωποι," ἔφη „μεγάλα ὑμῖν ἀπολέλαυται τῆς Αἰγυπτίων τε καὶ Αἰθιόπων σοφίας, εἰ σεμνότερον ὑμῶν καὶ θεοειδέστερον κύων δόξει καὶ ἶβις καὶ τράγος, ταῦτα γὰρ Θεσπεσίωνος ἀκούω τοῦ σοφοῦ. σεμνὸν δὲ δὴ ἢ ἔμφοβον τί ἐν τούτοις; τοὺς γὰρ ἐπιόρκους καὶ τοὺς ἱεροσύλους καὶ τὰ βωμολόχα ἔθνη καταφρονεῖν τῶν τοιούτων ἱερῶν εἰκὸς μᾶλλον ἢ δεδιέναι αὐτά, εἰ δὲ σεμνότερα ταῦτα ὑπονοούμενα, πολλῷ σεμνότερον ἂν ἔπραττον οἱ θεοὶ κατ' Αἴγυπτον, εἰ μὴ ἵδρυτό τι αὐτῶν ἄγαλμα, ἀλλ' ἕτερον τρόπον σοφώτερόν τε καὶ ἀπορρητότερον τῇ θεολογίᾳ ἐχρῆσθε· ἦν γὰρ

που νεὼς μὲν αὐτοῖς ἐξοικοδομῆσαι καὶ βωμοὺς ὁρίζειν καὶ ἃ χρὴ θύειν καὶ ἃ μὴ χρὴ καὶ ὁπηνίκα καὶ ἐφ᾽ ὅσον καὶ ὅ τι λέγοντας ἢ δρῶντας, ἄγαλμα δὲ μὴ ἐσφέρειν, ἀλλὰ τὰ εἴδη τῶν θεῶν καταλείπειν τοῖς τὰ ἱερὰ ἐσφοιτῶσιν, ἀναγράφει γάρ τι ἡ γνώμη καὶ ἀνατυποῦται δημιουργίας κρεῖττον, ὑμεῖς δὲ ἀφῄρησθε τοὺς θεοὺς καὶ τὸ ὁρᾶσθαι καλῶς καὶ τὸ ὑπονοεῖσθαι.“ πρὸς ταῦτα ὁ Θεσπεσίων, „ἐγένετό τις“ ἔφη „Σωκράτης Ἀθηναῖος ἀνόητος, ὥσπερ ἡμεῖς, γέρων, ὃς τὸν κύνα καὶ τὸν χῆνα καὶ τὴν πλάτανον θεούς τε ἡγεῖτο καὶ ὤμνυ.“ „οὐκ ἀνόητος,“ εἶπεν „ἀλλὰ θεῖος καὶ ἀτεχνῶς σοφός, ὤμνυ γὰρ ταῦτα
XX οὐχ᾽ ὡς θεούς, ἀλλ᾽ ἵνα μὴ θεοὺς ὀμνύοι.“ μετὰ 258
ταῦτα ὁ Θεσπεσίων ὥσπερ μεθιστάμενος τουτουὶ τοῦ λόγου ἤρετο τὸν Ἀπολλώνιον περὶ τῆς Λακωνικῆς μάστιγος καὶ εἰ δημοσίᾳ οἱ Λακεδαιμόνιοι παίονται· „τὰς ἐξ ἀνθρώπων γε,“ εἶπεν „ὦ Θεσπεσίων, αὐτοὶ μάλιστα οἱ ἐλευθέριοί τε καὶ εὐδόκιμοι.“ „τοὺς δὲ οἰκέτας ἀδικοῦντας τί“ ἔφη „ἐργάζονται;“ οὐκέτ᾽ ἀποκτείνουσιν, εἶπεν „ὡς ξυνεχώρει ποτὲ ὁ Λυκοῦργος, ἀλλ᾽ ἡ αὐτὴ καὶ ἐπ᾽ ἐκείνους μάστιξ.“ „ἡ δὲ Ἑλλὰς πῶς“ ἔφη „περὶ αὐτῶν γιγνώσκει;“ „ξυνίασιν,“ εἶπεν „ὥσπερ ἐς τὰ Ὑακίνθια καὶ τὰς Γυμνοπαιδιάς, θεασόμενοι ξὺν ἡδονῇ τε καὶ ὁρμῇ πάσῃ.“ „εἶτ᾽ οὐκ αἰσχύνονται“ ἔφη „οἱ χρηστοὶ Ἕλληνες ἢ τοὺς αὑτῶν ποτε ἄρξαντας ὁρῶντες μαστιγουμένους ἐς τὸ κοινόν, ἢ ἀρχθέντες ὑπ᾽ ἀνθρώπων, οἳ μαστιγοῦνται δημοσίᾳ; σὺ δὲ πῶς οὐ διωρθώσω ταῦτα; φασὶ γάρ σε καὶ Λακεδαιμονίων ἐπιμεληθῆναι.“ „ἅ γε“ εἶπε „δυνατὸν διορθοῦσθαι, ξυνεβούλευον μὲν ἐγώ, προθύμως δ᾽ ἐκεῖνοι ἔπραττον, ἐλευθεριώτατοι μὲν γὰρ τῶν Ἑλλήνων εἰσί,

μόνοι δ' ὑπήκοοι τοῦ εὖ ξυμβουλεύοντος, τὸ δὲ τῶν μαστίγων ἔθος τῇ Ἀρτέμιδι τῇ ἀπὸ Σκυθῶν δρᾶται χρησμῶν, φασιν, ἐξηγουμένων ταῦτα· θεοῖς δ' ἀντινομεῖν μανία, οἶμαι.“ „οὐ σοφούς, Ἀπολλώνιε,“ ἔφη „τοὺς τῶν Ἑλλήνων θεοὺς εἴρηκας, εἰ μαστίγων ἐγίγνοντο ξύμβουλοι τοῖς τὴν ἐλευθερίαν ἀσκοῦσιν.“ „οὐ μαστίγων,“ εἶπεν „ἀλλὰ τοῦ αἵματι
259 ἀνθρώπων τὸν βωμὸν ῥαίνειν, ἐπειδὴ καὶ παρὰ Σκύθαις τούτων ἠξιοῦτο, σοφισάμενοι δὲ οἱ Λακεδαιμόνιοι τὸ ἀπαραίτητον τῆς θυσίας ἐπὶ τὸν τῆς καρτερίας ἀγῶνα ἥκουσιν, ἀφ' ἧς ἔστι μήτε ἀποθνήσκειν καὶ ἀπάρχεσθαι τῇ θεῷ τοῦ σφῶν αἵματος.“ „διὰ τί οὖν“ ἔφη „τοὺς ξένους οὐ καταθύουσι τῇ Ἀρτέμιδι, καθάπερ ἐδικαίουν ποτὲ οἱ Σκύθαι;“ 120
„ὅτι“ εἶπεν „οὐδενὶ Ἑλλήνων πρὸς τρόπου βάρβαρα ἐξασκεῖν ἤθη.“ „καὶ μὴν καὶ φιλανθρωπότεροι ἐδόκουν ἂν ἕνα που καὶ δύο θύοντες ἢ ξενηλασίᾳ χρώμενοι ἐς πάντας.“ „μὴ καθαπτώμεθα,“ εἶπεν „ὦ Θεσπεσίων, τοῦ Λυκούργου, χρὴ γὰρ ξυνιέναι τοῦ ἀνδρὸς καὶ ὅτι τὸ μὴ ἐνδιατρίβειν ἐᾶν τοὺς ξένους οὐκ ἀμιξίας αὐτῷ νοῦν εἶχεν, ἀλλὰ τοῦ ὑγιαίνειν τὰς ἐπιτηδεύσεις μὴ ἐνομιλούντων τῇ Σπάρτῃ τῶν ἔξωθεν.“ „ἐγὼ δὲ ἄνδρας“ ἔφη „Σπαρτιάτας ἡγούμην ἄν, οἷοι δοκεῖν ἀξιοῦσιν, εἰ συνδιαιτώμενοι τοῖς ξένοις μὴ μεθίσταντο τῶν οἴκοι, οὐ γὰρ τῷ απόντων, ἀλλὰ καὶ τῷ παρόντων ὁμοίους ὁρᾶσθαι ἔδει, οἶμαι, τὰς ἀρετὰς κτᾶσθαι. οἱ δὲ καίτοι ξενηλασίαις χρώμενοι διεφθάρησαν τὰς ἐπιτηδεύσεις καὶ οἷς μάλιστα τῶν Ἑλλήνων ἀπήχθοντο, τούτοις ὅμοια πράττειν ἔδοξαν. τὰ γοῦν περὶ τὴν θάλατταν καὶ αἱ μετὰ ταῦτα ἐπιτάξεις τῶν φόρων ἀττικώτερον αὐτοῖς
260 ἐβουλεύθη, καὶ ὑπὲρ ὧν πολεμητέα πρὸς Ἀθη-

ναίους ᾤοντο αὐτοῖς εἶναι, ταῦτ' ἐς τὸ καὶ αὐτοὶ δρᾶν κατέστησαν τὰ μὲν πολέμια τοὺς Ἀθηναίους νικῶντες, ὧν δὲ ἐκείνοις ἐπιτηδεύειν ἔδοξεν ἡττώμενοι. καὶ αὐτὸ δὲ τὸ τὴν ἐκ Ταύρων τε καὶ Σκυθῶν ἐσάγεσθαι δαίμονα ξένα ἦν νομιζόντων. εἰ δὲ χρησμῶν ταῦτα, τί ἔδει μάστιγος; τί δὲ καρτερίαν ἀνδραποδώδη πλάττεσθαι; λακωνικώτερον πρὸς θανάτου ῥώμην ἐκεῖνο ἦν, οἶμαι, Σπαρτιάτην ἔφηβον ἑκόντα ἐπὶ τοῦ βωμοῦ θύεσθαι. τουτὶ γὰρ (ἂν) τὴν μὲν Σπάρτην εὐψυχοτέρους ἐδείκνυε, τὴν δὲ Ἑλλάδα ἀπῆγε τοῦ μὴ ἐς ἀντίπαλα αὐτοῖς ἀντικαθίστασθαι. εἰ δὲ ἐς τὰ πολέμια φείδεσθαι τῶν νέων εἰκὸς ἦν, ἀλλ' ὅ γε νόμος ὁ παρὰ Σκύθαις ἐπὶ τοῖς ἑξηκοντούταις κείμενος οἰκειότερος ἦν Λακεδαιμονίοις ἐπιτηδεύειν ἢ Σκύθαις, εἰ τὸν θάνατον ἀτεχνῶς, ἀλλὰ μὴ κόμπου ἕνεκα ἐπαινοῦσι. ταῦτα οὐ πρὸς Λακεδαιμονίους εἴρηταί μοι, πρὸς δὲ σέ, Ἀπολλώνιε· εἰ γὰρ τὰ παλαιὰ νόμιμα καὶ πολιώτερα ἢ γιγνώσκειν αὐτὰ πικρῶς ἐξετάζοιμεν ἐς ἔλεγχον καθιστάμενοι τοῦ θείου, διότι αὐτοῖς χαίρουσι, πολλοὶ καὶ ἄτοποι λόγοι τῆς τοιᾶσδε φιλοσοφίας ἀναφύσονται, καὶ γὰρ ἂν καὶ τῆς Ἐλευσῖνι τελετῆς ἐπιλαβοίμεθα, διότι τό, ἀλλὰ μὴ τό, καὶ ὧν Σαμόθρᾳκες τελοῦσιν, ἐπεὶ μὴ τὸ δεῖνα, τὸ δεῖνα δὲ αὐτοῖς δρᾶται, καὶ Διονυσίων καὶ φαλλοῦ καὶ τοῦ ἐν Κυλλήνῃ εἴδους καὶ οὐκ ἂν φθάνοιμεν συκοφαντοῦντες πάντα. ἴωμεν οὖν ἐφ' ὅ τι βούλει ἕτερον, τιμῶντες καὶ τὸν Πυθαγόρου λόγον ἡμεδαπὸν ὄντα· καλὸν γάρ, εἰ καὶ μὴ περὶ πάντων, ἀλλ' ὑπέρ γε τῶν τοιούτων σιωπᾶν.“ ὑπολαβὼν δ' ὁ Ἀπολλώνιος „εἰ σπουδάσαι,“ εἶπεν „ὦ Θεσπεσίων, ἐβούλου τὸν λόγον, πολλὰ ἄν σοι καὶ γενναῖα ἔδοξεν ἡ Λακεδαίμων λέγειν ὑπὲρ

261 ὧν ὑγιῶς τε καὶ παρὰ πάντας ἐπιτηδεύει τοὺς Ἕλ-
ληνας, ἐπεὶ δὲ οὕτως ἀποσπουδάζεις αὐτόν, ὡς μηδὲ
ὅσιον ἡγεῖσθαι τὸ ὑπὲρ τοιούτων λέγειν, ἴωμεν ἐφ'
ἕτερον λόγον πολλοῦ ἄξιον, ὡς ἐμαυτὸν πείθω· περὶ
δικαιοσύνης γάρ τι ἐρήσομαι." „ἁπτώμεθα" ὁ Θε- XXI
σπεσίων ἔφη „τοῦ λόγου, προσήκων γὰρ σοφοῖς τε
καὶ μὴ σοφοῖς. ἀλλ' ἵνα μὴ τὰς Ἰνδῶν δόξας ἐνεί-
ροντες ξυγχέωμεν αὐτὸν καὶ ἀπέλθωμεν ἄπρακτοι
τοῦ λόγου, πρῶτον εἰπὲ τὰ περὶ δικαιοσύνης Ἰνδοῖς
δόξαντα, εἰκὸς γὰρ βεβασανίσθαι σοι ἐκεῖ ταῦτα,
κἂν μὲν ἡ δόξα ὀρθῶς ἔχῃ, ξυνθησόμεθα, εἰ δ'
αὐτοί τι σοφώτερον εἴποιμεν, ξυντίθεσθε, δικαιοσύ-
νης γὰρ καὶ τοῦτο." „ἄριστα," εἶπεν „ὦ Θεσπε-
σίων, καὶ ὡς ἐμοὶ ἥδιστα εἴρηκας· ἄκουε δὴ τῶν
ἐκεῖ σπουδασθέντων· διῄειν πρὸς αὐτοὺς ἐγώ, κυ-
βερνήτης ὡς γενοίμην μεγάλης νεώς, ὁπόθ' ἡ ψυχὴ
σώματος ἑτέρου ἐπεμέλετο, καὶ δικαιότατον ἡγοίμην 121
ἐμαυτόν, ἐπειδὴ λῃσταὶ μὲν ἐμισθοῦντό με προδοῦναι
τὴν ναῦν καθορμισάμενον οἷ λοχήσειν αὐτὴν ἔμελ-
λον, δι' ἃ ἦγεν, ἐγὼ δὲ ἐπαγγειλαίμην μὲν ταῦτα,
ὡς μὴ ἐπίθοιντο ἡμῖν, παραπλεύσαιμι δ' αὐτοὺς καὶ
ὑπεράραιμι τοῦ χωρίου." „ξυνέθεντο δ'" ἦ δ' ὁ
Θεσπεσίων „δικαιοσύνην εἶναι Ἰνδοὶ ταῦτα;" „κατ-
εγέλασαν μὲν οὖν," εἶπε „μὴ γὰρ εἶναι δικαιοσύνην
τὸ μὴ ἀδικεῖν." „ὑγιῶς" ἔφη „ἀπέδοξε τοῖς Ἰνδοῖς,
οὔτε γὰρ φρόνησις τὸ μὴ ἀνοήτως τι ἐνθυμεῖσθαι,
οὔτε ἀνδρεία τὸ μὴ λείπειν τὴν τάξιν, οὔτε σωφρο-
σύνη τὸ μὴ ἐς τὰ τῶν μοιχῶν ἐκπίπτειν, οὔτε ἄξιον
ἐπαίνου τὸ μὴ κακὸν φαίνεσθαι· πᾶν γάρ, ὃ τιμῆς
τε καὶ τιμωρίας ἴσον ἀφέστηκεν, οὔπω ἀρετή."
„πῶς οὖν, ὦ Θεσπεσίων," εἶπε „στεφανώσομεν τὸν
δίκαιον, ἢ τί πράττοντα;" „ἀνελλιπέστερον" ἔφη

,,καὶ προσφορώτερον ἂν ὑπὲρ δικαιοσύνης ἐσπουδάσατε, ἢ ὁπότε βασιλεὺς τοσῆσδέ τε καὶ οὕτως εὐδαίμονος χώρας ἄρχων ἐπέστη φιλοσοφοῦσιν ὑμῖν ὑπὲρ τοῦ βασιλεύειν, δικαιοτάτου κτήματος;“ ,,εἰ ὁ Φραώτης“ εἶπεν ,,ὁ ἀφικόμενος ἦν, ὀρθῶς ἂν ἐμέμφου [262] τὸ μὴ ὑπὲρ δικαιοσύνης ἐπ' αὐτοῦ σπουδάσαι, ἐπεὶ δὲ εἶδες τὸν ἄνθρωπον ἐν οἷς χθὲς ὑπὲρ αὐτοῦ διῄειν μεθύοντα καὶ ἀχθόμενον φιλοσοφίᾳ πάσῃ, τί ἔδει παρέχειν ὄχλον; τί δ' αὐτοὺς ἔχειν φιλοτιμουμένους ἐπ' ἀνθρώπου σύβαριν ἡγουμένου πάντα; ἀλλ' ἐπεὶ σοφοῖς ἀνδράσιν, ὥσπερ ἡμῖν, ἰχνευτέα ἡ δικαιοσύνη μᾶλλον ἢ βασιλεῦσί τε καὶ στρατηγοῖς, ἴωμεν ἐπὶ τὸν ἀτεχνῶς δίκαιον. ὃ γὰρ ἐμαυτόν τε ἡγούμην, ὁπότε ἡ ναῦς, ἑτέρους τε, οἳ μὴ ἀδίκων ἅπτονται, οὔπω δικαίους φατέ, οὐδ' ἀξίους τιμᾶσθαι.“ ,,καὶ εἰκότως“ εἶπεν ,,οὐδὲ γὰρ ἂν Ἀθηναίοις ποτὲ ἢ Λακεδαιμονίοις ἐγράφη γνώμη τὸν δεῖνα στεφανοῦν, ἐπεὶ μὴ τῶν ἡταιρηκότων ἐστίν, ἢ τὸν δεῖνα ποιεῖσθαι πολίτην, ἐπεὶ μὴ τὰ ἱερὰ ὑπ' αὐτοῦ συλᾶται. τίς οὖν ὁ δίκαιος καὶ ὁ τί πράττων; οὐδὲ γὰρ ἐπὶ δικαιοσύνῃ τινὰ στεφανωθέντα οἶδα, οὐδὲ γνώμην ἐπ' ἀνδρὶ δικαίῳ γραφεῖσαν, ὡς τὸν δεῖνα χρὴ στεφανοῦν, ἐπειδὴ τὸ δεῖνα πράττων δίκαιος φαίνεται. τὰ μὲν γὰρ Παλαμήδους ἐνθυμηθέντι τὰ ἐν Τροίᾳ καὶ τὰ Σωκράτους τὰ Ἀθήνησιν οὐδ' εὐτυχεῖν ἡ δικαιοσύνη δόξει παρὰ τοῖς ἀνθρώποις, ἀδικώτατα γὰρ δὴ οἵδε ἔπαθον δικαιότατοι ὄντες. πλὴν ἀλλ' οὗτοι μὲν ἐπὶ δόξῃ ἀδικημάτων ἀπώλοντο ψήφου παρὰ τὸ εὐθὺ ἐνεχθείσης, Ἀριστείδην δὲ τὸν Λυσιμάχου καὶ αὐτή ποτε ἡ δικαιοσύνη ἀπώλλυ καὶ ἀνὴρ τοιόσδε ἐπὶ τοιᾷδε ἀρετῇ φεύγων ᾤχετο. καὶ ὡς μὲν γελοία ἡ δικαιοσύνη δόξει, γιγνώσκω, τετα-

γμένη γὰρ ὑπὸ Διός τε καὶ Μοιρῶν ἐς τὸ μὴ ἀδι-
κεῖσθαι τοὺς ἀνθρώπους οὐδαμοῦ ἑαυτὴν ἐς τὸ μὴ
αὐτὴ ἀδικεῖσθαι τάττει. ἐμοὶ δὲ ἀπόχρη τὰ τοῦ Ἀρι-
263 στείδου ἐς τὸ δηλῶσαι, τίς μὲν ὁ μὴ ἄδικος, τίς
δὲ ὁ δίκαιος· εἰπὲ γάρ μοι, οὐχ οὗτος Ἀριστείδης
ἐκεῖνος, ὅν φατε ὑμεῖς οἱ ἀπὸ Ἑλλήνων ἥκοντες
πλεύσαντα ἐς τὰς νήσους ὑπὲρ τῶν φόρων ξυμμέ-
τρους τε αὐτοὺς τάξαι καὶ ξὺν τῷ αὐτῷ ἐπανελθεῖν
τρίβωνι;" „οὗτος," εἶπε „δι' ὃν καὶ πενίας ἔρως
ποτὲ ἤνθησεν." „εἰ οὖν," ἔφη „δύο Ἀθήνησι δημ-
αγωγοὶ γενοίσθην ἐπαινοῦντες τὸν Ἀριστείδην ἄρτι
ἐκ τῆς ξυμμαχίδος ἥκοντα, καὶ ὁ μὲν γράφοι στεφα-
νοῦν αὐτόν, ἐπειδὴ μὴ πλουτῶν ἀφῖκται μηδὲ βίον
ἑαυτῷ ξυνειλοχὼς μηδένα, ἀλλὰ πενέστατος μὲν
Ἀθηναίων, πενέστερος δὲ ἑαυτοῦ, ὁ δ' αὖ τοιουτονί
τι γράφοι ψήφισμα· ἐπειδὴ Ἀριστείδης οὐχ' ὑπὲρ
τὸ δυνατὸν τῶν ξυμμάχων τάξας τοὺς φόρους, ἀλλ'
ὡς ἕκαστοι γῆς ἔχουσι, τῆς τε ὁμονοίας αὐτῶν ἐπε-
μελήθη τῆς πρὸς Ἀθηναίους καὶ τοῦ μὴ ἀχθομένους
δοκεῖν φέρειν ταῦτα, δεδόχθω στεφανοῦν αὐτὸν ἐπὶ
δικαιοσύνῃ, ἆρ' οὐκ ἄν σοι δοκεῖ τῇ μὲν προτέρᾳ 122
γνώμῃ κἂν ἀντειπεῖν αὐτός, ὡς οὐκ ἀξίᾳ τῶν ἑαυτῷ
βεβιωμένων, εἰ ἐφ' οἷς οὐκ ἀδικεῖ τιμῷτο, τὴν δ'
ἴσως ἂν καὶ αὐτὸς ἐπαινέσαι, στοχαζομένην ὧν διε-
νοήθη; βλέψας γάρ που ἐς τὸ Ἀθηναίων τε καὶ τῶν
ὑπηκόων ξυμφέρον ἐπεμελήθη τῆς ξυμμετρίας τῶν
φόρων καὶ τοῦτο μετὰ τὸν Ἀριστείδην ἐδείχθη μᾶλ-
λον· ἐπειδὴ γὰρ παραβάντες Ἀθηναῖοι τοὺς ἐκείνῳ
δόξαντας βαρυτέρους ἐπέγραψαν ταῖς νήσοις, διε-
σπάσθη μὲν αὐτοῖς ἡ ναυτικὴ δύναμις, ᾗ μάλιστα
φοβεροὶ ἦσαν, παρῆλθε δὲ ἡ Λακεδαιμονίων ἐς τὴν
θάλατταν, ξυνέμεινε δὲ τῆς δυνάμεως οὐδέν, ἀλλ'

ἅπαν τὸ ὑπήκοον ἐς νεώτερα ὥρμησε καὶ ἀποστροφῆς ἥψατο. δίκαιος οὖν, ὦ Ἀπολλώνιε, κατὰ τὸν εὐθὺν λόγον οὐχ ὁ μὴ ἄδικος, ἀλλ' ὁ δίκαια μὲν αὐτὸς πράττων, καθιστὰς δὲ καὶ ἑτέρους ἐς τὸ μὴ ἀδικεῖν, καὶ φύσονται τῆς τοιαύτης δικαιοσύνης καὶ ἄλλαι μὲν ἀρεταί, μάλιστα δὲ ἡ δικαστική τε καὶ ἡ νομοθετική. δικάσει μὲν γὰρ τοιόσδε πολλῷ δικαιότερον ἢ οἱ κατὰ τῶν τομίων ὀμνύντες, νομοθε- 264
τήσει δέ, ὥσπερ οἱ Σόλωνές τε καὶ οἱ Λυκοῦργοι, καὶ γὰρ δὴ κἀκείνοις τοῦ γράψαι νόμους δικαιοσύνη ἦρξεν."

XXII Τοσαῦτα ὁ Δάμις διαλεχθῆναί φησιν αὐτοὺς ὑπὲρ ἀνδρὸς δικαίου, καὶ τὸν Ἀπολλώνιον ξυμφῆσαι τῷ λόγῳ, τοῖς γὰρ ὑγιῶς λεγομένοις ξυμβαίνειν. φιλοσοφήσαντες δὲ καὶ περὶ ψυχῆς, ὡς ἀθάνατος εἴη, καὶ περὶ φύσεως παραπλήσια ταῖς Πλάτωνος [ἐν Τιμαίῳ] δόξαις, περί τε τῶν παρ' Ἕλλησι νόμων πλείω διαλεχθέντες „ἐμοὶ" εἶπεν ὁ Ἀπολλώνιος „ἡ δεῦρο ὁδὸς ὑμῶν τε ἕνεκα καὶ τῶν τοῦ Νείλου πηγῶν ἐγένετο, ἃς μέχρι μὲν Αἰγύπτου προελθόντι ξυγγνώμη ἀγνοῆσαι, προχωρήσαντι δὲ ἐπ' Αἰθιοπίαν, ὃν ἐγὼ τρόπον, κἂν ὄνειδος φέροι τὸ παρελθεῖν αὐτὰς καὶ μὴ ἀρύσασθαί τινας αὐτῶν λόγους." „ἴθι χαίρων" ἔφη „καὶ ὅ τι σοι φίλον, εὔχου ταῖς πηγαῖς, θεῖαι γάρ. ἡγεμόνα δὲ οἶμαι ποιήσῃ τὸν πάλαι Ναυκρατίτην, νῦν δὲ Μεμφίτην, Τιμασίωνα, τῶν τε γὰρ πηγῶν ἐθὰς οὗτος καὶ οὕτω τι καθαρός, ὡς μὴ δεῖσθαι τοῦ ῥαίνεσθαι. σοὶ δέ, ὦ Νεῖλε, βουλόμεθα ἐφ' ἑαυτῶν διαλεχθῆναί τι." ὁ μὲν δὴ νοῦς τῶν λόγων οὐκ ἀφανὴς ἦν τῷ Ἀπολλωνίῳ, ξυνίει γὰρ αὐτῶν δυσχερῶς διακειμένων, ἐπειδὴ ἤρα αὐτοῦ ὁ Νεῖλος, ἐξιστάμενος δὲ αὐτοῖς τῆς δια-

λέξεως ἀπῄει συσκευασόμενος, ὡς ἐξελῶν ἅμα τῇ ἕῳ, μετ' οὐ πολὺ δὲ ἥκων ὁ Νεῖλος, ἀπήγγειλε μὲν οὐδὲν ὧν ἤκουσεν, ἐφ' ἑαυτοῦ δὲ θαμὰ ἐγέλα· ἠρώτα δ' οὐδεὶς ὑπὲρ τοῦ γέλωτος, ἀλλ' ἐφείδοντο τοῦ ἀπορρήτου.

Τότε μὲν δὴ δειπνήσαντες καὶ διαλεχθέντες οὐχ XXIII
ὑπὲρ μεγάλων αὐτοῦ ἐκοιμήθησαν, ἅμα δὲ τῇ ἡμέρᾳ τοὺς Γυμνοὺς προσειπόντες ἐπορεύοντο τὴν ἐς τὰ ὄρη τείνουσαν ἀριστερὰ τοῦ Νείλου, τάδε ὁρῶντες
265 λόγου ἄξια· οἱ Κατάδουποι γεώδη ὄρη καὶ παραπλήσια τῷ Λυδῶν Τμώλῳ, κατάρρους δὲ ἀπ' αὐτῶν φέρεται Νεῖλος, ὃν ἐπισπᾶται γῆν ποιῶν Αἴγυπτον. ἡ δὲ ἠχὼ τοῦ ῥεύματος καταρρηγνυμένου τῶν ὀρῶν καὶ ψόφῳ ἅμα ἐς τὸν Νεῖλον ἐκπίπτοντος χαλεπὴ δοκεῖ καὶ οὐκ ἀνεκτὴ ἀκοῦσαι, καὶ πολλοὶ τῶν πρόσω τοῦ μετρίου προελθόντες ἀνέζευξαν ἀποβαλόντες τὸ
ἀκούειν. προϊόντι δὲ τῷ Ἀπολλωνίῳ καὶ τοῖς ἀμφ' XXIV
αὐτὸν μαστοὶ ὀρῶν ἐφαίνοντο παρεχόμενοι δένδρα, ὧν Αἰθίοπες τὰ φύλλα καὶ τὸν φλοιὸν καὶ τὸ δάκρυον καρπὸν ἡγοῦνται, ἑώρων δὲ καὶ λέοντας ἀγχοῦ τῆς ὁδοῦ καὶ παρδάλεις καὶ τοιαῦτα θηρία ἕτερα,
καὶ ἐπῄει οὐδὲν αὐτοῖς, ἀλλ' ἀπεπήδα σφῶν, ὥσπερ 123
ἐκπεπληγμένα τοὺς ἀνθρώπους, ἔλαφοι δὲ καὶ δορκάδες καὶ στρουθοὶ καὶ ὄνοι πολλὰ μὲν καὶ ταῦτα ἑωρᾶτο, πλεῖστα δὲ οἱ βόαγροί τε καὶ οἱ βούτραγοι· ξύγκειται δὲ τὰ θηρία ταῦτα τὸ μὲν ἐλάφου τε καὶ ταύρου, τὸ δὲ ἀφ' ὧνπερ τὴν ἐπωνυμίαν ἤρηκε. καὶ ὀστοῖς δὲ τούτων ἐνετύγχανον καὶ ἡμιβρώτοις σώμασιν, οἱ γὰρ λέοντες, ἐπειδὰν θερμῆς τῆς θήρας ἐμφορηθῶσιν, ἀτιμάζουσιν αὐτῆς τὰ περιττά, πιστεύ-
οντες, οἶμαι, τῷ καὶ αὖθις θηράσειν. ἐνταῦθα νο- XXV
μάδες οἰκοῦσιν Αἰθίοπες ἐφ' ἁμαξῶν πεπολισμένοι,

καὶ πλησίον τούτων οἱ τοὺς ἐλέφαντας θηρῶντες, κατακόπτοντες δὲ αὐτοὺς ποιοῦνται ἀγοράν, ὅθεν ἐπώνυμοί εἰσι τῆς τῶν ἐλεφάντων πράσεως. Νασαμῶνες δὲ καὶ Ἀνδροφάγοι καὶ Πυγμαῖοι καὶ Σκιάποδες ἔθνη μὲν Αἰθιόπων καὶ οἵδε, καθήκουσι δὲ 266
ἐς τὸν Αἰθίοπα Ὠκεανόν, ὃν μόνον ἐσπλέουσιν οἱ ἀπενεχθέντες ἄκοντες.

XXVI Διαλεγομένους δὲ ὑπὲρ τῶν θηρίων τοὺς ἄνδρας καὶ φιλοσοφοῦντας ὑπὲρ τῆς φύσεως ἄλλο ἄλλως βοσκούσης ἠχὼ προσέβαλεν οἷον βροντῆς οὔπω σκληρᾶς, ἀλλὰ κοίλης ἔτι καὶ ἐν τῷ νέφει. καὶ ὁ Τιμασίων „ἐγγὺς“ ἔφη „ὁ καταρράκτης, ὦ ἄνδρες, ὁ κατιόντων μὲν ὕστατος, ἀνιόντων δὲ πρῶτος.“ καὶ στάδια δέκα ἴσως προελθόντες ἰδεῖν φασι ποταμὸν ἐκδιδόμενον τοῦ ὄρους μείω οὐδὲν ἢ ἐν πρώταις ξυμβολαῖς ὁ Μαρσύας καὶ ὁ Μαίανδρος, προσευξάμενοι δὲ τῷ Νείλῳ χωρεῖν πρόσω καὶ θηρία μὲν οὐκέτι ὁρᾶν, ψοφοδεᾶ γὰρ φύσει ὄντα προσοικεῖν τοῖς γαληνοῖς μᾶλλον ἢ τοῖς ῥαγδαίοις τε καὶ ἐνήχοις, ἑτέρου δὲ καταρράκτου ἀκοῦσαι μετὰ πεντεκαίδεκά που στάδια χαλεποῦ ἤδη καὶ οὐκ ἀνεκτοῦ αἰσθέσθαι, διπλασίω μὲν γὰρ εἶναι αὐτὸν τοῦ προτέρου, ὀρῶν δὲ ὑψηλοτέρων ἐκπίπτειν. ἑαυτοῦ μὲν οὖν καί τινος τῶν ἑταίρων οὕτω τι κτυπηθῆναι τὰ ὦτα ὁ Δάμις φησίν, ὡς αὐτός τε ἀναζεῦξαι τοῦ τε Ἀπολλωνίου δεῖσθαι μὴ χωρεῖν πρόσω, τὸν δὲ ἐρρωμένως ξύν τε τῷ Τιμασίωνι καὶ τῷ Νείλῳ τοῦ τρίτου καταρράκτου ἔχεσθαι, περὶ οὗ τάδε ἀπαγγεῖλαι ἥκοντα· ἐπικρέμασθαι μὲν τῷ Νείλῳ κορυφὰς ἐκεῖ σταδίων μάλιστα ὀκτὼ ὕψος, τὴν δὲ ὄχθην τὴν ἀντικειμένην τοῖς ὄρεσιν ὀφρὺν εἶναι λιθοτομίας ἀρρήτου, τὰς δὲ πηγὰς ἀποκρεμαννυμένας τῶν ὀρῶν

ὑπερπίπτειν ἐς τὴν πετρώδη ὄχθην, ἀναχεῖσθαι δὲ ἐκεῖθεν ἐς τὸν Νεῖλον κυμαινούσας τε καὶ λευκάς. τὰ δὲ πάθη τὰ περὶ αὐτὰς ξυμβαίνοντα πολλαπλασίας ἢ αἱ πρότεραι οὔσας καὶ τὴν πηδῶσαν ἐκ τούτων ἠχὼ ἐς τὰ ὄρη δυσήκοον ἐργάζεσθαι τὴν ἱστορίαν τοῦ ῥεύματος. τὴν δὲ πρόσω ὁδὸν τὴν ἐπὶ τὰς πρώτας πηγὰς ἄγουσαν ἄπορον μὲν ἐλθεῖν φασιν,
267 ἄπορον δὲ ἐνθυμηθῆναι, πολλὰ γὰρ καὶ περὶ δαιμόνων ᾄδουσιν, οἷα καὶ Πινδάρῳ κατὰ σοφίαν ὕμνηται περὶ τοῦ δαίμονος, ὃν ταῖς πηγαῖς ταύταις ἐφίστησιν ὑπὲρ ξυμμετρίας τοῦ Νείλου.

Καταλύσαντες δὲ μετὰ τοὺς καταρράκτας ἐν XXVII
κώμῃ τῆς Αἰθιοπίας οὐ μεγάλῃ ἐδείπνουν μὲν περὶ ἑσπέραν ἐγκαταμιγνύντες σπουδὴν παιδιᾷ, βοῆς δὲ ἀθρόας τῶν ἐν τῇ κώμῃ γυναικῶν ἤκουσαν ἐπικελευομένων ἀλλήλαις ἑλεῖν καὶ διῶξαι, παρεκάλουν δὲ καὶ τοὺς αὐτῶν ἄνδρας ἐς κοινωνίαν τοῦ ἔργου, οἱ δ' ἁρπασάμενοι ξύλα καὶ λίθους καὶ ὅ τι ἐς χεῖρας ἑκάστῳ ἔλθοι, ξυνεκάλουν ὥσπερ ἀδικούμενοι τοὺς γάμους. ἐπεφοίτα δὲ ἄρα τῇ κώμῃ δέκατον ἤδη μῆνα σατύρου φάσμα λυττῶν ἐπὶ τὰ γύναια, καὶ δύο ἀπεκτονέναι σφῶν ἐλέγετο, ὧν μάλιστα ἐδόκει ἐρᾶν. ἐκπλαγέντων οὖν τῶν ἑταίρων „μὴ δέδιτε,“ εἶπεν ὁ Ἀπολλώνιος „ὑβρίζει γάρ τις ἐνταῦθα σάτυρος.“ „νὴ Δί',“ ἔφη ὁ Νεῖλος „ὅν γε ἡμεῖς 124
οἱ Γυμνοὶ χρόνῳ ἤδη ὑβρίζοντα μήπω μετεστήσαμεν τοῦ σκιρτᾶν.“ „ἀλλ' ἔστιν“ εἶπεν „ἐπὶ τοὺς ὑβριστὰς τούτους φάρμακον, ᾧ λέγεται Μίδας ποτὲ χρήσασθαι· μετεῖχε μὲν γὰρ τοῦ τῶν σατύρων γένους ὁ Μίδας οὗτος, ὡς ἐδήλου τὰ ὦτα, σάτυρος δὲ ἐπ' αὐτὸν εἷς κατὰ τὸ ξυγγενὲς ἐκώμαζε τὰ τοῦ Μίδου διαβάλλων ὦτα, καὶ οὐ μόνον ᾄδων, ἀλλὰ καὶ αὐλῶν

τούτω, ὁ δ', οἶμαι, τῆς μητρὸς ἀκηκοώς, ὅτι σάτυρος οἴνῳ θηρευθείς, ἐπειδὰν ἐς ὕπνον καταπέσῃ, σωφρονεῖ καὶ διαλλάττεται, κρήνην τὴν οὖσαν αὐτῷ περὶ τὰ βασίλεια κεράσας οἴνῳ ἐπαφῆκεν αὐτῇ τὸν σάτυρον, ὁ δὲ ἔπιέ τε καὶ ἥλω. καὶ ὅτι μὴ ψεύδεται ὁ λόγος, ἴωμεν παρὰ τὸν κωμάρχην, καὶ ἣν ἔχωσιν οἱ κωμῆται οἶνον, κεράσωμεν αὐτὸν τῷ σατύρῳ, καὶ ταὐτὰ τῷ Μίδου πείσεται." ἔδοξε ταῦτα καὶ ἀμφορέας Αἰγυπτίους τέτταρας οἰνοχοήσας ἐς ληνόν, ἀφ' ἧς ἔπινε τὰ ἐν τῇ κώμῃ πρόβατα, ἐκάλει τὸν σάτυρον ἀφανῶς τι ἐπιπλήττων, ὁ δὲ οὔπω μὲν ἑωρᾶτο, ὑπεδίδου δὲ ὁ οἶνος, ὥσπερ πινόμενος· ἐπεὶ δὲ 268 ἐξεπόθη „σπεισώμεθα" ἔφη „τῷ σατύρῳ, καθεύδει γάρ." καὶ εἰπὼν ταῦτα ἡγεῖτο τοῖς κωμήταις ἐς Νυμφῶν ἄντρον, πλέθρον οὔπω ἀπέχον τῆς κώμης, ἐν ᾧ καθεύδοντα δείξας αὐτὸν ἀπέχεσθαι εἶπε τοῦ παίειν ἢ λοιδορεῖσθαί οἱ, „πέπαυται γὰρ τῶν ἀνοήτων." τοῦτο μὲν δὴ τοιοῦτον Ἀπολλωνίου, μὰ Δί', οὐχὶ ὁδοῦ πάρεργον, ἀλλὰ παρόδου ἔργον, κἂν ἐντύχῃ τις ἐπιστολῇ τοῦ ἀνδρός, ἣν πρὸς μειράκιον ὑβρίζον γράφων καὶ σάτυρον δαίμονα σωφρονίσαι φησὶν ἐν Αἰθιοπίᾳ, μεμνῆσθαι χρὴ τοῦ λόγου τούτου. σατύρους δὲ εἶναί τε καὶ ἐρωτικῶν ἅπτεσθαι μὴ ἀπιστῶμεν· οἶδα γὰρ κατὰ τὴν Λῆμνον τῶν ἐμαυτοῦ τινα ἰσηλίκων, οὗ τῇ μητρὶ ἐλέγετο τις ἐπιφοιτᾶν σάτυρος, ὡς εἰκὸς ἦν τῇ ἱστορίᾳ ταύτῃ, νεβρίδα γὰρ ξυμφυᾶ ἐῴκει ἐνημμένῳ κατὰ τὸν νῶτον, ἧς οἱ ποδεῶνες οἱ πρῶτοι ξυνειληφότες τὴν δέρην περὶ τὸ στέρνον αὐτῷ ἀφήπτοντο. ἀλλὰ μὴ πλείω ὑπὲρ τούτων, οὔτε γὰρ ἡ πεῖρα ἀπιστητέα οὔτε ἐγώ.

XXVIII Καταβάντι δὲ αὐτῷ ἐξ Αἰθιοπίας ἡ μὲν πρὸς

τὸν Εὐφράτην διαφορὰ τότε μάλιστα ἐπέδωκε ἐκ τῶν ὁσημέραι διαλέξεων, ἐπέτρεπε δὲ αὐτὰς Μενίππῳ τε καὶ Νείλῳ, σμικρὰ ἐπιτιμῶν αὐτὸς τῷ Εὐφράτῃ, τοῦ δὲ Νείλου σφόδρα ἐπεμελεῖτο.

Ἐπεὶ δὲ Τίτος ᾑρήκει τὰ Σόλυμα καὶ νεκρῶν XXIX πλέα ἦν πάντα τὰ ὅμορά τε ἔθνη ἐστεφάνουν αὐτόν, ὁ δὲ οὐκ ἠξίου ἑαυτὸν τούτου, μὴ γὰρ αὐτὸς ταῦτα εἰργάσθαι, θεῷ δὲ ὀργὴν φήναντι ἐπιδεδωκέναι τὰς ἑαυτοῦ χεῖρας, ἐπῄνει ὁ Ἀπολλώνιος ταῦτα, γνώμη τε γὰρ περὶ τὸν ἄνδρα ἐφαίνετο καὶ ξύνεσις ἀνθρωπείων τε καὶ θείων, καὶ σωφροσύνης μεστὸν τὸ μὴ
269 στεφανοῦσθαι ἐφ᾽ αἵματι. ξυντάττει δὴ πρὸς αὐτὸν ἐπιστολήν, ἧς διάκονον ποιεῖται τὸν Δάμιν, καὶ ἐπιστέλλει ὧδε·

,,Ἀπολλώνιος Τίτῳ στρατηγῷ Ῥωμαίων χαίρειν.

Μὴ βουληθέντι σοι ἐπ᾽ αἰχμῇ κηρύττεσθαι, μηδ᾽ ἐπὶ δηΐῳ αἵματι δίδωμι ἐγὼ τὸν σωφροσύνης στέφανον, ἐπειδὴ ἐφ᾽ οἷς δεῖ στεφανοῦσθαι, γιγνώσκεις. ἔρρωσο.“ ὑπερησθεὶς δὲ ὁ Τίτος τῇ ἐπιστολῇ ,,καὶ ὑπὲρ ἐμαυτοῦ“ ἔφη ,,χάριν οἶδά σοι καὶ ὑπὲρ τοῦ πατρός, καὶ μεμνήσομαι τούτων, ἐγὼ μὲν γὰρ Σόλυμα ᾕρηκα, σὺ δὲ ἐμέ.“

Ἀναρρηθεὶς δὲ αὐτοκράτωρ ἐν τῇ Ῥώμῃ καὶ ἀρι- XXX
στείων ἀξιωθεὶς τούτων ἀπῄει μὲν ἰσομοιρήσων τῆς 125
ἀρχῆς τῷ πατρί, τὸν δὲ Ἀπολλώνιον ἐνθυμηθείς, ὡς πολλοῦ ἄξιος αὐτῷ ἔσται κἂν πρὸς βραχὺ ξυγγενόμενος, ἐδεῖτο αὐτοῦ ἐς Ταρσοὺς ἥκειν, καὶ περιβαλὼν ἐλθόντα ,,πάντα μοι ὁ πατὴρ“ ἔφη ,,ἐπέστειλεν, ὧν ξύμβουλον ἐποιεῖτό σε, καὶ ἰδοὺ ἡ ἐπιστολή, ὡς εὐεργέτης τε αὐτοῦ ἐν αὐτῇ γέγραψαι καὶ πᾶν ὅ τι ἐσμέν. ἐγὼ δὲ ἔτη μὲν τριάκοντα ταυτὶ γέγονα, ἀξιούμενος δὲ ὧν ὁ πατὴρ ἑξηκοντούτης ὢν καὶ

καλούμενος ἐς τὸ ἄρχειν πρὶν οὐκ οἶδ' εἰ ἀρχθῆναι
εἰδέναι, δέδια μὴ μειζόνων, ἢ ἐμὲ χρή, ἅπτωμαι."
ἐπιψηλαφήσας δὲ αὐτοῦ τὸν αὐχένα ὁ Ἀπολλώνιος,
καὶ γὰρ δὴ ἔρρωτο αὐτὸν ἴσα τοῖς ἀσκοῦσι τὸ σῶμα,
„καὶ τίς" εἶπε „βιάσεται ταῦρον αὐχένα οὕτω κρα-
τερὸν ὑποσχεῖν ζυγῷ;" „ὁ ἐκ νέου" ἔφη, „μοσχεύ-
σας με," τὸν πατέρα τὸν ἑαυτοῦ λέγων ὁ Τίτος καὶ
τὸ ὑπ' ἐκείνου ἂν μόνου ἀρχθῆναι, ὃς ἐκ παιδὸς
αὐτὸν τῇ ἑαυτοῦ ἀκροάσει ξυνείθιζε. „χαίρω"
εἶπεν ὁ Ἀπολλώνιος „πρῶτον μὲν παρεσκευασμένον 270
σε ὁρῶν ἕπεσθαι τῷ πατρί, ὑφ' οὗ χαίρουσιν ἀρχό-
μενοι καὶ οἱ μὴ φύσει παῖδες, θεραπεύσοντά τε τὰς
ἐκείνου θύρας, ᾧ ξυνθεραπευθήσῃ. νεότητος δὲ
γήρᾳ ἅμα ἐς τὸ ἄρχειν ἰούσης τίς μὲν λύρα, τίς δὲ
αὐλὸς ἡδεῖαν ὧδε ἁρμονίαν καὶ ξυγκεκραμένην ᾄσε-
ται; πρεσβύτερα γὰρ ξυμβήσεται νέοις, ἐξ ὧν καὶ
XXXI γῆρας ἰσχύσει καὶ νεότης οὐκ ἀτακτήσει." „ἐμοὶ
δέ," εἶπεν ὦ Τυανεῦ, περὶ ἀρχῆς καὶ βασιλείας τί
ὑποθήσῃ; „ἅ γε" ἔφη „σεαυτὸν πέπεικας, ὑποκεί-
μενος γὰρ τῷ πατρὶ δῆλά που, ὡς ὁμοιώσῃ αὐτῷ·
καὶ τὸν Ἀρχύτου δ' ἂν εἴποιμι νυνὶ λόγον, γενναῖος
γὰρ καὶ μαθεῖν ἄξιος· ἐγένετο ὁ Ἀρχύτας ἀνὴρ
Ταραντῖνος τὰ Πυθαγόρου σοφός· οὗτος ὑπὲρ παί-
δων ἀγωγῆς γράφων „ἔστω" φησὶν „ὁ πατὴρ παρά-
δειγμα ἀρετῆς τοῖς παισίν, ὡς καὶ τῶν πατέρων ξυν-
τονώτερον βαδιουμένων ἐπὶ τὰς ἀρετάς, ἢν ὁμοιῶν-
ταί σφισιν οἱ παῖδες." ἐγὼ δέ σοι καὶ Δημήτριον
ξυστήσω τὸν ἐμαυτοῦ ἑταῖρον, ὃς ξυνέσται σοι ὁπόσα
βούλει, διδάσκων, τί δεῖ πράττειν τὸν ἀγαθὸν (ἄρ-
χοντα.") „τίς δέ," ἔφη „Ἀπολλώνιε, ἡ σοφία τοῦ
ἀνδρὸς τούτου;" „παρρησία" εἶπε „καὶ τὸ ἀλη-
θεύειν ἐκπλήττεσθαί τε ὑπὸ μηδενός, ἐστὶ γὰρ τοῦ

Κυνικοῦ κράτους.“ δυσχερῶς δὲ τοῦ Τίτου τὸν κύνα ἀκούσαντος „Ὁμήρῳ μέντοι“ ἔφη „νέος ὢν ὁ Τηλέμαχος καὶ δυοῖν ἐδόκει κυνῶν δεῖσθαι καὶ ξυμπέμπει αὐτοὺς ὀπαδοὺς τῷ μειρακίῳ ἐς τὴν τῶν Ἰθακησίων ἀγορὰν καίτοι ἀλόγους ὄντας, σοὶ δὲ ξυνέσται κύων, ὃς ὑπὲρ σοῦ τε πρὸς ἑτέρους καὶ πρὸς αὐτόν σε, εἴ τι ἁμαρτάνοις, σοφῶς ἅμα καὶ οὐδὲ ἀλόγως ὑλακτήσει.“ „δίδου“ εἶπε „τὸν ὀπαδὸν κύνα, ξυγχωρῶ δὲ αὐτῷ καὶ δακεῖν, εἴ τι με ἀδικοῦντα αἴσθοιτο.“ „γεγράψεται“ ἔφη „πρὸς αὐτὸν ἐπιστολή, φιλοσοφεῖ δὲ ἐπὶ τῆς Ῥώμης.“ „γεγράφθω,“ εἶπεν „ἐβουλόμην δ' ἂν καὶ πρὸς σὲ ὑπὲρ ἐμοῦ τινα γράφειν, ὡς ἅμα τῆς ἐς τὴν Ῥώμην ὁδοῦ κοινωνὸς ἡμῖν γένοιο.“ „ἀφίξομαι,“ ἔφη „ὁπότε
271 ἀμφοῖν λῷον.“ μεταστησάμενος δὲ ὁ Τίτος τοὺς XXXII
παρόντας „αὐτοί“ εἶπεν „ὦ Τυανεῦ, γεγόναμεν, ξυγχωρεῖς γάρ που ἐρωτᾶν ὑπὲρ τῶν ἐμοὶ σπουδαιοτάτων;“ „ἐρώτα,“ ἔφη „καὶ τοσούτῳ προθυμότερον, ὅσῳ ὑπὲρ μειζόνων.“ „περὶ ψυχῆς“ εἶπε „τῆς ἐμαυτοῦ, καὶ οὓς μάλιστα φυλαττοίμην ἄν, ἔσται μοι ἡ ἐρώτησις, εἰ μὴ δόξω δειλὸς δεδιὼς ἤδη ταῦτα.“ „ἀσφαλὴς μὲν οὖν“ ἔφη „καὶ ἐφεστηκώς, προορᾶν γὰρ τούτου χρὴ μάλιστα.“ καὶ ἐς τὸν ἥλιον ἀναβλέψας ὤμνυ αὐτόν, ἦ μὴν αὐτὸς μέλλειν ὑπὲρ τούτων πρὸς αὐτὸν λέξειν μηδὲ ἐρωτῶντα, τοὺς γὰρ θεοὺς φῆναί οἱ προειπεῖν αὐτῷ ζῶντος μὲν τοῦ πατρὸς δεδιέναι τοὺς ἐκείνῳ πολεμιωτάτους, ἀποθανόντος δὲ τοὺς ἑαυτῷ οἰκειοτάτους. „ἀποθανοῦμαι δὲ“ εἶπε „τίνα τρόπον;“ „ὅν γε“ ἔφη „Ὀδυσσεὺς λέγεται, φασὶ γὰρ κἀκείνῳ τὸν θάνατον ἐκ θαλάττης 126
ἐλθεῖν.“ ταῦτα ὁ Δάμις ὧδε ἑρμηνεύει· φυλάττεσθαι μὲν αὐτὸν τὴν αἰχμὴν τῆς τρυγόνος, ᾗ τὸν

Ὀδυσσέα βεβλῆσθαί φασι, δυοῖν δὲ ἐτοῖν μετὰ τὸν πατέρα τὴν ἀρχὴν κατασχόντα ὑπὸ τοῦ θαλαττίου λαγὼ ἀποθανεῖν, τὸν δὲ ἰχθὺν τοῦτον παρέχεσθαι χυμοὺς ἀπορρήτους ὑπὲρ πάντα τὰ ἐν τῇ θαλάττῃ καὶ γῇ ἀνδροφόνα, καὶ Νέρωνα μὲν ἐσποιῆσαι τοῖς ἑαυτοῦ ὄψοις τὸν λαγὼν τοῦτον ἐπὶ τοὺς πολεμιωτάτους, Δομετιανὸν δὲ ἐπὶ τὸν ἀδελφὸν Τίτον, οὐ τὸ ξὺν ἀδελφῷ ἄρχειν δεινὸν ἡγούμενον, ἀλλὰ τὸ ξὺν πρᾴῳ τε καὶ χρηστῷ. τοιαῦτα διαλεχθέντες ἰδίᾳ περιέβαλον ἀλλήλους ἐν φανερῷ, ἀπιόντα δὲ προσειπὼν „νίκα, ὦ βασιλεῦ,“ ἔφη „τοὺς μὲν πολεμίους
XXXIII ὅπλοις, τὸν δὲ πατέρα ἀρεταῖς.“ ἡ δὲ πρὸς τὸν Δημήτριον ἐπιστολὴ ὧδε εἶχεν·

Ἀπολλώνιος φιλόσοφος Δημητρίῳ κυνὶ χαίρειν.

Δίδωμί σε βασιλεῖ Τίτῳ διδάσκαλον τοῦ τῆς βασιλείας ἤθους, σὺ δ' ἀληθεῦσαί τέ μοι πρὸς αὐτὸν δίδου καὶ γίγνου αὐτῷ, πλὴν ὀργῆς, πάντα. ἔρρωσο.

XXXIV Οἱ δὲ τοὺς Ταρσοὺς οἰκοῦντες τὸν μὲν ἄλλον 272
χρόνον ἤχθοντο τῷ Ἀπολλωνίῳ διά τε τὰς ἐπιπλήξεις, ἐπειδὴ ξυντόνους αὐτὰς ἐποιεῖτο, διά τε τὸ ἀνειμένοι καὶ τρυφῶντες μηδὲ τὴν τοῦ λόγου ἀνέχεσθαι ῥώμην, τότε δ' οὕτω τι ἡττήθησαν τοῦ ἀνδρός, ὡς οἰκιστήν τε αὐτὸν ἡγεῖσθαι καὶ στήριγμα τοῦ ἄστεος. ἔθυε μὲν γὰρ δημοσίᾳ ὁ βασιλεύς, ξυνελθοῦσα δὲ ἡ πόλις ἱκέτευεν ὑπὲρ τῶν μεγίστων, ὁ δὲ μεμνήσεσθαι τούτων πρὸς τὸν πατέρα ἔφη καὶ πρεσβεύσειν αὐτὸς ὑπὲρ ὧν δέονται· παρελθὼν δὲ ὁ Ἀπολλώνιος „εἰ δὲ ἐνίους“ ἔφη „τούτων ἐλέγξαιμι σοὶ μὲν καὶ πατρὶ τῷ σῷ πολεμίους, πεπρεσβευμένους δὲ ὑπὲρ νεωτέρων ἐς τὰ Σόλυμα, ξυμμάχους δ' ἀφανεῖς τῶν σοι φανερωτάτων ἐχθρῶν, τί πεί-

σονται;“ „τί δὲ ἄλλο γε,“ εἶπεν „ἢ ἀπολοῦνται;“ „εἶτα οὐκ αἰσχρὸν“ ἔφη „τὰς μὲν τιμωρίας αὐτίκα ἀπαιτεῖν, τὰς δὲ εὐεργεσίας ὀψὲ διδόναι, καὶ τὰς μὲν καθ᾽ ἑαυτὸν ποιεῖσθαι, τὰς δὲ ἐς κοινωνίαν γνώμης ἀνατίθεσθαι;“ ὑπερησθεὶς δὲ ὁ βασιλεὺς „δίδωμι τὰς δωρεάς,“ εἶπεν „οὐ γάρ μοι ἀχθέσεται ὁ πατὴρ ἀληθείας ἡττωμένῳ καὶ σοῦ.

Τοσαῦτα ἔθνη φασὶν ἐπελθεῖν τὸν Ἀπολλώνιον XXXV
σπουδάζοντά τε καὶ σπουδαζόμενον. αἱ δὲ ἐφεξῆς ἀποδημίαι πολλαὶ μὲν ἐγένοντο τῷ ἀνδρί, οὐ μὴν τοσαῦταί γε ἔτι, οὐδὲ ἐς ἕτερα ἔθνη πλὴν ἃ ἔγνω, περί τε γὰρ τὴν ἐπὶ θαλάττῃ Αἴγυπτον καταβάντι αὐτῷ ἐξ Αἰθιοπίας διατριβὴ πλείων ἐγένετο, περί τε Φοίνικας καὶ Κίλικας Ἴωνάς τε καὶ Ἀχαιοὺς καὶ Ἰταλοὺς πάλιν οὐδαμοῦ ἐλλείποντι τὸ μὴ οὐχ ὁμοίῳ φαίνεσθαι. χαλεποῦ γὰρ τοῦ γνῶναι ἑαυτὸν δοκοῦντος χαλεπώτερον ἔγωγε ἡγοῦμαι τὸ μεῖναι τὸν σοφὸν ἑαυτῷ ὅμοιον, οὐδὲ γὰρ τοὺς πονηρῶς φύντας ἐς τὸ λῷον μεταστήσει μὴ πρότερον ἐξασκήσας τὸ μὴ αὐτὸς μεθίστασθαι. ὑπὲρ μὲν δὴ τούτων ἐν ἑτέροις
273 λόγοις ἱκανῶς εἴρηκα διδάσκων τοὺς μὴ μαλακῶς αὐτοῖς ὁμιλοῦντας, ὅτι τὸν ἀτεχνῶς ἄνδρα μήτε μεταστήσει τι μήτε δουλώσεται. ὡς δὲ μήτε ἐς λόγων ἴοιμεν μῆκος ἀκριβῶς ἀναδιδάσκοντες τὰ παρ᾽ ἑκάστοις αὐτῷ φιλοσοφηθέντα μήτ᾽ αὖ διαπηδῶντες φαινοίμεθα λόγον, ὃν οὐκ ἀπόνως παραδίδομεν τοῖς ἀπείροις τοῦ ἀνδρός, δοκεῖ μοι τὰ σπουδαιότερα ἐπελθεῖν τούτων καὶ ὁπόσα μνήμης ἀξιώσεται. ἡγώμεθα δὲ αὐτὰ παραπλήσια ταῖς τῶν Ἀσκληπιαδῶν ἐπιδημίαις.

Μειράκιον ἑαυτοῦ μὲν ἀπαιδεύτως εἶχε, τοὺς XXXVI
δὲ ὄρνις ἐπαίδευε καὶ ξυνοίκους ἐπὶ σοφίᾳ ἐποιεῖτο·

ἐδίδασκε δὲ αὐτοὺς λαλεῖν τε ὅσα οἱ ἄνθρωποι καὶ
127 τερετίζειν ὅσα αὐλοί. τούτῳ περιτυχὼν „τί“ ἔφη „ἐπιτηδεύεις;“ ἐπεὶ δὲ τάς τε ἀηδόνας αὐτῷ διῄει καὶ τοὺς κοψίχους καὶ ὁπόσα εὐγλωττίζοι τοὺς χαραδρίους, τὴν φωνὴν δὲ ἀπαίδευτον ἐφαίνετο „δοκεῖς μοι“ ἔφη „διαφθείρειν τοὺς ὄρνις, πρῶτον μὲν τῷ μὴ ξυγχωρεῖν αὐτοῖς τὸ ἑαυτῶν φθέγμα οὕτως ἡδὺ ὄν, ὡς μηδ᾽ ἂν τὰ μουσικὰ τῶν ὀργάνων ἐς μίμησιν αὐτοῦ καταστῆναι, εἶτα καὶ τῷ κάκιστα Ἑλλήνων αὐτὸς διαλεγόμενος μαθητὰς αὐτοὺς ποιεῖσθαι ἀφωνίας. ἐπιτρίβεις δ᾽, ὦ μειράκιον, καὶ τὸν σεαυτοῦ οἶκον· βλέψαντι γὰρ ἐς τοὺς ἀκολούθους καὶ ὡς κατεσκεύασαι, τῶν ἁβρῶν ἔμοιγε καὶ οὐκ ἀπλούτων φαίνῃ, τοὺς δὲ τοιούτους ὑποβλίττουσιν οἱ συκοφάνται κέντρα ἐπ᾽ αὐτοὺς ἠρμένοι τὴν γλῶτταν. καὶ τί χρήσῃ τῇ φιλορνιθίᾳ τότε; οὐδὲ γὰρ τὰ πασῶν ἀηδόνων μέλη ξυμφέρων ἀποσοβήσεις αὐτοὺς ἐγκειμένους τε καὶ ἐρείδοντας, ἀλλ᾽ ἐπαντλεῖν χρὴ τῶν ὄντων καὶ προβάλλειν αὐτοῖς τὸ χρυσίον, ὥσπερ τὰ μειλίγματα τοῖς κυσί, κἂν ὑλακτῶσιν, αὖθις διδόναι καὶ αὖθις, εἶτα αὐτὸν πεινῆν ὕστερον καὶ ἀπορεῖν. δεῖ δέ σοι ἐκτροπῆς λαμπρᾶς καὶ μεταβολῆς ἤδη τινὸς τῶν τρόπων, ὡς μὴ λάθῃς πτερορρυήσας τὸν πλοῦτον καὶ ἀξίως πράττων τοῦ θρηνεῖσθαι μᾶλλον 274
ὑπ᾽ ὀρνίθων ἢ ᾄδεσθαι. τὸ δὲ φάρμακον τῆς μεταβολῆς οὐ μέγα, ἐστὶ γάρ τι ἐν ἁπάσαις πόλεσιν ἔθνος ἀνθρώπων, ὃ σὺ οὔπω μὲν γιγνώσκεις, καλοῦσι δὲ αὐτὸ διδασκάλους· τούτοις ἀπὸ τῆς οὐσίας μικρὰ δοὺς ἀσφαλῶς κεκτήσῃ τὰ πλείω, ῥητορικὴν γάρ σε παιδεύσουσι τὴν τῶν ἀγοραίων, ῥᾳδία δ᾽ ἡ τέχνη. εἰ μὲν γὰρ παῖδά σε ἑώρων ἔτι, ξυνεβούλευον ἂν φοιτᾶν ἐπὶ φιλοσόφων τε καὶ σοφιστῶν

αὐτοὺς ἐς ἔννοιαν ὧν πείσονται, καὶ (ὡς) ταυτὸ τοῖς ἑτέροις φοβήσονται.

XXXIX Ἄξιον δὲ καὶ τούτου ἐπιμνησθῆναι· ἔθυέ τις ὑπὲρ θησαυροῦ τῇ Γῇ καὶ οὐδὲ τῷ Ἀπολλωνίῳ
128 προσεύχεσθαι ὑπὲρ τούτου ὤκνει, ὁ δὲ ἐνθυμηθείς, οἵων ἐρᾷ, „δεινόν γε,“ ἔφη „χρηματιστὴν ὁρῶ.“ „κακοδαίμονα μὲν οὖν,“ εἶπεν „ᾧγέ ἐστιν οὐδὲν πλὴν ὀλίγων, ἃ μὴ ἀπόχρη βόσκειν τὸν οἶκον.“ „ἔοικας“ ἔφη „πολλοὺς τρέφειν καὶ ἀργοὺς οἰκέτας, οὐδὲ γὰρ αὐτός γε τῶν ἀσόφων φαίνῃ.“ ὁ δὲ ἠρέμα ἐπιδακρύσας „θυγάτριά μοι“ εἶπεν „ἐστὶ τέτταρα καὶ φερνῶν δεῖ τεττάρων, ἐμοὶ δέ εἰσι δισμύριαί που δραχμαὶ νῦν, ἐπειδὰν δὲ ταῖς θυγατράσι κατανεμηθῶσιν, ἐκεῖναί τε σμικρὰ εἰληφέναι δόξουσιν ἐγώ τε ἀπολοῦμαι ἔχων οὐδέν.“ παθὼν οὖν τι πρὸς αὐτὸν ὁ Ἀπολλώνιος „ἐπιμελησόμεθά σου“ ἔφη „κἀγὼ καὶ ἡ Γῆ, φασὶ γάρ σε θύειν αὐτῇ.“ καὶ εἰπὼν ταῦτα προῄει τὰ προάστεια, ὥσπερ οἱ τοὺς καρποὺς ὠνούμενοι, ἰδὼν δέ τι χωρίον ἐλαῶν πλῆρες καὶ ἡσθεὶς τοῖς δένδρεσιν, ὡς εὐφυᾶ τε ἦν καὶ μεγάλα καί τινος κηπίου ἐν αὐτῷ ὄντος, ἐν ᾧ σμήνη τε καὶ ἄνθη ἑωρᾶτο, παρῆλθεν ἐς τὸ κηπίον ὥς τι ἐπισκεψόμενος μεῖζον καὶ προσευξάμενος τῇ Πανδώρᾳ ἐχώρει ἐς τὸ ἄστυ. βαδίσας δὲ παρὰ τὸν τοῦ ἀγροῦ δεσπότην, ᾧ πλοῦτος ἐκ τῶν παρανομωτάτων πεπόριστο τὰς Φοινίκων οὐσίας ἐνδεικνύντι „χωρίον“ ἔφη „τὸ δεῖνα πόσου ἐπρίω καὶ τί πεπόνηταί σοι ἐς αὐτό;“ τοῦ δὲ πέρυσι μὲν ἐωνῆσθαι τὸν ἀγρόν, πεντακισχιλίων δὲ καὶ μυρίων φήσαντος, οὔπω δ' ἐκπεπονηκέναι τι, πείθει τὸν ἄνθρωπον ἀποδόσθαι οἱ δισμυρίων αὐτὸν εὕρημα ποιησάμενον 276
τὰς πεντακισχιλίας. ὁ μὲν δὴ τοῦ θησαυροῦ ἐρῶν

οὔπω ξυνίει τοῦ δώρου, ἀλλ' οὐδ' ᾤετο ἴσα ἔχειν, τοσούτῳ δὲ ἐλάττω, ὅσῳ τὰς μὲν δισμυρίας ἐν ταῖν χεροῖν οὔσας ἐφ' ἑαυτῷ εἶναι ἄν, τὸν δ' ἀντ' αὐτῶν ἀγρὸν ἐπὶ πάχναις κείσεσθαι καὶ χαλάζαις καὶ τοῖς ἄλλοις, ἃ τοὺς καρποὺς φθείρει· ἐπεὶ δὲ ἀμφορέα μὲν τρισχιλίων δαρεικῶν αὐτίκα εὗρε περὶ αὐτὸ μάλιστα τὸ ἐν τῷ κηπίῳ σμῆνος, εὐφόρου δὲ τοῦ τῆς ἐλαίας καρποῦ ἔτυχεν οὐκ εὐφορούσης τότε τῆς ἄλλης γῆς, ὕμνοι αὐτῷ ἐς τὸν ἄνδρα ᾔδοντο καὶ μνηστήρων θεραπευόντων αὐτὸν πλέα ἦν πάντα.

Κἀκεῖνα ἀξιομνημόνευτα εὗρον τοῦ ἀνδρός· XL
ἐρᾶν τις ἐδόκει τοῦ τῆς Ἀφροδίτης ἕδους, ὃ ἐν Κνίδῳ γυμνὸν ἵδρυται, καὶ τὰ μὲν ἀνετίθει, τὰ δ' ἀναθήσειν ἔφασκεν ὑπὲρ τοῦ γάμου, Ἀπολλωνίῳ δὲ καὶ ἄλλως μὲν ἄτοπα ἐδόκει ταῦτα, ἐπεὶ δὲ μὴ παρῃτεῖτο ἡ Κνίδος, ἀλλ' ἐναργεστέραν ἔφασαν τὴν θεὸν δόξειν, εἰ ἐρῷτο, ἔδοξε τῷ ἀνδρὶ καθῆραι τὸ ἱερὸν τῆς ἀνοίας ταύτης, καὶ ἐρομένων τῶν Κνιδίων αὐτόν, εἴ τι βούλοιτο τῶν θυτικῶν ἢ εὐκτικῶν διορθοῦσθαι „ὀφθαλμοὺς“ ἔφη „διορθώσομαι, τὰ δὲ τοῦ ἱεροῦ πάτρια ἐχέτω, ὡς ἔχει.“ καλέσας οὖν τὸν θρυπτόμενον ἤρετο αὐτόν, εἰ θεοὺς νενόμικε, τοῦ δ' οὕτω νομίζειν θεοὺς φήσαντος, ὡς καὶ ἐρᾶν αὐτῶν, καὶ τῶν γάμων μνημονεύσαντος, οὓς θύσειν ἡγεῖτο, „σὲ μὲν ποιηταὶ“ ἔφη „ἐπαίρουσι τοὺς Ἀγχίσας τε καὶ τοὺς Πηλέας θεαῖς ξυζυγῆναι εἰπόντες, ἐγὼ δὲ περὶ τοῦ ἐρᾶν καὶ ἐρᾶσθαι τόδε γιγνώσκω· θεοὶ θεῶν ἄνθρωποι ἀνθρώπων θηρία θηρίων καὶ καθάπαξ ὅμοια ὁμοίων ἐρᾷ ἐπὶ τῷ ἔτυμα καὶ ξυγγενῆ τίκτειν, τὸ δὲ ἑτερογενὲς τῷ μὴ ὁμοίῳ ξυνελθὸν οὔτε ξυγὸς οὔτε ἔρως. εἰ δὲ ἐνεθυμοῦ τὰ Ἰξίονος, οὐδ' ἂν ἐς ἔννοιαν καθίστασο τοῦ μὴ ὁμοίων ἐρᾶν. ἀλλ' ἐκεῖνος

μὲν τροχῷ εἰκασμένος δι᾽ οὐρανοῦ κνάμπτεται, σὺ 277
δ᾽, εἰ μὴ ἄπει τοῦ ἱεροῦ, ἀπολεῖ ἐν ἁπάσῃ τῇ γῇ
129 οὐδ᾽ ἀντειπεῖν ἔχων τὸ μὴ οὐ δίκαια τοὺς θεοὺς ἐπὶ σοὶ γνῶναι.“ ὧδε ἡ παροινία ἐσβέσθη καὶ ἀπῆλθεν ὁ φάσκων ἐρᾶν ὑπὲρ ξυγγνώμης θύσας.

XLI Σεισμῶν δὲ κατασχόντων ποτὲ τὰς ἐν τῷ ἀριστερῷ Ἑλλησπόντῳ πόλεις, Αἰγύπτιοι μὲν καὶ Χαλδαῖοι περὶ αὐτὰς ἠγείροντο ὑπὲρ ξυλλογῆς χρημάτων, ὡς δεκαταλάντους θυσίας Γῇ καὶ Ποσειδῶνι θύσοντες, ξυνέφερον δ᾽ αἱ πόλεις τὰ μὲν ἀπὸ τοῦ κοινοῦ, τὰ δὲ ἀπὸ τῶν οἴκων ὑποκείμενοι τῷ φόβῳ, οἱ δέ, εἰ μὴ ἐπὶ τραπεζῶν ἐκτεθείη τὸ ἀργύριον, οὐκ ἂν ἔφασαν ὑπὲρ αὐτῶν θῦσαι· δοκεῖ δὴ τῷ ἀνδρὶ μὴ περιιδεῖν τοὺς Ἑλλησποντίους * καὶ παρελθὼν ἐς τὰς πόλεις τοὺς μὲν ἀπήλασεν ὡς θησαυρὸν πεποιημένους τὰ ἑτέρων κακά, τὰς δὲ αἰτίας τῶν μηνιμάτων ξυλλαβὼν καὶ ὡς ἑκάστῃ πρόσφορον θύσας ἀπεύξατο τὴν προσβολὴν δαπάνῃ σμικρᾷ, καὶ ἡ γῆ ἔστη.

XLII Δομετιανοῦ δὲ βασιλέως ὑπὸ τὸν αὐτὸν χρόνον εὐνούχους τε μὴ ποιεῖν νομοθετήσαντος ἀμπέλους τε μὴ φυτεύειν ἔτι καὶ τὰς πεφυτευμένας δὲ αὐτῶν ἐκκόπτειν παρελθὼν ἐς τοὺς Ἴωνας ὁ Ἀπολλώνιος „τὰ μὲν προστάγματα οὐ πρὸς ἐμὲ“ ἔφη „ταῦτα, μόνος γὰρ ἴσως ἀνθρώπων οὔτε αἰδοίων δέομαι οὔτε οἴνου, λέληθε δὲ ὁ θαυμασιώτατος τῶν μὲν ἀνθρώπων φειδόμενος, τὴν δὲ γῆν εὐνουχίζων.“ ὅθεν
ἐς θάρσος ἡ Ἰωνία ἦλθε πρεσβεύσασθαι πρὸς τὸν 278
βασιλέα ὑπὲρ ἀμπέλων καὶ παραιτήσασθαι νόμον, ὃς ἐκέλευε καὶ δῃοῦσθαι τὴν γῆν καὶ μὴ φυτεύεσθαι.

XLIII Κἀκεῖνα ἐν Ταρσοῖς τοῦ ἀνδρὸς ᾄδουσι· κύων ἐνεπεπτώκει ἐφήβῳ λυττῶν καὶ ἀπῆγε τὸν ἔφηβον

τὸ δῆγμα ἐς τὰ τῶν κυνῶν πάντα, ὑλάκτει τε γὰρ καὶ ὠρύετο καὶ τετράπους ἔθει τὼ χεῖρε ὑπέχων τῷ δρόμῳ. νοσοῦντι δ' αὐτῷ τριακοστὴν ἡμέραν ἐφίσταται μὲν ὁ Ἀπολλώνιος ἄρτι ἐς τοὺς Ταρσοὺς ἥκων, κελεύει δὲ ἀνιχνευθῆναί οἱ τὸν κύνα, ὃς ταῦτα εἰργάσατο, οἱ δ' οὔτε ἐντετυχηκέναι τῷ κυνὶ ἔφασαν, ἔξω γὰρ τείχους εἰλῆφθαι αὐτὸν τοῦ ἐφήβου πρὸς ἀκοντίοις ὄντος, οὔτ' ἂν τοῦ νοσοῦντος μαθεῖν, ἥτις ἡ ἰδέα τοῦ κυνός, ἐπεὶ μηδὲ αὐτὸν ἔτι οἶδεν. ἐπισχὼν οὖν „ὦ Δάμι," ἔφη „λευκὸς ὁ κύων λάσιος προβατευτικὸς Ἀμφιλοχικῷ ἴσος, προσέστηκε δὲ τῇ δεῖνι κρήνῃ τρέμων, τὸ γὰρ ὕδωρ καὶ ποθεῖ καὶ δέδοικεν· ἄγε μοι τοῦτον ἐπὶ τὴν τοῦ ποταμοῦ ὄχθην, ἐφ' ἧς αἱ παλαῖστραι, μόνον εἰπών, ὅτι ὑπ' ἐμοῦ καλοῖτο." ἑλχθεὶς δ' ὁ κύων ὑπὸ τοῦ Δάμιδος ὑπεκλίθη τοῖς τοῦ Ἀπολλωνίου ποσίν, ὥσπερ οἱ βώμιοι τῶν ἱκετῶν κλαίων, ὁ δ' ἡμέρου τε αὐτὸν ἔτι μᾶλλον καὶ τῇ χειρὶ ἐπράυνε, τὸν ἔφηβόν τε ἵστη ἐγγὺς ξυνέχων αὐτός, ὡς δὲ μὴ λάθοι τοὺς πολλοὺς μέγα ἀπόρρητον „μεθέστηκε μὲν" ἔφη „ἐς τὸν παῖδα τοῦτον ἡ Τηλέφου ψυχὴ τοῦ Μυσοῦ, Μοῖραι δ' ἐπ' αὐτῷ ταὐτὰ βούλονται," καὶ εἰπὼν ταῦτα ἐκέλευσε τὸν κύνα περιλιχμήσασθαι τὸ δῆγμα, ὡς ἰατρὸς αὐτῷ πάλιν ὁ τρώσας γένοιτο. ἐπεστράφη τὸ ἐντεῦθεν ἐς τὸν πατέρα ὁ παῖς καὶ ξυνῆκε τῆς μητρὸς προσεῖπέ τε τοὺς ἥλικας καὶ ἔπιε τοῦ Κύδνου, περιώφθη δὲ οὐδὲ ὁ κύων, ἀλλὰ κἀκεῖνον εὐξάμενος τῷ ποταμῷ δι' αὐτοῦ
279 ἧκεν. ὁ δ' ἐπεὶ διέβη τὸν Κύδνον, ἐπιστὰς τῇ ὄχθῃ φωνήν τε ἀφῆκεν, ὅπερ ἥκιστα περὶ τοὺς λυττῶντας τῶν κυνῶν ξυμβαίνει, καὶ τὰ ὦτα ἀνακλάσας ἔσεισε τὴν οὐρὰν ξυνιεὶς τοῦ ἐρρῶσθαι, φαρμακοποσία γὰρ λύττης ὕδωρ, ἢν θαρσήσῃ αὐτὸ ὁ λυττῶν.

Τοιαῦτα τοῦ ἀνδρὸς τὰ ὑπὲρ ἱερῶν τε καὶ πόλεων καὶ τὰ πρὸς δήμους καὶ ὑπὲρ δήμων καὶ τὰ ὑπὲρ τεθνεώτων ἢ νοσούντων καὶ τὰ πρὸς σοφούς τε καὶ μὴ σοφοὺς καὶ τὰ πρὸς βασιλέας, οἳ ξύμβουλον αὐτὸν ἀρετῆς ἐποιοῦντο.

Η'.

130

I *Οἶδα καὶ τὰς τυραννίδας, ὡς ἔστιν ἀρίστη βάσανος ἀνδρῶν φιλοσοφούντων, καὶ ξυγχωρῶ σκοπεῖν, ὅ τι ἕκαστος ἑτέρου ἧττον ἢ μᾶλλον ἀνὴρ ἔδοξεν, ὁ λόγος δέ μοι ξυντείνει ἐς τόδε· κατὰ τοὺς χρόνους, οὓς Δομετιανὸς ἐτυράννευσε, περιέστησαν τὸν ἄνδρα κατηγορίαι καὶ γραφαί, ὅπως μὲν ἀρξάμεναι καὶ ὁπόθεν καὶ ὅ τι ἑκάστη ὄνομα, δηλώσω αὐτίκα, ἐπεὶ δὲ ἀνάγκη λέξαι, τί μὲν εἰπών, τίς δὲ εἶναι δόξας ἀπῆλθε τῆς κρίσεως ἑλὼν μᾶλλον τὸν τύραννον ἢ ἁλοὺς αὐτός, δοκεῖ μοι διελθεῖν πρὸ τούτων, ὁπόσα εὗρον ἀφηγήσεως ἄξια σοφῶν ἀνδρῶν πρὸς τυράννους ἔργα παραδεικνύειν τε αὐτὰ τοῖς Ἀπολλωνίου· χρὴ γάρ που τἀληθὲς οὕτω μαστεύειν.*

II *Ζήνων μὲν τοίνυν ὁ Ἐλεάτης, διαλεκτικῆς δὲ οὗτος δοκεῖ ἄρξαι, τὴν Νεάρχου τοῦ Μυσοῦ καταλύων*
τυραννίδα ἥλω καὶ στρεβλωθεὶς τοὺς μὲν ἑαυτοῦ 280
ξυνωμότας ἀπεσιώπησεν, οἳ δ' ἦσαν τῷ τυράννῳ βέβαιοι, διαβαλὼν τούτους ὡς οὐ βεβαίους, οἱ μὲν ὡς ἐπ' ἀληθέσι ταῖς αἰτίαις ἀπέθανον, ὁ δ' ἐλεύθερα τὰ Μυσῶν ἤγαγε τὴν τυραννίδα περὶ ἑαυτῇ σφήλας. Πλάτων δὲ ὑπὲρ τῆς Σικελιωτῶν ἐλευθερίας ἀγῶνά φησιν ἄρασθαι συλλαβὼν τῆς διανοίας ταύτης Δίωνι. Φύτων δὲ Ῥηγίου ἐκπεσὼν κατέφυγε μὲν ἐπὶ Διονύσιον τὸν Σικελίας τύραννον, μειζόνων

δὲ ἀξιωθεὶς ἢ τὸν φεύγοντα εἰκὸς ξυνῆκε μὲν τοῦ τυράννου καὶ ὅτι τοῦ Ῥηγίου ἐρῴη, Ῥηγίνοις δ' ἐπιστέλλων ταῦτα ἥλω, καὶ ὁ μὲν τύραννος ἑνὸς τῶν μηχανημάτων ἀνάψας αὐτὸν ζῶντα προσήγαγε τοῖς τείχεσιν, ὡς μὴ βάλοιεν οἱ Ῥηγῖνοι τὸ μηχάνημα φειδοῖ τοῦ Φύτωνος, ὁ δὲ ἐβόα βάλλειν, σκοπὸς γὰρ αὐτοῖς ἐλευθερίας εἶναι. Ἡρακλείδης δὲ καὶ Πύθων οἱ Κότυν ἀποκτείναντες τὸν Θρᾷκα νεανία μὲν ἤστην ἄμφω, τὰς δὲ Ἀκαδημίους διατριβὰς ἐπαινοῦντες σοφώ τε ἐγενέσθην καὶ οὕτως ἐλευθέρω. τὰ δὲ Καλλισθένους τοῦ Ὀλυνθίου τίς οὐκ οἶδεν; ὃς ἐπὶ τῆς αὐτῆς ἡμέρας ἐπαινέσας τε καὶ διαβαλὼν Μακεδόνας, ὅτε μέγιστοι δυνάμει ἦσαν, ἀπέθανεν ἀηδὴς δόξας. Διογένης δὲ ὁ Σινωπεὺς καὶ Κράτης ὁ Θηβαῖος ὁ μὲν εὐθὺ Χαιρωνείας ἥκων ἐπέπληξεν ὑπὲρ Ἀθηναίων Φιλίππῳ περὶ ὧν Ἡρακλείδης εἶναι φάσκων ἀπώλλυ ὅπλοις τοὺς ὑπὲρ ἐκείνων ὅπλα
281 ἠρμένους, ὁ δ' ἀνοικιεῖν Θήβας Ἀλεξάνδρου δι' αὐτὸν φήσαντος οὐκ ἂν ἔφη δεηθῆναι πατρίδος, ἣν κατασκάψει τις ὅπλοις ἰσχύσας. καὶ λέγοιτο μὲν (ἂν) πολλὰ τοιαῦτα, ὁ λόγος δὲ οὐ ξυγχωρεῖ μῆκος τῷ γε ἀνάγκην ἔχοντι καὶ πρὸς ταῦτα ἀντειπεῖν οὐχ ὡς οὐ καλὰ ἢ οὐκ ἐν λόγῳ πᾶσιν, ἀλλ' ὡς ἥττω τῶν
Ἀπολλωνίου, κἂν ἄριστα ἑτέρων φαίνηται· τὸ μὲν III
τοίνυν τοῦ Ἐλεάτου ἔργον καὶ οἱ τὸν Κότυν ἀπεκτονότες οὔπω ἀξιόλογα, Θρᾷκας γὰρ καὶ Γέτας δουλοῦσθαι μὲν ῥᾴδιον, ἐλευθεροῦν δὲ εὔηθες, οὐδὲ γὰρ τῇ ἐλευθερίᾳ χαίρουσιν, ἅτε, οἶμαι, οὐκ αἰσχρὸν ἡγούμενοι τὸ δουλεύειν. Πλάτων δὲ ὡς μὲν οὐ σοφόν τι ἔπαθε τὰ ἐν Σικελίᾳ διορθούμενος μᾶλλον ἢ τὰ Ἀθήνησιν, ἢ ὡς εἰκότως ἐπράθη σφαλείς τε καὶ σφήλας, οὐ λέγω διὰ τοὺς δυσχερῶς ἀκροωμένους.

τὰ δὲ τοῦ Ῥηγίνου πρὸς Διονύσιον μὲν ἐτολμᾶτο τυραννεύοντα οὐ βεβαίως Σικελίας, ὁ δ᾽ ὑπ᾽ ἐκείνου πάντως ἀποθανὼν ἄν, εἰ καὶ μὴ ὑπὸ Ῥηγίνων ἐβλήθη, θαυμαστόν, οἶμαι, οὐδὲν ἔπραττε τὸν ὑπὲρ τῆς ἑτέρων ἐλευθερίας θάνατον μᾶλλον ἢ τὸν ὑπὲρ τῆς αὑτοῦ δουλείας αἱρούμενος. Καλλισθένης δὲ τὸ δόξαι κακὸς οὐδ᾽ ἂν νῦν διαφύγοι, τοὺς γὰρ αὐτοὺς
131 ἐπαινέσας καὶ διαβαλὼν ἢ διέβαλεν, οὓς ἐνόμισεν
ἐπαίνων ἀξίους, ἢ ἐπῄνεσεν, οὓς ἐχρῆν διαβάλλοντα φαίνεσθαι, καὶ ἄλλως ὁ μὲν καθιστάμενος ἐς τὸ λοιδορεῖσθαι τοῖς ἀγαθοῖς ἀνδράσιν οὐκ ἔχει ἀποδρᾶναι τὸ μὴ οὐ δόξαι βάσκανος, ὁ δὲ τοὺς πονηροὺς κολακεύων ἐπαίνοις αὐτὸς ἀποίσεται τὴν αἰτίαν τῶν ἁμαρτηθέντων σφίσιν, οἱ γὰρ κακοὶ κακίους ἐπαινούμενοι. Διογένης δὲ πρὸ Χαιρωνείας μὲν εἰπὼν ταῦτα πρὸς τὸν Φίλιππον κἂν ἐφύλαξε τὸν ἄνδρα
καθαρὸν τῶν ἐπ᾽ Ἀθηναίους ὅπλων, εἰργασμένοις 282
δ᾽ ἐπιστὰς ὠνείδιζε μέν, οὐ μὴν διωρθοῦτο. Κράτης δὲ καὶ αἰτίαν ἂν λάβοι πρὸς ἀνδρὸς φιλοπόλιδος μὴ ξυναράμενος Ἀλεξάνδρῳ τῆς βουλῆς, ᾗ ἐς τὸ ἀνοικίσαι τὰς Θήβας ἐχρῆτο. Ἀπολλώνιος δὲ οὔθ᾽ ὑπὲρ πατρίδος κινδυνευούσης δείσας οὔτε τοῦ σώματος ἀπογνοὺς οὔτ᾽ ἐς ἀνοήτους ὑπαχθεὶς λόγους οὔθ᾽ ὑπὲρ Μυσῶν ἢ Γετῶν οὔτε πρὸς ἄνδρα, ὃς ἦρχε νήσου μιᾶς ἢ χώρας οὐ μεγάλης, ἀλλ᾽ ὑφ᾽ ᾧ θάλαττά τε ἦν καὶ γῆ πᾶσα, πρὸς τοῦτον, ἐπειδὴ πικρῶς ἐτυράννευε, παρέταττεν ἑαυτὸν ὑπὲρ τοῦ τῶν ἀρχομένων κέρδους, χρησάμενος μὲν τῇ διανοίᾳ ταύτῃ καὶ πρὸς Νέρωνα, ἡγείσθω δ᾽ οὖν τις ἀκρο-
IV βολισμοὺς ἐκεῖνα, ἐπεὶ μὴ ὁμόσε χωρῶν, ἀλλὰ τὸν Βίνδικα ἐπιρρωννὺς καὶ τὸν Τιγελλῖνον ἐκπλήττων σαθροτέραν τὴν τυραννίδα ἐποίει, καί τις ἀναφύεται

λόγος ἀλαζὼν ἐνταῦθα, ὡς οὐδὲν γενναῖον ἐπιθέσθαι Νέρωνι ψαλτρίας τινὸς ἢ αὐλητρίδος βίον ζῶντι· ἀλλὰ περί γε Δομετιανοῦ τί φήσουσιν; ὃς τὸ μὲν σῶμα ἔρρωτο, ἡδονὰς δὲ τὰς μὲν ἐξ ὀργάνων τε καὶ κτύπων τὰς τὸ θυμοειδὲς ἀπομαραινούσας παρῃτεῖτο, τὰ δὲ ἑτέρων ἄχη καὶ ὅ τι ὀλοφύραιτό τις, ἐς τὸ εὐφραῖνον εἷλκε, τὴν δ' ἀπιστίαν δήμων μὲν ἐκάλει πρὸς τοὺς τυράννους φυλακτήριον, τυράννων δὲ πρὸς πάντας, τὴν δὲ νύκτα πάντων μὲν ἔργων ἠξίου παύειν βασιλέα, φόνων δὲ ἄρχειν, ὅθεν ἠκρωτηριάσθη μὲν ἡ βουλὴ τοὺς εὐδοκιμωτάτους, φιλοσοφία δὲ οὕτω τι ἔπτηξεν, ὡς ἀποβαλόντες τὸ σχῆμα οἱ μὲν ἀποδρᾶναι σφῶν ἐς τὴν Κελτῶν ἑσπέραν, οἱ δὲ ἐς τὰ ἔρημα Λιβύης τε καὶ Σκυθίας, ἔνιοι δ' ἐς λόγους ἀπενεχθῆναι ξυμβούλους τῶν
283 ἁμαρτημάτων. ὁ δ', ὥσπερ τῷ Σοφοκλεῖ πεποίηται πρὸς τὸν Οἰδίπουν ὁ Τειρεσίας ὑπὲρ ἑαυτοῦ λέγων

οὐ γάρ τι σοὶ ζῶ δοῦλος, ἀλλὰ Λοξίᾳ,

οὕτω τὴν σοφίαν δέσποιναν πεποιημένος ἐλεύθερος ἦν τῆς Δομετιανοῦ φορᾶς τὰ Τειρεσίου τε καὶ Σοφοκλέους ἑαυτῷ ἐπιθεσπίσας καὶ δεδιὼς μὲν οὐδὲν ἴδιον, ἃ δὲ ἑτέρους ἀπώλλυ, ἐλεῶν, ὅθεν ξυνίστη ἐπ' αὐτὸν νεότητά τε, ὁπόσην ἡ βουλὴ εἶχε, καὶ ξύνεσιν, ὁπόση περὶ ἐνίους αὐτῶν ἑωρᾶτο, φοιτῶν ἐς τὰ ἔθνη καὶ φιλοσοφῶν πρὸς τοὺς ἡγεμόνας, ὡς οὔτε ἀθάνατος ἡ τῶν τυράννων ἰσχὺς αὐτῷ τε τῷ φοβεροὶ δοκεῖν ἁλίσκονται μᾶλλον. διῄει δὲ αὐτοῖς καὶ τὰ Παναθήναια τὰ Ἀττικά, ἐφ' οἷς Ἁρμόδιός τε καὶ Ἀριστογείτων ᾄδονται, καὶ τὸ ἀπὸ Φυλῆς ἔργον, ὃ καὶ τριάκοντα ὁμοῦ τυράννους εἷλε, καὶ τὰ Ῥωμαίων δὲ αὐτῶν διῄει πάτρια, ὡς κἀκεῖνοι δῆμος τὸ ἀρχαῖον ὄντες τὰς τυραννίδας ἐώθουν ὅπλοις.

V τραγῳδίας δὲ ὑποκριτοῦ παρελθόντος ἐς τὴν Ἔφεσον
ἐπὶ τῇ Ἰνοῖ τῷ δράματι καὶ ἀκροωμένου τοῦ τῆς
Ἀσίας ἄρχοντος, ὃς καίτοι νέος ὢν φανερὸς ἐν ὑπά-
τοις ἀτολμότερον ὑπὲρ τούτων διενοεῖτο, ὁ μὲν ὑπο-
κριτὴς ἐπέραινεν ἤδη τὰ ἰαμβεῖα, ἐν οἷς ὁ Εὐριπίδης
διὰ μακρῶν αὐξηθέντας τοὺς τυράννους ἁλίσκεσθαί
φησιν ὑπὸ μικρῶν, ἀναπηδήσας δὲ ὁ Ἀπολλώνιος
„ἀλλ' ὁ δειλὸς" ἔφη „οὗτος οὔτε Εὐριπίδου ξυν- 284
VI ίησιν οὔτε ἐμοῦ." καὶ μὴν καὶ λόγου ἀφικομένου,
ὡς λαμπρὰν κάθαρσιν εἴη Δομετιανὸς πεποιημένος
132 τῆς Ῥωμαίων Ἑστίας, ἐπειδὴ τρεῖς τῶν Ἑστιάδων
ἀπέκτεινεν ἐπ' αἰτίᾳ τῆς ζώνης καὶ τῷ μὴ καθαρεῦ-
σαι γάμων, ἃς ἁγνῶς τὴν Ἰλιάδα Ἀθηνᾶν καὶ τὸ
ἐκεῖ πῦρ θεραπεύειν ἔδει, „εἰ γὰρ καὶ σὺ" ἔφη
„καθαρθείης, Ἥλιε, τῶν ἀδίκων φόνων, ὧν πᾶσα ἡ
οἰκουμένη μεστὴ νῦν." καὶ οὐδὲ ἰδίᾳ ταῦτα, ὥσπερ
οἱ δειλοί, ἀλλ' ἐν τῷ ὁμίλῳ καὶ ἐς πάντας ἐκήρυττέ
VII τε καὶ ηὔχετο. ἐπεὶ δὲ Σαβῖνον ἀπεκτονὼς ἕνα τῶν
ἑαυτοῦ ξυγγενῶν Ἰουλίαν ἤγετο, ἡ δὲ Ἰουλία γυνὴ
μὲν ἦν τοῦ πεφονευμένου, Δομετιανοῦ δὲ ἀδελφιδῆ,
μία τῶν Τίτου θυγατέρων, ἔθυε μὲν ἡ Ἔφεσος τοὺς
γάμους, ἐπιστὰς δὲ τοῖς ἱεροῖς ὁ Ἀπολλώνιος „ὦ
νὺξ" ἔφη „τῶν πάλαι Δαναΐδων, ὡς μία ἦσθα."
VIII καὶ μὴν καὶ τὰ ἐν τῇ Ῥώμῃ ὧδε αὐτῷ ἐπράττετο·
ἀρχῇ πρέπειν ἐδόκει Νερούας, ἧς μετὰ Δομετιανὸν
σωφρόνως ἥψατο, ἦν δὲ καὶ περὶ Ὄρφιτόν τε καὶ
Ῥοῦφον ἡ αὐτὴ δόξα. τούτους Δομετιανὸς ἐπιβου-
λεύειν ἑαυτῷ φήσας οἱ μὲν ἐς νήσους καθείρχθησαν,
Νερούᾳ δὲ προσέταξεν οἰκεῖν Τάραντα. ὢν δὲ ἐπι-
τήδειος αὐτοῖς ὁ Ἀπολλώνιος τὸν μὲν χρόνον, ὃν 285
Τίτος ὁμοῦ τῷ πατρὶ καὶ μετὰ τὸν πατέρα ἦρχεν,
ἀεί τι ὑπὲρ σωφροσύνης ἐπέστελλε τοῖς ἀνδράσι

προσποιῶν αὐτοὺς τοῖς βασιλεῦσιν ὡς χρηστοῖς, Δο-
μετιανοῦ δέ, ἐπεὶ χαλεπὸς ἦν, ἀφίστη τοὺς ἄνδρας
καὶ ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας ἐρρώννυ. τὰς μὲν
δὴ ἐπιστολιμαίους ξυμβουλίας οὐκ ἀσφαλεῖς αὐτοῖς
ᾤετο, πολλοὺς γὰρ τῶν ἐν δυνάμει καὶ δοῦλοι προὔ-
δοσαν καὶ φίλοι καὶ γυναῖκες καὶ οὐδὲν ἀπόρρητον
ἐχώρησε τότε οἰκία, τῶν δὲ αὐτοῦ ἑταίρων τοὺς σω-
φρονεστάτους ἄλλοτε ἄλλον ἀπολαμβάνων „διάκο-
νον“ εἶπεν ἂν „ποιοῦμαί σε ἀπορρήτου λαμπροῦ·
βαδίσαι δὲ χρὴ ἐς τὴν Ῥώμην παρὰ τὸν δεῖνα καὶ
διαλεχθῆναί οἱ καὶ γενέσθαι πρὸς τὴν πειθὼ τοῦ
ἀνδρὸς πᾶν ὅ τι ἐγώ.“ ἐπεὶ δὲ ἤκουσεν, ὅτι φεύ-
γοιεν ὁρμῆς μὲν ἐνδειξάμενοί τι ἐπὶ τὸν τύραννον,
ὄκνῳ δ' ἐκπεσόντες ὧν διενοήθησαν, διελέγετο μὲν
ὑπὲρ Μοιρῶν καὶ ἀνάγκης περὶ τὸ νέμος τῆς Σμύρ-
νης, ἐν ᾧ ὁ Μέλης, εἰδὼς δὲ τὸν Νερούαν ὡς αὐ- IX
τίκα δὴ ἄρξοι, διῄει τὸν λόγον καὶ ὅτι μηδ' οἱ τύ-
ραννοι τὰ ἐκ Μοιρῶν οἷοι βιάζεσθαι, χαλκῆς τε
εἰκόνος ἱδρυμένης Δομετιανοῦ πρὸς τῷ Μέλητι, ἐπι-
στρέψας ἐς αὐτὴν τοὺς παρόντας „ἀνόητε,“ εἶπεν
„ὡς πολὺ διαμαρτάνεις Μοιρῶν καὶ ἀνάγκης· ᾧ
γὰρ μετὰ σὲ τυραννεῦσαι πέπρωται, τοῦτον κἂν ἀπο-
κτείνῃς, ἀναβιώσεται.“ ταῦτα ἐς Δομετιανὸν ἀφί-
κετο ἐκ διαβολῶν Εὐφράτου, καὶ ὑπὲρ ὅτου μὲν τῶν
ἀνδρῶν ἐχρησμῴδει αὐτά, οὐδεὶς ξυνίει, τιθέμενος
δὲ ὁ τύραννος εὖ τὸν ἑαυτοῦ φόβον ὥρμησεν ἀπο-
κτεῖναι τοὺς ἄνδρας· ὡς δὲ μὴ ἔξω λόγου πράττων
αὐτὸ φαίνοιτο, ἐκάλει τὸν Ἀπολλώνιον ἀπολογησό-
μενον ὑπὲρ τῶν πρὸς αὐτοὺς ἀπορρήτων· ἢ γὰρ
ἀφικομένου καταψηφισάμενος οὐδὲ ἀκρίτους ἀπε-
286 κτονέναι δόξειν, ἀλλ' ἐν ἐκείνῳ ἑαλωκότας, ἢ εἰ
σοφίᾳ τινὶ τοῦ φανεροῦ ὑπεξέλθοι, μᾶλλον ἤδη ἀπο-

λεῖσθαι σφᾶς ὡς κατεψηφισμένους καὶ ὑπὸ τοῦ κοινωνοῦ τῆς αἰτίας.

X *Διανοουμένου δὲ αὐτοῦ ταῦτα καὶ γράφοντος ἤδη πρὸς τὸν τῆς Ἀσίας ἄρχοντα, ὡς ξυλληφθείη τε καὶ ἀναχθείη, προεῖδε μὲν ὁ Τυανεὺς πάντα δαιμονίως τε καὶ ὥσπερ εἰώθει, πρὸς δὲ τοὺς ἑταίρους εἰπὼν δεῖσθαι ἀποδημίας ἀπορρήτου, τοὺς μὲν ἐσῆλθεν Ἀβάριδος τοῦ ἀρχαίου δόξα, καὶ ὅτι ἐς τοιόνδε τι ὡρμήκοι, ὁ δὲ οὐδὲ τῷ Δάμιδι τὸν ἑαυτοῦ νοῦν ἐκφήνας ἐς Ἀχαιοὺς ξὺν αὐτῷ ἔπλει, Κορίνθου δὲ ἐπιβὰς καὶ τῷ Ἡλίῳ περὶ μεσημβρίαν ὁπόσα εἰώθει*
133 *δράσας ἀφῆκεν ἐς τὸ Σικελῶν καὶ Ἰταλῶν ἔθνος ἅμα ἑσπέρᾳ. τυχὼν δὲ οὐρίου πνεύματος καί τινος εὐροίας ὑποδραμούσης τὸ πέλαγος ἀφίκετο ἐς Δικαιάρχιαν πεμπταῖος. Δημητρίῳ δὲ ἐντυχών, ὃς ἐδόκει θαρσαλεώτατος τῶν φιλοσόφων, ἐπεὶ μὴ πολὺ ἀπὸ τῆς Ῥώμης διῃτᾶτο, ξυνίει μὲν αὐτοῦ ἐξεστηκότος τῷ τυράννῳ, διατριβῆς δὲ ἕνεκα „εἴληφά σε“ εἶπε „τρυφῶντα καὶ τῆς εὐδαίμονος Ἰταλίας, εἰ δὴ εὐδαίμων, τὸ μακαριώτατον οἰκοῦντα, ἐν ᾧ λέγεται καὶ Ὀδυσσεὺς Καλυψοῖ ξυνὼν ἐκλαθέσθαι καπνοῦ Ἰθακησίου καὶ οἴκου.“ περιβαλὼν δ' αὐτὸν ὁ Δημήτριος καί τι καὶ ἐπευφημήσας „ὦ θεοί,“ ἔφη „τί πείσεται φιλοσοφία κινδυνεύουσα περὶ ἀνδρὶ τοιούτῳ;“ „κινδυνεύει δὲ“ εἶπε „τί;“ „ἅ γε,“ ἔφη „προειδὼς ἥκεις· εἰ γὰρ τὸν σὸν ἀγνοῶ νοῦν, οὐδὲ τὸν ἐμαυτοῦ οἶδα. διαλεγώμεθα δὲ μὴ ἐνταῦθα, ἀλλ' ἴωμεν οὗ μόνων ἡμῶν ἡ ξυνουσία ἔσται, παρατυγχανέτω δὲ καὶ ὁ Δάμις, ὃν ἐγώ, νὴ τὸν Ἡρακλέα,*
XI *Ἰόλεων ἡγοῦμαι τῶν σῶν ἄθλων.“ ἄγει δὲ αὐτοὺς εἰπὼν ταῦτα ἐς τὸ Κικέρωνος τοῦ παλαιοῦ χωρίον, ἔστι δὲ τοῦτο πρὸς τῷ ἄστει. ἱζησάντων δὲ ὑπὸ* 287

πλατάνῳ οἱ μὲν τέττιγες ὑποψαλλούσης αὐτοὺς τῆς αὔρας ἐν ᾠδαῖς ἦσαν, ἀναβλέψας δὲ ἐς αὐτοὺς ὁ Δημήτριος „ὦ μακάριοι“ ἔφη „καὶ ἀτεχνῶς σοφοί, ὡς ἐδίδαξάν τε ὑμᾶς ᾠδὴν ἄρα Μοῦσαι μήπω ἐς δίκας ἢ διαβολὰς ὑπαχθεῖσαν, γαστρός τε κρείττους ἐποίησαν καὶ ἀνῴκισαν τοῦ ἀνθρωπείου φθόνου ἐς ταυτὶ τὰ δένδρα, ἐφ' ὧν ὄλβιοι τὴν ἐφ' ὑμῶν τε καὶ Μουσῶν εὐδαιμονίαν ᾄδετε.“ ὁ δὲ Ἀπολλώνιος ξυνίει μέν, οἷ τείνει ταῦτα, διαβαλὼν δ' αὐτὰ ὡς ἀργότερα τῆς ἐπαγγελίας, „εἶτα“ εἶπε „τεττίγων βουληθεὶς διελθεῖν ἔπαινον οὐκ ἐς τὸ φανερὸν διῄεις αὐτόν, ἀλλ' ἐνταῦθα πτήξας, ὥσπερ δημοσίᾳ κειμένου νόμου μηδένα ἐπαινεῖν τέττιγας;“ „οὐχ ὑπὲρ ἐπαίνου“ ἔφη „ταῦτα εἶπον, ἀλλ' ἐνδεικνύμενος, ὅτι τούτοις μὲν ἀνεῖται τὰ αὐτῶν μουσεῖα, ἡμῖν δὲ οὐδὲ γρύξαι συγγνώμη, ἀλλ' ἔγκλημα ἡ σοφία εὕρηται, καὶ ἡ μὲν Ἀνύτου καὶ Μελήτου γραφὴ „Σωκράτης“ φησὶν „ἀδικεῖ διαφθείρων τοὺς νέους καὶ δαιμόνια καινὰ ἐπεσάγων, ἡμᾶς δὲ οὑτωσὶ γράφονται· ἀδικεῖ ὁ δεῖνα σοφὸς ὢν καὶ δίκαιος καὶ ξυνιεὶς μὲν θεῶν, ξυνιεὶς δὲ ἀνθρώπων, νόμων τε πέρι πολλὰ εἰδώς. σὺ δ', ὅσῳ περ ἡμῶν σοφώτατος, τοσούτῳ σοφωτέρα κατηγορία ἐπὶ σὲ εὕρηται· βούλεται γάρ σε Δομετιανὸς μετέχειν τῶν ἐγκλημάτων, ἐφ' οἷς Νερούας τε καὶ οἱ ξὺν αὐτῷ φεύγουσι.“ „φεύγουσι δ'“ ἦδ' ὃς „ἐπὶ τῷ;“ „ἐπὶ τῇ μεγίστῃ γε“ ἔφη „τῶν νῦν αἰτιῶν, ὡς δοκεῖ τῷ διώκοντι· φησὶ γὰρ αὐτοὺς ἐπὶ τὴν ἀρχὴν τὴν αὐτοῦ πηδῶντας ἡρηκέναι, σὲ δὲ ἐξορμῆσαι τοὺς ἄνδρας ἐς ταῦτα παῖδα, οἶμαι, τεμόντα.“ „μῶν“ ἔφη „ὡς ὑπ' εὐνούχου ἡ ἀρχὴ καταλυθείη;“ „οὐ τοῦτο“ ἔφη „συκοφαντούμεθα, φασὶ δ', ὡς παῖδα θύσαις ὑπὲρ μαν-

δὲ καίτοι μουσικὴν ἀγωνίαν καταστησάμενος ἐνταῦθα καὶ στεφανῶν δημοσίᾳ τοὺς νικῶντας ἔστιν οὓς καὶ ἀπέκτεινεν αὐτῶν, ὕστατά φασι μουσικὴν ἀγωνίαν αὐλήσαντάς τε καὶ ᾄσαντας. βουλευτέα δέ σοι καὶ ὑπὲρ τῶν ἀνδρῶν, προσαπολεῖς γὰρ κἀκείνους ἢ θρασὺς δόξας ἢ εἰπών, ἃ μὴ πείσεις. ἡ σωτηρία δέ σοι παρὰ πόδα· τῶν γὰρ νεῶν τούτων, πολλαὶ δ', ὡς ὁρᾷς, εἰσίν, αἱ μὲν ἐς Λιβύην ἀφήσουσιν, αἱ δ' ἐς Αἴγυπτον, αἱ δ' ἐς Φοινίκην καὶ Κύπρον, αἱ δ' εὐθὺ Σαρδοῦς, αἱ δ' ὑπὲρ Σαρδώ· μιᾶς ἐπιβάντι σοι κομίζεσθαι κράτιστον ἐς ὁτιδὴ τῶν ἐθνῶν τούτων, αἱ γὰρ τυραννίδες ἧττον χαλεπαὶ τοῖς φανεροῖς τῶν ἀνδρῶν, ἢν ἐπαινοῦντας αἴσθωνται τὸ μὴ ἐν φανερῷ ζῆν."

135 *Ἡττηθεὶς δ' ὁ Δάμις τῶν τοῦ Δημητρίου λόγων „ἀλλὰ σύ γε" ἔφη „φίλος ἀνδρὶ παρὼν γένοιο ἂν ἀγαθόν τι τούτῳ μέγα, ἐμοῦ γὰρ σμικρὸς λόγος, εἰ ξυμβουλεύοιμι αὐτῷ μὴ κυβιστᾶν ἐς ὀρθὰ ξίφη, μηδ' ἀναρριπτεῖν πρὸς τυραννίδα, ἧς οὐ χαλεπωτέρα ἐνομίσθη. τῆς γοῦν ὁδοῦ τῆς ἐνταῦθα, εἰ μή σοι ξυνέτυχον, οὐδὲ τὸν νοῦν ἐγίγνωσκον, ἕπομαι μὲν γὰρ αὐτῷ θᾶττον ἢ ἑαυτῷ τις, εἰ δὲ ἔροιό με, ποῖ πλέω ἢ ἐφ' ὅ τι, καταγέλαστος ἐγὼ τοῦ πλοῦ Σικελικὰ μὲν πελάγη καὶ Τυρρηνοὺς κόλπους ἀναμετρῶν, οὐκ εἰδὼς δέ, ὑπὲρ ὅτου. καὶ εἰ μὲν ἐκ προρρήσεως ἐκινδύνευον, εἶχον ἂν πρὸς τοὺς ἐρωτῶντας λέγειν, ὡς Ἀπολλώνιος μὲν θανάτου ἐρᾷ, ἐγὼ δ' ἀντεραστὴς ξυμπλέω, ἐπεὶ δ' οὐδὲν οἶδα, ἐμὸν ἤδη λέγειν, ὑπὲρ ὧν οἶδα, λέξω δὲ αὐτὸ ὑπὲρ* 291
τοῦ ἀνδρός· εἰ μὲν γὰρ ἐγὼ ἀποθάνοιμι, οὔπω δεινὰ φιλοσοφία πείσεται, σκευοφόρῳ γὰρ εἴκασμαι στρατιώτου γενναίου λόγου ἀξιούμενος, ὅτι τοιῷδε ἑπο-

μαι, εἰ δὲ ἔσται τις, ὃς ἀποκτενεῖ τοῦτον, εὔποροι δ' αἱ τυραννίδες τὰ μὲν ξυνθεῖναι, τὰ δὲ ἐξᾶραι, τρόπαιον μὲν οἶμαι κατὰ φιλοσοφίας ἑστήξει σφαλείσης περὶ τῷ ἄριστα ἀνθρώπων φιλοσοφήσαντι, πολλοὶ δὲ Ἄνυτοι καθ' ἡμῶν καὶ Μέλητοι, γραφαὶ δ' αἱ μὲν ἔνθεν, αἱ δὲ ἐκεῖθεν ἐπὶ τοὺς Ἀπολλωνίῳ ξυγγενομένους, ὡς ὁ μέν τις ἐγέλασε καθαπτομένου τῆς τυραννίδος, ὁ δ' ἐπέρρωσε λέγοντα, ὁ δ' ἐνέδωκε λέξαι τι, ὁ δ' ἀπῆλθε ξὺν ἐπαίνῳ ὧν ἤκουσεν. ἐγὼ δ' ἀποθνήσκειν μὲν ὑπὲρ φιλοσοφίας οὕτω φημὶ δεῖν, ὡς ὑπὲρ ἱερῶν καὶ τειχῶν καὶ τάφων, ὑπὲρ σωτηρίας γὰρ τῶν τοιῶνδε πολλοὶ καὶ ὀνομαστοὶ ἄνδρες ἀποθανεῖν ἠσπάζοντο, ὡς δὲ ἀπολέσθαι φιλοσοφίαν μήτε ἐγὼ ἀποθάνοιμι μήτε ὅστις ἐκείνης τι καὶ Ἀπολλωνίου ἐρᾷ."

Πρὸς ταῦτα ὁ Ἀπολλώνιος „Δάμιδι μὲν ὑπὲρ τῶν παρόντων εὐλαβῶς διειλεγμένῳ ξυγγνώμην" ἔφη „προσήκει ἔχειν, Ἀσσύριος γὰρ ὢν καὶ Μήδοις προσοικήσας, οὗ τὰς τυραννίδας προσκυνοῦσιν, οὐδὲν ὑπὲρ ἐλευθερίας ἐνθυμεῖται μέγα, σὺ δ' οὐκ οἶδ' ὅ τι πρὸς φιλοσοφίαν ἀπολογήσῃ, φόβους ὑποτιθείς, ὧν, εἴ τι καὶ ἀληθὲς ἐφαίνετο, ἀπάγειν ἐχρῆν μᾶλλον ἢ ἔσω καθιστάναι τοῦ φοβεῖσθαι τὸν μηδ' ἃ παθεῖν εἰκὸς ἦν δεδιότα. σοφὸς δ' ἀνὴρ ἀποθνησκέτω μὲν ὑπὲρ ὧν εἶπας, ἀποθάνοι δ' ἄν τις ὑπὲρ τούτων καὶ μὴ σοφός, τὸ μὲν γὰρ ὑπὲρ ἐλευθερίας ἀποθνήσκειν νόμῳ προστέτακται, τὸ δ' ὑπὲρ ξυγγενείας ἢ φίλων ἢ παιδικῶν φύσις ὥρισε, δουλοῦται δὲ ἅπαντας ἀνθρώπους φύσις καὶ νόμος, φύσις μὲν καὶ ἑκόντας, νόμος δὲ ἄκοντας· σοφοῖς δὲ οἰκειότερον τελευτᾶν ὑπὲρ ὧν ἐπετήδευσαν· ἃ γὰρ μὴ νόμου ἐπιτάξαντος, μηδὲ φύσεως ξυντεκούσης αὐτοὶ ὑ-

ῥώμης τε καὶ θράσους ἐμελέτησαν, ὑπὲρ τούτων, εἰ
καταλύοι τις αὐτά, ἴτω μὲν πῦρ ἐπὶ τὸν σοφόν, ἴτω
δὲ πέλεκυς, ὡς νικήσει αὐτὸν οὐδὲν τούτων, οὐδὲ 292
ἐς ὁτιοῦν περιελᾷ ψεῦδος, καθέξει δέ, ὁπόσα οἶδε,
μεῖον οὐδὲν ἢ ἃ ἐμυήθη. ἐγὼ δὲ γιγνώσκω μὲν
πλεῖστα ἀνθρώπων, ἅτε εἰδὼς πάντα, οἶδα δὲ ὧν
οἶδα τὰ μὲν σπουδαίοις, τὰ δὲ σοφοῖς, τὰ δὲ ἐμαυτῷ,
τὰ δὲ θεοῖς, τυράννοις δὲ οὐδέν. ὡς δὲ οὐχ ὑπὲρ
ἀνοήτων ἥκω, σκοπεῖν ἔξεστιν· ἐγὼ γὰρ περὶ μὲν
τῷ ἐμαυτοῦ σώματι κινδυνεύω οὐδέν, οὐδ' ἀπο-
θάνοιμ' ἂν ὑπὸ τῆς τυραννίδος, οὐδ' εἰ αὐτὸς βου-
λοίμην, ξυνίημι δὲ κινδυνεύων περὶ τοῖς ἀνδράσιν,
ὧν εἴτε ἀρχὴν εἴτε προσθήκην ποιεῖταί με ὁ τύραν-
νος, εἰμὶ πᾶν ὅ τι βούλεται. εἰ δὲ προὐδίδουν σφᾶς
ἢ βραδύνων ἢ βλακεύων πρὸς τὴν αἰτίαν, τίς ἂν
136 τοῖς σπουδαίοις ἔδοξα; τίς δ' οὐκ ἂν ἀπέκτεινέ με
εἰκότως, ὡς παίζοντα ἐς ἄνδρας, οἷς, ἃ παρὰ τῶν
θεῶν ᾔτουν, ἀνετέθη; ὅτι δ' οὐκ ἦν μοι διαφυγεῖν
τὸ μὴ οὐ προδότης δόξαι, δηλῶσαι βούλομαι· τυραν-
νίδων ἤθη διττά, αἱ μὲν γὰρ ἀκρίτους ἀποκτείνου-
σιν, αἱ δὲ ὑπαχθέντας δικαστηρίοις, ἐοίκασι δ' αἱ
μὲν τοῖς θερμοῖς τε καὶ ἑτοίμοις τῶν θηρίων, αἱ δὲ
τοῖς μαλακωτέροις τε καὶ ληθάργοις. ὡς μὲν δὴ χα-
λεπαὶ ἄμφω, δῆλον πᾶσι παράδειγμα ποιουμένοις
τῆς μὲν ὁρμώσης καὶ ἀκρίτου Νέρωνα, τῆς δὲ ὑπο-
καθημένης Τιβέριον, ἀπώλλυσαν γὰρ ὁ μὲν οὐδ'
οἰηθέντας, ὁ δ' ἐκ πολλοῦ δείσαντας. ἐγὼ δ' ἡγοῦ-
μαι χαλεπωτέρας τὰς δικάζειν προσποιουμένας καὶ
ψηφίζεσθαί τι ὡς ἐκ τῶν νόμων, πράττουσι μὲν γὰρ
κατ' αὐτοὺς οὐδέν, ψηφίζονται δ', ἅπερ οἱ μηδὲν
κρίναντες, ὄνομα τῷ διατρίβοντι τῆς ὀργῆς θέμενοι 293
νόμον, τὸ δ' ἀποθνήσκειν κατεψηφισμένους ἀφαι-

ρεῖται τοὺς ἀθλίους καὶ τὸν παρὰ τῶν πολλῶν ἔλεον, ὃν ὥσπερ ἐντάφιον χρὴ ἐπιφέρειν τοῖς ἀδίκως ἀπελθοῦσι. δικαστικὸν μὲν δὴ τὸ τῆς τυραννίδος ταύτης ὁρῶ σχῆμα, τελευτᾶν δέ μοι δοκεῖ ἐς ἄκριτον, ὧν γὰρ πρὶν ἢ δικάσαι κατεψηφίσατο, τούτους ὡς μήπω δεδικασμένους ὑπάγει τῇ κρίσει, καὶ ὁ μὲν ψήφῳ ἁλοὺς ἐν αὐτῇ δῆλον ὡς ὑπὸ τοῦ μὴ κατὰ νόμους κρίναντος ἀπολωλέναι φησίν, ὁ δ' ἐκλιπὼν τὸ δικάσασθαι πῶς ἂν διαφύγοι τὸ μὴ οὐκ ἐφ' ἑαυτὸν ἐψηφίσθαι; τὸ δὲ καὶ τοιῶνδε ἀνδρῶν κειμένων ἐπ' ἐμοὶ νῦν ἀποδρᾶναι τὸν ἐμαυτοῦ τε κἀκείνων ἀγῶνα ποῖ με τῆς γῆς ἐάσει καθαρὸν δόξαι; ἔστω γὰρ σὲ μὲν εἰρηκέναι ταῦτα, ἐμὲ δὲ (ὡς) ὀρθῶς εἰρημένοις πείθεσθαι, τοὺς δὲ ἀπεσφάχθαι, τίς μὲν ὑπὲρ εὐπλοίας εὐχὴ τῷ τοιῷδε; ποῖ δὲ ὁρμιεῖται; πορεύσεται δὲ παρὰ τίνα; ἐξαλλάττειν γὰρ χρὴ οἶμαι πάσης, ὁπόσης Ῥωμαῖοι ἄρχουσι, παρ' ἄνδρας δὲ ἥκειν ἐπιτηδείους τε καὶ μὴ ἐν φανερῷ οἰκοῦντας, τουτὶ δ' ἂν Φραώτης τε εἴη καὶ ὁ Βαβυλώνιος καὶ Ἰάρχας ὁ θεῖος καὶ Θεσπεσίων ὁ γενναῖος. εἰ μὲν δὴ ἐπ' Αἰθιόπων στελλοίμην, τί ἄν, ὦ λῷστε, πρὸς Θεσπεσίωνα εἴποιμι; εἴτε γὰρ κρύπτοιμι ταῦτα, ψευδολογίας ἐραστὴς δόξω, μᾶλλον δὲ δοῦλος, εἴτε ἐς ἀπαγγελίαν αὐτῶν ἴοιμι, τοιῶνδέ που δεήσει λόγων· ἐμέ, ὦ Θεσπεσίων, Εὐφράτης πρὸς ὑμᾶς διέβαλεν, ἃ μὴ ἐμαυτῷ ξύνοιδα· ὁ μὲν γὰρ κομπαστὴν ἔφη καὶ τερατώδη με εἶναι καὶ ὑβριστὴν σοφίας, ὁπόση Ἰνδῶν, ἐγὼ δὲ ταυτὶ μὲν οὐκ εἰμί, προδότης δὲ τῶν
294 ἐμαυτοῦ φίλων καὶ σφαγεὺς καὶ οὐδὲν πιστὸν καὶ τὰ τοιαῦτά εἰμι, στέφανόν τε ἀρετῆς, εἴ τις, στεφανωσόμενος ἥκω τοῦτον, ἐπειδὴ τοὺς μεγίστους τῶν κατὰ τὴν Ῥώμην οἴκων οὕτως ἀνεῖλον, ὡς μηδὲ

οἰκήσεσθαι αὐτοὺς ἔτι. ἐρυθριᾷς, Δημήτριε, τούτων ἀκούων, ὁρῶ γάρ. τί οὖν, εἰ καὶ Φραώτην ἐνθυμηθείης κἀμὲ παρὰ τὸν ἄνδρα τοῦτον ἐς Ἰνδοὺς φεύγοντα, πῶς μὲν ἂν ἐς αὐτὸν βλέψαιμι; τί δ' ἂν εἴποιμι ὑπὲρ ὧν φεύγω; μῶν ὡς ἀφικόμην μὲν καλὸς κἀγαθὸς πρότερον καὶ τὸν θάνατον τὸν ὑπὲρ φίλων οὐκ ἄθυμος, ἐπεὶ δὲ ξυνεγενόμην αὐτῷ, τὸ θειότατον τουτὶ τῶν κατὰ ἀνθρώπους ἄτιμον ἔρριψά σοι; ὁ δὲ Ἰάρχας οὐδὲ ἐρήσεται οὐδὲν ἥκοντα, ἀλλ' ὥσπερ ὁ Αἴολός ποτε τὸν Ὀδυσσέα κακῶς χρησάμενον τῷ τῆς εὐπλοίας δώρῳ ἄτιμον ἐκέλευσε χωρεῖν τῆς νήσου, κἀμὲ δήπου ἀπελᾷ τοῦ ὄχθου, κακὸν εἰπὼν ἐς τὸ Ταντάλειον γεγονέναι πῶμα, βούλονται γὰρ τὸν ἐς αὐτὸ κύψαντα καὶ κινδύνων κοινωνεῖν τοῖς φίλοις. οἶδα, ὡς δεινὸς εἶ, Δημήτριε, λόγους ξυντεμεῖν πάντας, ὅθεν μοι δοκεῖς καὶ τοιοῦτό τι ἐρεῖν πρός με· ἀλλὰ μὴ παρὰ τούτους ἴθι, παρ' ἄνδρας δέ, οἷς μήπω ἐπέμιξας, καὶ εὖ κείσεταί σοι τὸ ἀποδρᾶναι, ῥᾷον γὰρ ἐν οὐκ εἰδόσι λήσῃ. βασανιζέσθω δὲ καὶ ὅδε ὁ λόγος, ὅπῃ τοῦ πιθανοῦ ἔχει·
137 δοκεῖ γάρ μοι περὶ αὐτοῦ τάδε· ἐγὼ ἡγοῦμαι τὸν σοφὸν μηδὲν ἰδίᾳ μηδ' ἐφ' ἑαυτοῦ πράττειν, μηδ' ἂν ἐνθυμηθῆναί τι οὕτως ἀμάρτυρον, ὡς μὴ αὐτὸν γοῦν ἑαυτῷ παρεῖναι, καὶ εἴτε Ἀπόλλωνος αὐτοῦ τὸ Πυθοῖ γράμμα, εἴτε ἀνδρὸς ὑγιῶς ἑαυτὸν γνόντος καὶ διὰ τοῦτο γνώμην αὐτὸ ποιουμένου ἐς πάντας, δοκεῖ μοι ὁ σοφὸς ἑαυτὸν γιγνώσκων καὶ παραστάτην ἔχων τὸν ἑαυτοῦ νοῦν μήτ' ἂν πτῆξαί τι ὧν οἱ πολλοί, μήτ' ἂν θαρσῆσαί τι ὧν ἕτεροι μὴ ξὺν αἰσχύνῃ ἅπτονται· δοῦλοι γὰρ τῶν τυραννίδων 295
ὄντες καὶ προδοῦναι αὐταῖς ποτε τοὺς φιλτάτους ὥρμησαν, τὰ μὲν μὴ φοβερὰ δείσαντες, ἃ δὲ χρὴ

δεῖσαι μὴ φοβηθέντες. σοφία δὲ οὐ ξυγχωρεῖ ταῦτα· πρὸς γὰρ τῷ Πυθικῷ ἐπιγράμματι καὶ τὸ τοῦ Εὐριπίδου ἐπαινεῖ ξύνεσιν ἡγουμένου περὶ τοὺς ἀνθρώπους εἶναι τὴν ἀπολλῦσαν αὐτοὺς (νόσον), ἐπειδὰν ἐνθυμηθῶσιν, ὡς κακὰ εἰργασμένοι εἰσίν. ἥδε γάρ που καὶ τῷ Ὀρέστῃ τὰ τῶν Εὐμενίδων εἴδη ἀνέγραφεν, ὅτε δὴ ἐμαίνετο ἐπὶ τῇ μητρί, νοῦς μὲν γὰρ τῶν πρακτέων κύριος, σύνεσις δὲ τῶν ἐκείνῳ δοξάντων. ἢν μὲν δὴ χρηστὰ ἕληται ὁ νοῦς, πέμπει ἤδη τὸν ἄνδρα ἡ ξύνεσις ἐς πάντα μὲν ἱερά, πάσας δὲ ἀγυιάς, πάντα δὲ τεμένη, πάντα δὲ ἀνθρώπων ἤθη κροτοῦσά τε καὶ ᾄδουσα, ἐφυμνήσει δὲ αὐτῷ καὶ καθεύδοντι, παριστᾶσα χορὸν εὔφημον ἐκ τοῦ τῶν ὀνείρων δήμου, ἢν δ' ἐς φαῦλα ὀλίσθῃ ἡ τοῦ νοῦ στάσις, οὐκ ἐᾷ τοῦτον ἡ ξύνεσις οὔτε ὄμμα ὀρθὸν ἐς ἀνθρώπων τινὰ ἀφεῖναι οὔτε τὸ ἀπ' ἐλευθέρας γλώττης φθέγμα, ἱερῶν τε ἀπελαύνει καὶ τοῦ εὔχεσθαι, οὐδὲ γὰρ χεῖρα αἴρειν ξυγχωρεῖ ἐς τὰ ἀγάλματα, ἀλλ' ἐπικόπτει αἴροντας, ὥσπερ τοὺς ἐπανατεινομένους οἱ νόμοι, ἐξίστησι δὲ αὐτοὺς καὶ ὁμίλου παντὸς καὶ δειματοῖ καθεύδοντας, καὶ ἃ μὲν ὁρῶσι μεθ' ἡμέραν καὶ εἰ δή τινα ἀκούειν ἢ λέγειν οἴονται, ὀνειρώδη καὶ ἀνεμιαῖα ποιεῖ τούτοις, τὰς δὲ ἀμυδρὰς καὶ φαντασιώδεις πτοίας ἀληθεῖς ἤδη καὶ πιθανὰς τῷ φόβῳ. ὡς μὲν δὴ ἐλέγξει με ἡ σύνεσις ἐς εἰδότας τε καὶ μὴ εἰδότας ἥκοντα, προδότης εἰ γενοίμην τῶν ἀνδρῶν, δεδεῖχθαί μοι σαφῶς οἶμαι καὶ ὡς φαίνει ἀλήθεια, προδώσω δὲ οὐδὲ ἐμαυτόν, ἀλλ' ἀγωνιοῦμαι πρὸς τὸν τύραννον, τὸ τοῦ γενναίου Ὁμήρου ἐπειπών· ξυνὸς Ἐνυάλιος."

296 Ὑπὸ τούτων ὁ Δάμις τῶν λόγων αὐτὸς μὲν XV
οὕτω διατεθῆναί φησιν, ὡς ὁρμήν τε ἀναλαβεῖν καὶ

ἱστορίαν τῆς κρήνης· ἐν γὰρ τῇ νήσῳ ἀνύδρῳ οὔσῃ πρότερον εὕρημα Μουσωνίου κρήνη ἐγένετο, ἣν ᾄδουσιν Ἕλληνες, ὅσα Ἑλικῶνι τὴν τοῦ ἵππου."

XVII τούτοις μὲν δὴ διῆγεν ὁ Αἰλιανὸς τὸν βασιλέα, πρὶν 298
ἥκειν Ἀπολλώνιον, ἀφικομένου δὲ σοφωτέρων ἥπτετο, κελεύει μὲν γὰρ ξυλληφθέντα αὐτὸν ἀναχθῆναί οἱ, λοιδορουμένου δ' αὐτῷ τοῦ τὴν κατηγορίαν ξυνθέντος ὡς γόητι καὶ ἱκανῷ τὴν τέχνην ὁ μὲν Αἰλιανὸς „τῷ βασιλείῳ δικαστηρίῳ" ἔφη „σαυτόν τε καὶ τὰ τούτου φύλαττε," ὁ δ' Ἀπολλώνιος „εἰ μὲν γόης" ἔφη „ἐγώ, πῶς κρίνομαι; εἰ δὲ κρίνομαι, πῶς γόης εἰμί; εἰ μὴ ἄρα τὸ συκοφαντεῖν ἰσχυρὸν οὕτως εἶναί φησιν, ὡς μηδὲ τῶν γοητευόντων ἡττᾶσθαι αὐτό." βουλομένου δὲ τοῦ κατηγόρου λέγειν τι ἀμαθέστερον, ἐκκρούων αὐτὸν ὁ Αἰλιανὸς „ἐμοὶ" εἶπεν „ἄφες τὸν καιρὸν τὸν πρὸ τῆς δίκης, ἔλεγχον γὰρ ποιήσομαι τῆς τοῦ σοφιστοῦ γνώμης ἰδίᾳ καὶ οὐκ ἐν ὑμῖν, κἂν μὲν ὁμολογῇ ἀδικεῖν, ξυντετμήσονταί οἱ ἐν τῷ δικαστηρίῳ λόγοι καὶ σὺ ἄπει εἰρηνικῶς, εἰ δὲ ἀντιλέγει, δικάσει ὁ βασιλεύς." παρελθὼν οὖν ἐς τὸ ἀπόρρητον δικαστήριον, ἐν ᾧ τὰ μεγάλα καὶ ἐλέγχεται καὶ
σιωπᾶται „χωρεῖτε" ἔφη „ἐνθένδε καὶ μηδεὶς ἐπα-
XVIII κροάσθω, δοκεῖ γὰρ τῷ βασιλεῖ τοῦτο." ὡς δὲ ἐγέ-
139 νοντο αὐτοί, „ἐγώ," ἔφη „ὦ Ἀπολλώνιε, μειράκιον
ἦν κατὰ τοὺς χρόνους, οὓς ὁ πατὴρ τοῦ βασιλέως ἐπ' Αἴγυπτον ἦλθε τοῖς μὲν θεοῖς θύσων, χρησόμενος δ' ὑπὲρ τῶν ἑαυτοῦ σοί, καὶ χιλίαρχον μὲν ὁ βασιλεὺς ἦγεν ἤδη τῶν πολεμικῶν εἰδότα, σὺ δ' οὕτω τι μοι ἐπιτηδείως εἶχες, ὡς χρηματίζοντος τοῦ βασιλέως ταῖς πόλεσιν ἀπολαβών με ἰδίᾳ ποδαπός τε εἴην λέγειν καὶ ὅ τι μοι τὸ ὄνομα καὶ ὡς ἔχω τοῦ πατρός, προὔλεγες δέ μοι καὶ τὴν ἀρχὴν ταύτην, ἣ

τοῖς μὲν πολλοῖς μεγίστη δοκεῖ καὶ μείζων ἢ πάντα ὁμοῦ τὰ ἀνθρώπων, ἐμοὶ δὲ ὄχλος καὶ κακοδαιμονία φαίνεται, τυραννίδος γὰρ φύλαξ χαλεπῆς εἰμι, κἂν μὲν σφήλω αὐτήν, δέδοικα τὰ ἐκ τῶν θεῶν, σοὶ δ' ὅπως εὔνους εἰμί, δεδήλωκα, ὁ γὰρ εἰπὼν ἀφ' ὧν εἴρηκά που τὸ μηδ' ἂν παύσασθαί σε ἀγαπῶν, ἔστ'
299 *ἂν ᾖ τὸ ἐκείνων μεμνῆσθαι * * τὸ δὲ ἰδίᾳ ἐθελῆσαι ἐρέσθαι σε, ὑπὲρ ὧν ὁ κατήγορος ξυντέθεικε, σόφισμα οὐ φαῦλον ὑπὲρ ξυνουσίας ἐμοὶ τῆς πρὸς σὲ γέγονεν, ὅπως θαρροίης μὲν τὰ ἐπ' ἐμοὶ ὄντα, προγνοίης δὲ τὰ ἐπὶ τῷ βασιλεῖ· ὅ τι μὲν γὰρ ψηφιεῖται ἐπὶ σοί, οὐκ οἶδα, διάκειται δέ, ὥσπερ οἱ καταψηφίσασθαι μὲν ἐπιθυμοῦντες, αἰσχυνόμενοι δὲ τὸ μὴ ἐπ' ἀληθέσι, καὶ πρόφασιν ἀπωλείας ἀνδρῶν ὑπάτων ποιεῖταί σε, βούλεται μὲν γάρ, ἃ μὴ δεῖ, πράττει δ' αὐτὰ καταρρυθμίζων ἐς τὴν τοῦ δικαίου δόξαν. δεῖ δὴ κἀμοὶ πλάσματος καὶ ὁρμῆς ἐπὶ σέ, εἰ γὰρ ὑπόψεταί με ὡς ἀνιέντα, οὐκ οἶδ' ὁπότερος ἡμῶν ἀπολεῖται θᾶττον.“ πρὸς ταῦτα ὁ Ἀπολλώνιος* XIX
*„ἐπεὶ ὑγιῶς“ ἔφη „διαλεγόμεθα καὶ ὁπόσα καρδία ἴσχει σύ τε εἴρηκας ἐμοί τε εἰπεῖν δίκαιον, φιλοσοφεῖς τε ὑπὲρ τῶν σεαυτοῦ πραγμάτων, ὡς οἱ σφόδρα μοι ξυνδιατρίψαντες, καί, νὴ Δία, οὕτω φιλανθρώπως πρὸς ἡμᾶς ἔχεις, ὡς ξυγκινδυνεύειν * ἡγεῖσθαί μοι, λέξω τὸν ἐμαυτοῦ νοῦν· ἐμοὶ γὰρ ἀποδρᾶναι μὲν ἦν ὑμᾶς ἐς πολλὰ μέρη τῆς γῆς, ἃ μὴ ὑμῶν ἀκροᾶται, παρ' ἄνδρας τε ἀφικέσθαι σοφοὺς καὶ σοφωτέρους ἢ ἐγώ, θεούς τε θεραπεύειν ξὺν ὀρθῷ λόγῳ βαδίσαντι ἐς ἤθη ἀνθρώπων θεοφιλεστέρων ἢ οἱ ἐνταῦθα, παρ' οἷς οὔτε ἔνδειξις οὔτε γραφὴ οὐδεμία, δι' αὐτὸ γὰρ τὸ μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι δικαστηρίων οὐ δέονται, δείσας δὲ προδότου λαβεῖν*

αἰτίαν, εἰ φύγοιμι μὲν αὐτὸς τὴν ἀπολογίαν, ἀπό-
λοιντο δὲ οἱ δι' ἐμοῦ κινδυνεύοντες, ἥκω ἀπολογη-
σόμενος. ὑπὲρ δὲ ὧν ἀπολογεῖσθαί με δεῖ, φράζε."
XX „αἱ μὲν ἰδέαι τῆς γραφῆς ποικίλαι τε" ἔφη „καὶ
πλείους, καὶ γὰρ τὴν ἐσθῆτα διαβάλλουσι καὶ τὴν
ἄλλην δίαιταν καὶ τό ἐστιν ὑφ' ὧν προσκυνεῖσθαί 300
σε καὶ τὸ ἐν Ἐφέσῳ ποτὲ ὑπὲρ λοιμοῦ χρῆσαι, διει-
λέχθαι δὲ καὶ κατὰ τοῦ βασιλέως τὰ μὲν ἀφανῶς,
τὰ δ' ἐκφάνδην, τὰ δ' ὡς θεῶν ἀκούσαντα, τὸ δὲ
ἐμοὶ μὲν ἀπιθανώτατον, γιγνώσκω γάρ, ὅτι μηδὲ τὸ
τῶν ἱερῶν αἷμα ἀνέχῃ, τῷ δὲ βασιλεῖ πιθανώτατον
διαβάλλεται· φασὶν ἐς ἀγρὸν βαδίσαντά σε παρὰ
Νερούαν τεμεῖν αὐτῷ παῖδα Ἀρκάδα θυομένῳ ἐπὶ
τὸν βασιλέα καὶ ἐπᾶραι αὐτὸν τοῖς ἱεροῖς τούτοις,
πεπρᾶχθαι δὲ ταῦτα νύκτωρ φθίνοντος ἤδη τοῦ μη-
νός. τοῦτο δὲ τὸ κατηγόρημα, ἐπειδὴ πολλῷ μεῖζον,
μὴ ἕτερόν τι παρ' ἐκεῖνο ἡγώμεθα, ὁ γὰρ λαμβανό-
μενος τοῦ σχήματος καὶ τῆς διαίτης καὶ τοῦ προ-
γιγνώσκειν ἐς τοῦτο δήπου ξυντείνει καὶ ταῦτά γε
καὶ τὴν παρανομίαν τὴν ἐς αὐτὸν δοῦναί σοί φησι
καὶ τὸ ἐς τὴν θυσίαν θάρσος. χρὴ οὖν παρεσκευά-
σθαι τὴν ὑπὲρ τούτων ἀπολογίαν, ἔστω δέ σοι ὁ λό-
140 γος μὴ ὑπερορῶν τοῦ βασιλέως." καὶ ὁ Ἀπολλώνιος
„τοῦ μὲν μὴ ὑπερορᾶν ἔστω τεκμήριόν σοι τὸ ὑπὲρ
ἀπολογίας ἀφῖχθαί με, εἰ δὲ καὶ θρασέως οὕτω
τἀμὰ εἶχεν, ὡς ὑπὲρ τυραννίδας αἵρεσθαι, ἀλλὰ σοί
γε ὑπέσχον ἐμαυτὸν τοιῷδε ὄντι καὶ ἀγαπῶντί με.
τὸ μὲν γὰρ ἐχθρῷ πονηρὸν δόξαι δεινὸν οὔπω, οἱ
γὰρ ἐχθροὶ μισοῦσιν οὐκ ἀφ' ὧν δημοσίᾳ διαβέβλη-
ταί τις, ἀλλ' ἀφ' ὧν ἰδίᾳ προσκέκρουκε, τὸ δὲ πρὸς
ἀνδρὸς φίλου λαβεῖν αἰτίαν, ὡς κακὸς φαίνοιτο,
βαρύτερον τοῦτο ἢ τὰ ἐχθρῶν ὁμοῦ πάντα, οὐ γὰρ

ἂν διαφύγοι τὸ μὴ οὐ κἀκείνοις, δι' ἃ κακὸς ἦν, ἀπηχθῆσθαι." ἐδόκει τῷ Αἰλιανῷ εὖ λέγειν, καὶ XXI
παρακελευσάμενος αὐτῷ θαρρεῖν ἑαυτοῦ ἐλάβετο ὡς μὴ ἂν ἐκπλαγέντος τοῦ ἀνδρός, μηδ' ἂν (εἰ) Γοργείη κεφαλὴ ἐπ' αὐτὸν αἴροιτο. καλέσας οὖν τοὺς προστεταγμένους τὰ τοιαῦτα „κελεύω" ἔφη „ξυνέχειν
301 τοῦτον, ἔστ' ἂν ὁ βασιλεὺς ἥκοντά τε αὐτὸν μάθῃ καὶ λέγοντα ὁπόσα εἴρηκε," καὶ ἐῴκει τοῖς μάλα ὠργισμένοις. παρελθὼν δὲ ἐς τὰ βασίλεια τὰ προσήκοντα τῇ ἀρχῇ ἔπραττεν.

Ἐνταῦθα ὁ Δάμις ἀπομνημονεύει ἔργου ὁμοίου τε καὶ ἀνομοίου τῷ ἐπ' Ἀριστείδου ποτὲ Ἀθήνησιν· ὀστράκῳ μὲν γὰρ τὸν Ἀριστείδην ἐλαύνειν ἐπ' ἀρετῇ, ἔξω δὲ τείχους ἤδη ὄντι προσελθόντα τῶν ἀγροίκων τινὰ δεῖσθαι αὐτοῦ γράφειν τι αὐτῷ ἐπ' Ἀριστείδην ὄστρακον. ἐκεῖνος μὲν οὔτε τὸν ἄνδρα εἰδὼς οὔτ' αὐτὸ τὸ γράφειν, ἀλλὰ μόνον τὸν ὑπὲρ τοῦ δικαίου φθόνον, χιλίαρχος δὲ τῶν σφόδρα γιγνωσκόντων τὸν Ἀπολλώνιον προσειπὼν αὐτὸν ἤρετο κατὰ ὕβριν, ὑπὲρ ὅτου κινδυνεύοι, τοῦ δὲ οὐκ εἰδέναι φήσαντος „ἀλλ' ἐγὼ" ἔφη „οἶδα· τὸ γὰρ προσκυνεῖσθαί σε ὑπὸ τῶν ἀνθρώπων διαβέβληκεν ὡς ἴσων ἀξιούμενον τοῖς θεοῖς." „καὶ τίς" εἶπεν „ὁ προσκυνήσας ἐμέ;" „ἐγὼ" ἔφη „ἐν Ἐφέσῳ παῖς ἔτι ὤν, ὁπότε ἡμᾶς ἰάσω τοῦ λοιμοῦ." „καλῶς ποιῶν" εἶπεν „αὐτός τε σὺ καὶ ἡ σωθεῖσα Ἐφεσίων πόλις." „διὰ ταῦτ' οὖν" ἔφη „καὶ ἀπολογίαν ὑπὲρ σοῦ παρεσκεύακα, ἥ σε ἀπαλλάξει τῆς αἰτίας· ἴωμεν γὰρ ἔξω τείχους καὶ ἢν μὲν ἀποκόψω σου τὸν αὐχένα τῷ ξίφει, διαβέβληται ἡ αἰτία καὶ ἀφεῖσαι, ἢν δὲ ἐκπλήξῃς με καὶ μεθῶ τὸ ξίφος, θεῖόν τε ἀνάγκη νομίζεσθαί σε καὶ ὡς ἐπ' ἀληθέσι κρίνεσθαι." τοσῷδε

μὲν δὴ ἀγροικότερος οὗτος τοῦ τὸν Ἀριστείδην ἐλαύνοντος, ἔλεγε δὲ ταῦτα μασώμενός τε καὶ ξὺν γέλωτι, ὁ δ' οὐκ ἀκηκοότι ὅμοιος διελέγετο πρὸς τὸν Δάμιν ὑπὲρ τοῦ Δέλτα, περὶ ᾧ φασι τὸν Νεῖλον σχίζεσθαι.

XXII Ἐπεὶ δὲ καλέσας αὐτὸν ὁ Αἰλιανὸς ἐκέλευσε τὸ ἐλευθέριον οἰκεῖν δεσμωτήριον „ἔστ' ἂν γένηται σχολὴ“ ἔφη „τῷ βασιλεῖ, ξυγγενέσθαι γάρ σοι ἰδίᾳ πρότερον βούλεται,“ ἀπῆλθε μὲν τοῦ δικαστηρίου καὶ παρελθὼν ἐς τὸ δεσμωτήριον „διαλεγώμεθα,“
ἔφη „Δάμι, τοῖς ἐνταῦθα· τί γὰρ ἂν ἄλλο πράττοι 302
τις (ἐς) τὸν χρόνον τοῦτον, ὃν διαλέξεταί μοι ὁ τύραννος ὑπὲρ ὧν δεῖται;“ „ἀδολέσχας“ εἶπεν „ἡγήσονται ἡμᾶς, ἢν ἐκκρούωμεν αὐτοὺς ὧν ἀπολογήσονται, καὶ ἄλλως ἄτοπον περιπατεῖν ἐς ἀνθρώπους ἀθύμως ἔχοντας.“ „καὶ μὴν τούτοις μάλιστα δεῖ“ ἔφη „τοῦ διαλεξομένου τε καὶ θεραπεύσοντος· εἰ γὰρ ἐνθυμηθείης τὰ τοῦ Ὁμήρου ἔπη, ἐν οἷς Ὅμηρος τὴν Ἑλένην φησὶ τὰ ἐξ Αἰγύπτου φάρμακα οἰνοχοεῖν ἐς τὸν κρατῆρα, ὡς τὰ ἄχη τῆς ψυχῆς ἀποβρέχοιτο, δοκῶ μοι τὴν Ἑλένην λόγους Αἰγυπτίους ἐκμαθοῦσαν ἐπᾴδειν τοῖς ἀθύμοις ἐν τῷ κρατῆρι, ἰωμένην αὐτοὺς λόγῳ τε ἀναμὶξ καὶ οἴνῳ.“ „καὶ εἰκὸς μέν,“ εἶπεν „εἴπερ ἐς Αἴγυπτόν τε ἦλθε καὶ ὡμίλησε τῷ Πρωτεῖ, ἢ ὡς Ὁμήρῳ δοκεῖ, Πολυδάμνῃ ξυνεγένετο τῇ τοῦ Θῶνος· νυνὶ δὲ ἀναβεβλήσθων οὗτοι, δέομαι γάρ τι ἐρέσθαι σε.“ „οἶδα,“ ἔφη „ὅ με ἐρήσῃ, τοὺς γάρ τοι λόγους, οἳ γεγόνασί μοι πρὸς
141 τὸν ἄνδρα καὶ ἅττα εἶπε καὶ εἰ φοβερὸς ἦν ἢ πρᾷος,
βούλει ἀκοῦσαί μου·“ καὶ διῆλθε πάντας. προσκυνήσας οὖν ὁ Δάμις „οὐκ ἀπιστῶ,“ ἔφη „καὶ τὴν Λευκοθέαν ποτὲ κρήδεμνον τῷ Ὀδυσσεῖ δοῦναι μετὰ τὴν ναῦν, ἧς ἐκπεσὼν ἀνεμέτρει ταῖς ἑαυτοῦ χερσὶ

τὸ πέλαγος· καὶ γὰρ ἡμῶν ἐς ἀμήχανά τε καὶ φοβερὰ ἐμβεβηκότων θεῶν τις ὑπερέχει, οἶμαι, χεῖρα, ὡς μὴ ἐκπέσοιμεν σωτηρίας πάσης.“ ἐπιπλήττων δ’ ὁ Ἀπολλώνιος τῷ λόγῳ „ποῖ παρατενεῖς,“ ἔφη „δεδιὼς ταῦτα καὶ μήπω γιγνώσκων, ὅτι σοφία μὲν τὰ ξυνιέντα ἑαυτῆς ἐκπλήττει πάντα, αὐτὴ δ’ ὑπ’ οὐδενὸς ἐκπλήττεται;“ „ἀλλ’ ἡμεῖς“ εἶπε „παρὰ ἀξύνετον ἥκομεν καὶ οὐ μόνον οὐκ ἐκπληττόμενον ἡμᾶς, ἀλλ’ οὐδὲ ἀξιοῦντα εἶναί τι, ὃ ἐκπλήξει αὐτόν.“ „ξυνίης οὖν,“ ἔφη „ὦ Δάμι, ὅτι τετύφωται καὶ ἀνοήτως ἔχει;“ „ξυνίημι, τί δ’ οὐ μέλλω;“ εἶπε.
303 „καὶ σοὶ δὲ“ ἔφη „καταφρονητέα τοῦ τυράννου τοσούτῳ μᾶλλον, ὅσῳ καὶ γιγνώσκεις αὐτόν.“

XXIII διαλεγομένοις δ’ αὐτοῖς ταῦτα προσελθών τις, οἶμαι, Κίλιξ „ἐγώ,“ ἔφη „ἄνδρες, ὑπὲρ πλούτου κινδυνεύω.“ καὶ ὁ Ἀπολλώνιος „εἰ μὲν ἀφ’ ὧν οὐ θεμιτόν“ ἔφη „πλουτῶν, οἷον ληστείας ἢ φαρμάκων, ἃ δὴ ἀνδροφόνα, ἢ τάφους κινήσας, ὅσοι τῶν πάλαι βασιλέων εἰσίν, οἳ πολύχρυσοί τε καὶ θησαυρώδεις, οὐ κρίνεσθαί σε χρὴ μόνον, ἀλλὰ καὶ ἀπολωλέναι, ταυτὶ γὰρ πλοῦτος μέν, ἀλλ’ ἐπίρρητός τε καὶ ὠμός, εἰ δὲ κληρονομήσας ἢ διδούσης ἐμπορίας ἐλευθερίου τε καὶ μὴ καπήλου, τίς οὕτω βαρύς, ὡς ἀφελέσθαι σε νόμου σχήματι τὰ κτηθέντα σοι κατὰ νόμους;“ „τὰ μὲν ὄντα μοι παρὰ πλειόνων“ ἔφη „ξυγγενῶν ἐστιν, ἐς μίαν δ’ οἰκίαν τὴν ἐμὴν ἥκει, χρῶμαι δ’ αὐτοῖς οὔθ’ ὡς ἑτέρων, ἐμὰ γάρ, οὔθ’ ὡς ἐμοῖς, κοινὰ γὰρ πρὸς τοὺς ἀγαθούς ἐστί μοι· διαβάλλουσι δ’ ἡμᾶς οἱ συκοφάνται μὴ ἐπ’ ἀγαθῷ τῆς τυραννίδος ἐκτῆσθαι τὸν πλοῦτον, ἐμοῦ τε γὰρ νεώτερα πειρωμένου πράττειν ἐφόδιον ἂν γενέσθαι αὐτόν, ἑτέρῳ τε ὅτῳ προσθείμην, ῥοπὴν ἂν οὐ σμικρὰν τἀμὰ εἶναι.

μεμαντευμέναι δ' ἤδη καθ' ἡμῶν αἰτίαι, ὡς ὕβριν μὲν τίκτει πᾶς ὁ ὑπὲρ τὸ μέτρον πλοῦτος, ὁ δ' ὑπὲρ τοὺς πολλοὺς τὸν αὐχένα ἵστησι καὶ τὸ φρόνημα ἐγείρει νόμοις τε οὐκ ἐᾷ πείθεσθαι καὶ τοὺς ἄρχοντας, οἳ ἐς τὰ ἔθνη φοιτῶσι, μόνον οὐκ ἐπὶ κόρρης παίει δουλουμένους τοῖς χρήμασιν [ἢ ὑπερορῶντας αὐτῶν διὰ τὴν ἰσχὺν τοῦ πλούτου]. ἐγὼ δὲ μειράκιον μὲν ὤν, πρὶν οὐσίαν ἑκατὸν ταλάντων ἐκτῆσθαι, κατάγελων ἡγούμην πάντα καὶ σμικρὰ ὑπὲρ τῶν ὄντων ἐδεδίειν, ἐπεὶ δὲ τάλαντά μοι πεντακόσια ἐπὶ μιᾶς ἡμέρας ἐγένετο τελευτήσαντος ἐπ' ἐμοὶ τοῦ πρὸς πατρὸς θείου, τοσοῦτον ἡ γνώμη μετέβαλεν, ὅσον οἱ καταρτύοντες τῶν ἵππων καὶ μεταβάλλοντες 304
τοῦ ἀπαιδεύτου τε καὶ ἀκολάστου ἤθους. ἐπιδιδόντος δέ μοι τοῦ πλούτου καὶ τὰ μὲν ἐκ γῆς, τὰ δὲ ἐκ θαλάττης φέροντος, οὕτω τι ἐδουλώθην ὑπὸ τοῦ περὶ αὐτὸν δέους, ὡς ἀπαντλεῖν τῆς οὐσίας τὸ μὲν ἐς τοὺς συκοφάντας, οὓς ἔδει μειλίττεσθαι τῇ ἀπομαγδαλιᾷ ταύτῃ, τὸ δὲ ἐς τοὺς ἄρχοντας, ὡς ἰσχὺς πρὸς τοὺς ἐπιβουλεύοντας εἴη μοι, τὸ δὲ ἐς τοὺς ξυγγενεῖς, ὡς μὴ φθονοῖεν τῷ πλούτῳ, τὸ δὲ ἐς τοὺς δούλους, ὡς μὴ κακίους γίγνοιντο ἀμελεῖσθαι φάσκοντες, ἐβουκολεῖτο δέ μοι καὶ ἀγέλη φίλων λαμπρά· προορῶντες γὰρ οὗτοί μου τὰ μὲν αὐτοὶ ἔδρων, τὰ δέ μοι προὔλεγον. ἀλλ' ὅμως οὕτω μὲν χαρακώσαντες τὸν πλοῦτον, οὕτω δὲ ἀσφαλῶς τειχισάμενοι κινδυνεύομεν περὶ αὐτῷ νῦν, καὶ οὔπω δῆλον οὐδ' εἰ τὸ σῶμα ἀθῷοι μενοῦμεν.“ καὶ ὁ Ἀπολλώνιος, „θάρρει,“ ἔφη „τὸν γὰρ πλοῦτον τοῦ σώματος ἐγγυητὴν ἔχεις· δέδεσαι μὲν γὰρ δι' αὐτόν, ἀνήσει δέ σε ἀπολυόμενον οὐ μόνον τοῦ δεσμωτηρίου τοῦδε, ἀλλὰ καὶ τοῦ θεραπεύειν τοὺς συκοφάντας τε καὶ

τοὺς δούλους, οἷς δι' αὐτὸν ὑπέκεισο.“ ἑτέρου δ' XXIV
αὖ φήσαντος γραφὴν φεύγειν, ἐπειδὴ θύων ἐν Τά- 142
ραντι, οὗ ἦρχε, μὴ προσέθηκε ταῖς δημοσίαις εὐχαῖς,
ὅτι Δομετιανὸς Ἀθηνᾶς εἴη παῖς „σὺ μὲν ᾠήθης“
ἔφη „μὴ ἂν τὴν Ἀθηνᾶν τεκεῖν παρθένον οὖσαν τὸν
ἀεὶ χρόνον, ἠγνόεις δ', οἶμαι, ὅτι ἡ θεὸς αὕτη Ἀθη-
ναίοις ποτὲ δράκοντα ἔτεκε.“ καθεῖρκτό τις καὶ ἐπὶ XXV
τοιᾷδε αἰτίᾳ· χωρίον ἐν Ἀκαρνανίᾳ περὶ τὰς ἐκβο-
λὰς τοῦ Ἀχελῴου ἔχων περιέπλει τὰς Ἐχινάδας ἐν
ἀκατίῳ μικρῷ, διασκεψάμενος δὲ αὐτῶν μίαν, ἣ ξυν-
ῆπτεν ἤδη τῇ ἠπείρῳ, δένδρεσί τε ὡραίοις διεφύ-
305 τευσε καὶ ἀμπέλοις ἡδυοίνοις δίαιτάν τε ἱκανὴν τῷ
σώματι κατεσκευάσατο ἐν αὐτῇ, καὶ γάρ τι καὶ ὕδωρ
ἐκ τῆς ἠπείρου ἐσήγετο ἀποχρῶν τῇ νήσῳ· ἐκ τού-
του ἀνέφυ γραφή, μὴ καθαρὸς εἶναι ὁ Ἀκαρνὰν
οὗτος, ἔργα δὲ αὑτῷ ξυνειδὼς οὐ φορητὰ τῆς μὲν
ἄλλης γῆς ἐξίστασθαί τε καὶ ἀποφοιτᾶν ὡς μεμια-
σμένης ἑαυτῷ, τὴν δ' Ἀλκμαίωνος τοῦ Ἀμφιάρεω
λύσιν, δι' ἣν τὰς ἐκβολὰς τοῦ Ἀχελῴου μετὰ τὴν
μητέρα ᾤκησεν, ᾑρῆσθαι αὐτόν, εἰ μὴ καὶ ἐφ' ὁμοίοις,
ἀλλ' ἐπὶ σχετλίοις ἴσως καὶ οὐ πόρρω ἐκείνων, ὁ δ'
οὐ τοῦτ' ἔφασκεν, ἀλλὰ ἀπραγμοσύνης ἐρῶν ἐκεῖ
οἰκῆσαι, τὸ δὲ ἄρα ἐς δίκας αὐτῷ περιστῆναι, δι' ἃς
καὶ εἷρχθαι αὐτόν.

Προσιόντων δὲ τῷ Ἀπολλωνίῳ πλειόνων ἔνδον XXVI
καὶ ὀλοφυρομένων τοιαῦτα, πεντήκοντα γάρ που
εἶναι οἱ ἐν τῷ δεσμωτηρίῳ τούτῳ καὶ οἱ μὲν νοσεῖν
αὐτῶν, οἱ δὲ ἀθύμως παρεῖσθαι, οἱ δὲ ἐγκαρτερεῖν
τὸν θάνατον, οἱ δ' ἐπιβοᾶσθαι τέκνα καὶ γονέας
τοὺς αὑτῶν καὶ γάμους „ὦ Δάμι,“ ἔφη „δοκοῦσί
μοι τοῦ φαρμάκου δεῖσθαι οἱ ἄνδρες, οὗ κατ' ἀρχὰς
ἐπεμνήσθην. εἴτ' οὖν Αἰγύπτιον τοῦτο, εἴτ' ἐν πάσῃ

τῇ γῇ φύεται ῥιζοτομούσης αὐτὸ σοφίας ἐκ τῶν ἑαυτῆς κήπων, προσδῶμεν αὐτοῦ τοῖς ἀθλίοις τούτοις, μὴ προανέλῃ σφᾶς ἡ γνώμη." „προσδῶμεν" ἦ δ' ὃς ὁ Δάμις „ἐοίκασι γὰρ δεομένοις." ξυγκαλέσας οὖν αὐτοὺς ὁ Ἀπολλώνιος „ἄνδρες," εἶπεν „οἱ κοινωνοῦντες ἐμοὶ ταυτησὶ τῆς στέγης, ἐλεῶ ὑμᾶς, ὡς ὑφ' αὐτῶν ἀπόλλυσθε, οὔπω εἰδότες, εἰ κατηγορία ἀπολεῖ ὑμᾶς· δοκεῖτε γάρ μοι προαποκτιννύντες αὐτοὺς τοῦ καταψηφισθέντος ἂν ὑμῶν, ὡς οἴεσθε, θανάτου, [καὶ] θαρρεῖν μὲν ἃ δέδιτε, δεδιέναι δ' ἃ θαρρεῖτε. οὐ μὴν προσήκει γε, ἀλλ' ἐνθυμηθέντας 306 τὸν Ἀρχιλόχου τοῦ Παρίου λόγον, ὃς τὴν ἐπὶ τοῖς λυπηροῖς καρτερίαν τλημοσύνην καλῶν θεῶν αὐτήν φησιν (εἶναι) εὕρημα [οὖσαν], ἀναφέρειν τῶν σχετλίων τούτων, ὥσπερ οἱ τέχνῃ τοῦ ῥοθίου ὑπεραίροντες, ἐπειδὰν τὸ κῦμα ὑπὲρ τὴν ναῦν ἵστηται, μηδ' ἡγεῖσθαι χαλεπὰ ταῦτα, ἐφ' ἃ ὑμεῖς μὲν ἄκοντες, ἐγὼ δὲ ἑκὼν ἥκω. εἰ μὲν γὰρ ξυντίθεσθε ταῖς αἰτίαις, ὀλοφυρτέα ἡ ἡμέρα μᾶλλον, ἐν ᾗ ὁ λογισμὸς ἐς ἄδικά τε καὶ ὠμὰ ὁρμήσας ὑμᾶς ἔσφηλεν, εἰ δ' οὔτε σὺ τὴν ἐν τῷ Ἀχελῴῳ νῆσον ὑπὲρ ὧν ὁ κατήγορός φησιν ἐρεῖς ᾠκηκέναι, οὔτε σὺ τὸν σεαυτοῦ πλοῦτον ἔφεδρόν ποτε τῇ βασιλείᾳ στήσασθαι, οὔθ' ἑκὼν σὺ τοῦ μὴ πρὸς Ἀθηνᾶς δοκεῖν ἀφῃρῆσθαι τὸν ἄρχοντα, οὔθ' ὑπὲρ ὧν ἀφῖχθε κινδυνεύων ἕκαστος, ἀληθῆ ταῦτα εἶναι φήσει, τί βούλεταί" φησιν „ὁ ὑπὲρ τῶν οὐκ ὄντων θρῆνος οὗτος; ὅσῳ γὰρ τοὺς οἰκειοτάτους ἐπιβοᾶσθε, τοσῷδε χρὴ ἐρρῶσθαι μᾶλλον, ἆθλα γάρ που τῆς τλημοσύνης ταύτης ἐκεῖνα. ἢ τὸ καθεῖρχθαι δεῦρο δεινὸν εἶναί φατε καὶ τὸ ἐν τῷ δεσμωτηρίῳ ζῆν; ἢ ἀρχὴν ὧν πείσεσθαι ἡγεῖσθε; ἢ καὶ καθ' αὐτὸ τιμωρίαν, εἰ καὶ μηδὲν ἐπ' αὐτῷ

πάθοιτε; ἀλλ' ἔγωγε τὴν ἀνθρωπείαν εἰδὼς φύσιν ἀναδιδάξω λόγον ὑμᾶς οὐδὲν ἐοικότα τοῖς τῶν ἰατρῶν σιτίοις, καὶ γὰρ ἰσχὺν ἐντίθησι καὶ ἀποθανεῖν οὐκ ἐάσει· οἱ ἄνθρωποι ἐν δεσμωτηρίῳ ἐσμὲν τὸν χρόνον τοῦτον, ὃς δὴ ὠνόμασται βίος· αὕτη γὰρ ἡ ψυχὴ σώματι φθαρτῷ ἐνδεθεῖσα πολλὰ μὲν καρτερεῖ, 143
δουλεύει δὲ πᾶσιν, ὁπόσα ἐπ' ἄνθρωπον φοιτᾷ, οἰκία τε οἷς ἐπενοήθη πρῶτον, ἀγνοῆσαί μοι δοκοῦσιν ἄλλο δεσμωτήριον αὐτοῖς περιβάλλοντες, καὶ γὰρ δὴ καὶ ὁπόσοι τὰ βασίλεια οἰκοῦσιν, ἀσφαλῶς ἐν αὐτοῖς
307 κατεσκευασμένοι, δεδέσθαι μᾶλλον τούτους ἡγώμεθα ἢ οὓς αὐτοὶ δήσουσι. πόλεις δ' ἐνθυμουμένῳ μοι καὶ τείχη δοκεῖ ταῦτα δεσμωτήρια εἶναι κοινά, ὡς δεδέσθαι μὲν ἀγοράζοντας, δεδέσθαι δὲ ἐκκλησιάζοντας καὶ θεωμένους αὖ καὶ πομπὰς πέμποντας. καὶ Σκυθῶν ὁπόσοι ἁμαξεύουσιν, οὐ μεῖον ἡμῶν δέδενται, Ἴστροι τε γὰρ αὐτοὺς ὁρίζουσι καὶ Θερμώδοντες καὶ Τανάιδες οὐ ῥᾴδιοι ποταμοὶ ὑπερβῆναι, ἢν μὴ ὑπὸ τοῦ κρυμοῦ στῶσιν, οἰκίας τε ἐπὶ τῶν ἁμαξῶν πέπανται καὶ φέρονται μέν, ἀλλ' ἐν αὐταῖς ἐπτηχότες. εἰ δὲ μὴ μειρακιώδης ὁ λόγος, φασὶ καὶ τὸν Ὠκεανὸν δεσμοῦ ἕνεκα τῇ γῇ περιβεβλῆσθαι. ἴτε, ὦ ποιηταί, ταυτὶ γὰρ ὑμέτερα, καὶ ῥαψῳδεῖτε πρὸς τούτους τοὺς ἀθύμους, ὡς Κρόνος μέν ποτε ἐδέθη βουλαῖς τοῦ Διός, Ἄρης δὲ ὁ πολεμικώτατος ἐν οὐρανῷ μὲν ὑπὸ Ἡφαίστου πρότερον, ἐν γῇ δὲ ὑπὸ τῶν τοῦ Ἀλωέως. ταῦτ' ἐνθυμούμενοι καὶ πολλοὺς τῶν σοφῶν τε καὶ μακαρίων ἀνδρῶν, οὓς δῆμοι ἀσελγεῖς ἔδησαν, τυραννίδες δὲ προὐπηλάκισαν, δεχώμεθα καὶ ταῦτα, ὡς μὴ τῶν δεξαμένων αὐτὰ λειποίμεθα.“ οὕτω τοὺς ἐν τῷ δεσμωτηρίῳ τὰ ῥηθέντα μετέβαλεν, ὡς σίτου τε οἱ πολλοὶ ἅψασθαι

καὶ ἀπελθεῖν τῶν δακρύων βῆναί τε ἐπ' ἐλπίδος μηδ' ἂν παθεῖν μηδὲν ἐκείνῳ ξυνόντες.

XXVII Τῆς δ' ὑστεραίας διελέγετο μὲν ἐς τὸν αὐτὸν νοῦν ξυντείνων, ἐσπέμπεταί δέ τις ἀκροατὴς τῶν διαλέξεων ὑπὸ τοῦ Δομετιανοῦ καθειμένος, τὸ μὲν δὴ σχῆμα αὐτοῦ, κατηφὴς ἐδόκει καὶ κινδυνεύειν τι, ὡς ἔφασκε, μέγα, γλώττης τε οὐκ ἀνεπιτηδεύτως εἶχεν, οἷοι τῶν συκοφαντικῶν οἱ συνειλοχότες ὀκτὼ ῥήματα ἢ δέκα, ὁ δὲ Ἀπολλώνιος ξυνιεὶς τῆς τέχνης διελέγετο, ἃ μὴ ἐκείνῳ προὔβαινε, ποταμῶν τε γὰρ πρὸς αὐτοὺς ἐμέμνητο καὶ ὀρῶν καὶ θηρία διῄει καὶ δένδρα, ὑφ' ὧν οἱ μὲν διήγοντο, ὁ δ' οὐδὲν ἐπέραινεν. ὡς δὲ καὶ ἀπάγειν αὐτὸν ἐς λοιδορίας τοῦ 308
τυράννου ἐπειρᾶτο „ὦ τᾶν," ἔφη „σὺ μέν, ὅ τι βούλει, λέγε, οὐ γὰρ διαβεβλήσῃ γε ὑπ' ἐμοῦ, ἐγὼ δὲ ὁπόσα μέμφομαι τὸν βασιλέα, πρὸς αὐτὸν λέξω."

XXVIII Ἐγένετο καὶ ἕτερα ἐν τῷ δεσμωτηρίῳ τούτῳ ἐπεισόδια, τὰ μὲν ἐπιβεβουλευμένα, τὰ δέ, ὡς ξυνέπεσεν, οὔπω μεγάλα, οὐδ' ἄξια ἐμοὶ σπουδάσαι, Δάμις δέ, οἶμαι, ὑπὲρ τοῦ μὴ παραλελοιπέναι τι αὐτῶν ἐπεμνήσθη, τὰ δὲ λόγου ἐχόμενα· ἑσπέρα μὲν ἦν, καθεῖρκτο δὲ ἡμέραν ἤδη πέμπτην, παρελθὼν δέ τις ἐς τὸ δεσμωτήριον Ἑλληνικὸς τὴν φωνὴν „ποῦ" ἔφη „ὁ Τυανεύς;" καὶ ἀπολαβὼν αὐτὸν „αὔριον" ἔφη „διαλέξεταί σοι ὁ βασιλεύς· Αἰλιανοῦ δὲ ταῦτα ἀκηκοέναι δόκει." „ξυνίημι" ἦ δ' ὅς „τοῦ ἀπορρήτου, μόνου γὰρ δὴ ἐκείνου εἰδέναι αὐτό." „καὶ μὴν καὶ τῷ ἐπὶ τοῦ δεσμωτηρίου προείρηται" ἔφη „πᾶν, εἴ τι βούλοιο, ἐπιτηδείῳ σοι εἶναι." „καλῶς μὲν ποιοῦντες ὑμεῖς," εἶπεν „ἐγὼ δὲ καὶ τὸν ἐνταῦθα βίον καὶ τὸν ἔξω ταυτὸν πράττω, διαλέγομαι μὲν γὰρ ὑπὲρ τῶν παραπιπτόντων, δέομαι δ'

οὐδενός.“ „οὐδὲ τοῦ ξυμβουλεύσοντος,“ ἔφη „Ἀπολ-
λώνιε, ὡς διαλέξῃ τῷ βασιλεῖ;“ „νὴ Δί᾽“ εἶπεν „εἰ
μὴ κολακεύειν πείθοι.“ „τί δ᾽, εἰ μὴ ὑπερορᾶν,“
ἔφη, „μηδ᾽ ὑπερφρονεῖν αὐτοῦ;“ „ἄριστα“ εἶπε 144
„ξυμβουλεύσει καὶ ὡς ἐμαυτὸν πέπεικα.“ „ὑπὲρ
τούτων μὲν ἥκω“ ἔφη „καὶ χαίρω παρεσκευασμένον
σε ὁρῶν ξυμμέτρως, δεῖ δὲ καὶ πρὸς τὸ φθέγμα τοῦ
βασιλέως παρεσκευάσθαι σε καὶ πρὸς τὸ δύστροπον
τοῦ προσώπου, φθέγγεται μὲν γὰρ βαρύ, κἂν πρᾴως
διαλέγηται, ἡ δ᾽ ὀφρὺς ἐπίκειται τῷ τοῦ ὀφθαλμοῦ
ἤθει, μεστὴ δ᾽ ἡ παρειὰ χολῆς, τουτὶ γὰρ μάλιστα
ἐπιφαίνει. ταῦτα, ὦ Τυανεῦ, μὴ ἐκπληττώμεθα,
ἔστι γὰρ φύσεως μᾶλλον καὶ ἀεὶ ὅμοια.“ καὶ ὁ Ἀπολ-
λώνιος „Ὀδυσσεὺς μέντοι“ ἔφη „παριὼν ἐς τὸ τοῦ
309 Πολυφήμου ἄντρον καὶ μήτε ὁπόσος ἐστί, προακη-
κοὼς πρότερον, μηδ᾽ οἷα σιτεῖται, μηδ᾽ ὡς βροντᾷ
ἡ φωνή, ἐθάρρησέ τε αὐτὸν καίτοι ἐν ἀρχῇ δείσας
καὶ ἀπῆλθε τοῦ ἄντρου ἀνὴρ δόξας, ἐμοὶ δὲ ἐξελ-
θεῖν αὔταρκες ἐμαυτόν τε σώσαντα καὶ τοὺς ἑταί-
ρους, ὑπὲρ ὧν κινδυνεύω.“ τοιαῦτα διαλεχθεὶς πρὸς
τὸν ἥκοντα καὶ ἀπαγγείλας αὐτὰ πρὸς τὸν Δάμιν
ἐκάθευδεν.

Περὶ δὲ ὄρθρον γραμματεύς τις ἥκων τῶν βασι- XXIX
λείων δικῶν „κελεύει σε ὁ βασιλεύς,“ ἔφη „ὦ Ἀπολ-
λώνιε, περὶ πλήθουσαν ἀγορὰν ἐς τὴν αὐλὴν ἥκειν,
οὔπω ἀπολογησόμενον, ἀλλ᾽ ἰδεῖν τέ σε, ὅστις ὢν
τυγχάνεις, βούλεται καὶ ξυγγενέσθαι μόνῳ.“ „τί
οὖν“ εἶπεν „ὑπὲρ τούτων ἐμοὶ διαλέγῃ;“ „οὐ γὰρ
σὺ“ ἔφη „Ἀπολλώνιος;“ „νὴ Δί᾽,“ εἶπεν „ὁ Τυα-
νεύς γε.“ „πρὸς τίνα οὖν“ ἔφη „ταῦτα εἴπω;“
„πρὸς τοὺς ἄξοντάς με,“ εἶπε „χρὴ γάρ που ὡς ἐκ
δεσμωτηρίου φοιτᾶν.“ „προστέτακται“ ἔφη „προ-

τέροις γε ἐκείνοις ταῦτα, κἀγὼ δὲ ἀφίξομαι τοῦ
καιροῦ, νυνὶ δὲ παραγγελῶν ἦλθον, ταυτὶ γὰρ
XXX μάλα ἑσπέρας προστέτακται.“ ὁ μὲν δὴ ἀπῆλθεν, ὁ
δ' Ἀπολλώνιος ἀναπαύσας ἑαυτὸν ἐπὶ τῆς κλίνης
„ὕπνου“ ἔφη „δέομαι, Δάμι, χαλεπὴ γάρ μοι ἡ νὺξ
γέγονεν ἀναμνησθῆναι βουλομένῳ ὧν Φραώτου ποτὲ
ἤκουσα.“ „καὶ μὴν ἐγρηγορέναι τε“ εἶπεν „ἐχρῆν
μᾶλλον καὶ ξυντάττειν ἑαυτὸν ἐς τὸ παρηγγελμένον
μέγα οὕτως ὄν.“ „καὶ πῶς ἂν ξυνταττοίμην“ ἔφη
„μηδέ, τί ἐρήσεται, εἰδώς;“ „αὐτοσχεδιάσεις οὖν“
εἶπεν „ὑπὲρ τοῦ βίου;“ „νὴ Δί',“ ἔφη „ὦ Δάμι,
αὐτοσχεδίῳ γὰρ αὐτῷ χρῶμαι. ἀλλ' ὅ γε ἀνεμνή-
σθην τοῦ Φραώτου βούλομαι διελθεῖν πρὸς σέ, χρη-
στὸν γὰρ ἐς τὰ παρόντα καὶ σοὶ δόξει· τοὺς λέοντας,
οὓς τιθασεύουσιν ἄνθρωποι, κελεύει Φραώτης μήτε
παίειν, μνησικακεῖν γὰρ αὐτούς, εἰ παίοιντο, μήτε
θεραπεύειν, ἀγερώχους γὰρ ἐκ τούτου γίγνεσθαι,
ξὺν ἀπειλῇ δὲ μᾶλλον καταψῶντας ἐς εὐάγωγα ἤθη
ἄγειν. τοῦτο δὲ οὐχ ὑπὲρ τῶν λεόντων εἶπεν, οὐ
γὰρ ὑπὲρ θηρίων ἀγωγῆς ἐσπουδάζομεν, ἀλλ' ἡνίαν
ἐπὶ τοὺς τυράννους διδούς, ᾗ χρωμένους οὐκ ἂν 310
ἐκπεσεῖν ἡγεῖτο τοῦ ξυμμέτρου.“ „ἄριστα μὲν“ ἔφη
„ὁ λόγος οὗτος ἐς τὰ τυράννων ἤθη εἴρηται, ἀλλ'
ἔστι τις καὶ παρὰ τῷ Αἰσώπῳ λέων ὁ ἐν τῷ σπη-
λαίῳ, φησὶ δ' αὐτὸν ὁ Αἴσωπος οὐ νοσεῖν μέν, δο-
κεῖν δέ, καὶ τῶν θηρίων, ἃ ἐφοίτα παρ' αὐτόν, ἅπτε-
σθαι, τὴν δὲ ἀλώπεκα τί τούτῳ χρησόμεθα, εἰπεῖν,
παρ' οὗ μηδὲ ἀναλύει τις, μηδὲ δείκνυταί τι τῶν
ἐξιόντων ἴχνος;“ καὶ ὁ Ἀπολλώνιος „ἀλλ' ἐγὼ“
ἔφη „σοφωτέραν τὴν ἀλώπεκα ἡγούμην ἄν, εἰ παρ-
ελθοῦσα ἔσω μὴ ἥλω, ἀλλ' ἐξῆλθε τοῦ σπηλαίου τὰ
XXXI ἴχνη τὰ ἑαυτῆς δεικνῦσα.“ ταῦτα εἰπὼν ὕπνου

ἔσπασε κομιδῇ βραχὺ καὶ ὅσον ἐπ' ὀφθαλμοὺς ἦλθεν, ἡμέρα δ' ὡς ἐγένετο, προσευξάμενος τῷ Ἡλίῳ, ὡς ἐν δεσμωτηρίῳ εἰκός, διελέγετο τοῖς προσιοῦσιν, ὁπόσα ἠρώτων, καὶ οὕτως ἀγορᾶς πληθούσης ἀφικνεῖται γραμματεὺς κελεύων ἐπὶ θύρας ἤδη εἶναι „μὴ καὶ θᾶττον" ἔφη „ἐσκληθῶμεν." ὁ δὲ εἰπὼν „ἴωμεν" ξὺν ὁρμῇ προῆλθε. πορευομένῳ δ' αὐτῷ δορυφόροι ἐπηκολούθουν τέτταρες πλέον ἀπέχοντες ἢ οἱ φυλακῆς ἕνεκα ὁμαρτοῦντες, ἐφείπετο δὲ καὶ ὁ Δάμις δεδιὼς μέν, ξυννοοῦντι δ' ὅμοιος. ἑώρων 145
μὲν δὴ ἐς τὸν Ἀπολλώνιον ἅπαντες, αὐτοῦ τε γὰρ τοῦ σχήματος ἀπεβλέπετο καὶ θεία ἐδόκει ἡ περὶ τῷ εἴδει ἔκπληξις, καὶ αὐτὸ δὲ τὸ ἥκειν ὑπὲρ ἀνδρῶν κινδυνεύσοντα καὶ τοὺς βασκαίνοντας αὐτῷ πρότερον ἐπιτηδείους ἐποίει τότε. προσεστὼς δὲ τοῖς βασιλείοις καὶ τοὺς μὲν θεραπευομένους ὁρῶν, τοὺς δὲ θεραπεύοντας, ἐσιόντων τε καὶ ἐξιόντων κτύπον „δοκεῖ μοι," ἔφη „ὦ Δάμι, βαλανείῳ ταῦτα εἰκάσθαι, τοὺς μὲν γὰρ ἔξω ἔσω ὁρῶ σπεύδοντας, τοὺς δὲ ἔσω ἔξω, παραπλήσιοι δέ εἰσιν οἱ μὲν ἐκλελουμένοις, οἱ δ' ἀλούτοις." τὸν λόγον τοῦτον ἄσυλον κελεύω φυλάττειν καὶ μὴ τῷ δεῖνι ἢ τῷ δεῖνι προσγράφειν αὐτὸν οὕτω τι Ἀπολλωνίου ὄντα, ὡς καὶ ἐς ἐπιστολὴν αὐτῷ ἀναγεγράφθαι. ἰδὼν δέ τινα μάλα πρε-
311 σβύτην ἐπιθυμοῦντα μὲν ἄρχειν, δι' αὐτὸ δὲ τοῦτο ἀρχόμενον καὶ θεραπεύοντα τὸν βασιλέα „τοῦτον," ἔφη „ὦ Δάμι, οὐδὲ Σοφοκλῆς πω πέπεικε τὸν λυττῶντά τε καὶ ἄγριον δεσπότην ἀποφυγεῖν." „ὃν ἡμεῖς," εἶπεν „Ἀπολλώνιε, καὶ αὐτοὶ ᾐρήμεθα· ταῦτά τοι καὶ προσεστήκαμεν θύραις τοιαύταις." „δοκεῖς μοι" ἔφη „ὦ Δάμι, καὶ τὸν Αἰακόν, ὅσπερ ἐν Αἵδου λέγεται, φρουρὸν ἡγεῖσθαι τουτωνὶ τῶν

πυλῶν εἶναι, τεθνεῶτι γὰρ δὴ ἔοικας.“ „οὐ τεθνεῶτι,“ ἔφη „τεθνηξομένῳ δέ.“ καὶ ὁ Ἀπολλώνιος, „ἀφυής,“ εἶπεν „ὦ Δάμι, πρὸς τὸν θάνατον εἶναί μοι φαίνῃ, καίτοι ξυνών μοι χρόνον, ἐκ μειρακίου φιλοσοφῶν, ἐγὼ δὲ ᾤμην παρεσκευάσθαι τέ σε πρὸς αὐτὸν καὶ τὴν ἐν ἐμοὶ τακτικὴν εἰδέναι πᾶσαν. ὥσπερ γὰρ τοῖς μαχομένοις καὶ ὁπλιτεύουσιν οὐκ εὐψυχίας δεῖ μόνον, ἀλλὰ καὶ τάξεως ἑρμηνευούσης τοὺς καιροὺς τῆς μάχης, οὕτω καὶ τοῖς φιλοσοφοῦσιν ἐπιμελητέα τῶν καιρῶν, ἐν οἷς ἀποθανοῦνται, ὡς μὴ ἄτακτοι, μηδὲ θανατῶντες, ξὺν ἀρίστῃ δ' αἱρέσει ἐς αὐτοὺς φέροιντο. ὅτι δὲ ἄριστά τε καὶ κατὰ τὸν προσήκοντα φιλοσοφίᾳ καιρὸν εἱλόμην ἀποθνήσκειν, εἴ τις ἀποκτείνειν βούλοιτο, ἑτέροις τε ἀπολελόγημαι σοῦ παρόντος, αὐτόν τε σὲ διδάσκων
XXXII ἀπείρηκα.“ ἐπὶ τοσοῦτον μὲν δὴ ταῦτα, ἐπεὶ δὲ σχολὴ τῷ βασιλεῖ ἐγένετο τὰ ἐν ποσὶ διωσαμένῳ πάντα ἐς λόγους ἀφικέσθαι τῷ ἀνδρί, παρῆγον μὲν αὐτὸν ἐς τὰ βασίλεια οἱ ἐπιμεληταὶ τῶν τοιούτων οὐ ξυγχωρήσαντες τῷ Δάμιδι ἐπισπέσθαι οἱ, θαλλοῦ δὲ στέφανον ἔχων ὁ βασιλεὺς ἄρτι μὲν τῇ Ἀθηνᾷ τεθυκὼς ἐτύγχανεν ἐν αὐλῇ Ἀδώνιδος, ἡ δὲ αὐλὴ ἀνθέων ἐτεθήλει κήποις, οὓς Ἀδώνιδι Ἀσσύριοι ποιοῦνται ὑπὲρ ὀργίων ὁμωροφίους αὐτοὺς φυτεύοντες. πρὸς δὲ τοῖς ἱεροῖς ὢν μετεστράφη καὶ ἐκ- 312
πλαγεὶς ὑπὸ τοῦ εἴδους τοῦ ἀνδρὸς „Αἰλιανέ,“ εἶπε „δαίμονά μοι ἐπεσήγαγες.“ ἀλλ' οὔτε ἐκπλαγεὶς ὁ Ἀπολλώνιος καθαπτόμενός τε ὧν ἤκουσεν „ἐγὼ δὲ“ ἔφη „τὴν Ἀθηνᾶν ᾤμην ἐπιμεμελῆσθαί σου, βασιλεῦ, τρόπον, ὃν καὶ τοῦ Διομήδους ποτὲ ἐν Τροίᾳ, τὴν γάρ τοι ἀχλύν, ὑφ' ἧς οἱ ἄνθρωποι χεῖρον βλέπουσιν, ἀφελοῦσα τῶν τοῦ Διομήδους ὀφθαλμῶν

ἔδωκεν αὐτῷ θεούς τε διαγιγνώσκειν καὶ ἄνδρας, σὲ
δ' οὔπω ἡ θεὸς ἐκάθηρεν, ὦ βασιλεῦ, τὴν κάθαρσιν
ταύτην· ἦ μὴν ἔδει γε, ὡς αὐτὴν τὴν Ἀθηνᾶν ὁρῴης
ἄμεινον τούς τε ἄνδρας μὴ ἐς τὰ τῶν δαιμόνων εἴδη
τάττοις." „σὺ δέ," εἶπεν „ὦ φιλόσοφε, πότε τὴν
ἀχλὺν ἐκαθήρω ταύτην;" „πάλαι" ἔφη „κἀξ ὅτου
φιλοσοφῶ." „πῶς οὖν" εἶπε „τοὺς ἐμοὶ πολεμιω-
τάτους ἄνδρας θεοὺς ἐνόμισας;" „καὶ τίς" ἔφη
„πρὸς Ἰάρχαν σοι πόλεμος ἢ πρὸς Φραώτην τοὺς
Ἰνδούς, οὓς ἐγὼ μόνους ἀνθρώπων θεούς τε ἡγοῦ-
μαι καὶ ἀξίους τῆς ἐπωνυμίας ταύτης;" „μὴ ἄπαγε
ἐς Ἰνδούς," εἶπεν „ἀλλ' ὑπὲρ τοῦ φιλτάτου σοι Νε-
ρούα καὶ τῶν κοινωνούντων αὐτῷ τῆς αἰτίας λέγε."
„ἀπολογῶμαι ὑπὲρ αὐτοῦ" ἔφη „τι ἢ" — „μὴ ἀπο-
λογοῦ" εἶπεν „ἀδικῶν γὰρ εἴληπται, ἀλλ' οὐχ ὡς 146
αὐτὸς ἀδικεῖς ξυνειδὼς ἐκείνῳ τοιαῦτα, τοῦτό με
ἀναδίδασκε." „εἰ, ἃ ξύνοιδα," ἔφη „ἀκοῦσαι βού-
λει, ἄκουε, τί γὰρ ἂν τἀληθῆ κρύπτοιμι;" ὁ μὲν δὴ
βασιλεὺς ἀπορρήτων τε λαμπρῶν ἀκροάσασθαι ᾤετο
καὶ ἐς τὸ ξυντεῖνον τῆς ἀπωλείας τῶν ἀνδρῶν ἥκειν
πάντα, ὁ δ' ὡς μετέωρον αὐτὸν ὑπὸ τῆς δόξης ταύ-
της εἶδεν, „ἐγὼ" ἔφη „Νερούαν σωφρονέστατον XXXIII
ἀνθρώπων οἶδα καὶ πρᾳότατον καὶ σοὶ ἐπιτηδειότα-
τον καὶ ἄρχοντα μὲν ἀγαθόν, εὐλαβῆ δ' οὕτω πρὸς
ὄγκον πραγμάτων, ὡς καὶ τὰς τιμὰς δεδιέναι, οἱ δὲ
ἀμφ' αὐτόν, Ῥοῦφον γάρ που λέγεις καὶ Ὄρφιτον,
313 σώφρονες μὲν καὶ οἵδε οἱ ἄνδρες, ὁπόσα οἶδα, καὶ
διαβεβλημένοι πρὸς πλοῦτον, νωθροὶ δὲ πράττειν
ὁπόσα ἔξεστι, νεώτερα δὲ οὔτ' ἂν αὐτοὶ ἐνθυμη-
θεῖεν οὔτ' ἂν ἑτέρῳ ἐνθυμηθέντι ξυνάραιντο." ἀνοι-
δήσας δ' ὁ βασιλεὺς ὑφ' ὧν ἤκουσε „συκοφάντην
με οὖν" εἶπεν „ἐπ' αὐτοῖς εἴληφας, ἵν' οὓς ἐγὼ

μιαρωτάτους ἀνθρώπων καὶ τοῖς ἐμοῖς ἐπιπηδῶντας εὗρον, σὺ δ', ὡς χρηστοί τέ εἰσι (λέγεις) καὶ νωθροί; καὶ γὰρ ἂν κἀκείνους ἡγοῦμαι ὑπὲρ σοῦ ἐρωτωμένους μήθ' ὡς γόης εἶ, φάναι, μήθ' ὡς ἴτης μήθ' ὡς ἀλαζὼν μήθ' ὡς φιλοχρήματος μήθ' ὡς φρονῶν ὑπὲρ τοὺς νόμους. οὕτως, ὦ μιαραὶ κεφαλαί, κακῶς ξυντέταχθε. ἐλέγξει δ' ἡ κατηγορία πάντα· καὶ γὰρ ὁπόσα ὀμώμοται ὑμῖν καὶ ὑπὲρ ὧν καὶ ὁπότε καὶ τί θύσασιν, οὐδὲν μεῖον οἶδα, ἢ εἰ παρετύγχανόν τε καὶ ἐκοινώνουν.“ ὁ δὲ οὐδὲ ταῦτα ἐκπλαγεὶς „αἰσχρόν,“ ἔφη „βασιλεῦ, καὶ οὐκ ἐκ τῶν νόμων ἢ δικάζειν ὑπὲρ ὧν πέπεισαι ἢ πεπεῖσθαι ὑπὲρ ὧν μὴ ἐδίκασας. εἰ δ' οὕτως ἔχει, ξυγχώρησον ἐνθένδε μοι τῆς ἀπολογίας ἄρξασθαι· κακῶς, ὦ βασιλεῦ, περὶ ἐμοῦ φρονεῖς, καὶ πλείω με ἀδικεῖς ἢ ὁ συκοφάντης, ἃ γὰρ ἐκεῖνος διδάξειν ἔφη, σὺ πρὶν ἀκοῦσαι πέπεισαι.“ „τῆς μὲν ἀπολογίας“ εἶπεν „ὁπόθεν βούλει, ἄρχου, ἐγὼ δὲ καὶ ἐς ὅ τι παύσομαι οἶδα

XXXIV καὶ ὁπόθεν ἤδη προσήκει ἄρξασθαι.“ ἄρχεται τὸ ἐνθένδε τῆς ἐς τὸν ἄνδρα ὕβρεως γενείων τε ἀποκείρας αὐτὸν καὶ χαίτης ἔν τε τοῖς κακουργοτάτοις δήσας, ὁ δ' ὑπὲρ μὲν τῆς κουρᾶς „ἐλελήθειν, ὦ βασιλεῦ,“ ἔφη „περὶ ταῖς θριξὶ κινδυνεύων,“ ὑπὲρ δὲ τῶν δεσμῶν „εἰ μὲν γόητά με ἡγῇ,“ ἔφη „πῶς δήσεις; εἰ δὲ δήσεις, πῶς γόητα εἶναι φήσεις;“ „καὶ ἀνήσω γε οὐ πρότερον,“ εἶπεν „ἢ ὕδωρ γενέσθαι σε ἢ τι θηρίον ἢ δένδρον.“ „ταυτὶ μὲν“ ἔφη 314 „οὐδ' εἰ δυναίμην, γενοίμην ἄν, ὡς μὴ προδοίην ποτὲ τοὺς οὐδεμιᾷ δίκῃ κινδυνεύοντας, ὢν δ', ὅσπερ εἰμί, πᾶσιν ὑποθήσω ἐμαυτὸν οἷς ἂν περὶ τὸ σῶμα τουτὶ πράττῃς, ἔστ' ἂν ὑπὲρ τῶν ἀνδρῶν ἀπολογήσωμαι.“ ὑπὲρ δὲ σοῦ“ εἶπε „τίς ὁ ἀπολογησόμενος

ἔσται;" „χρόνος" ἔφη „καὶ θεῶν πνεῦμα καὶ σοφίας ἔρως, ᾗ ξύνειμι."

Τὸν μὲν δὴ προάγωνα τῆς ἀπολογίας, ὃς [δὴ] XXXV
ἐγένετο αὐτῷ πρὸς Δομετιανὸν ἰδίᾳ, τοιόνδε διαγράφει ὁ Δάμις, οἱ δὲ βασκάνως ταῦτα ξυνθέντες ἀπολελογῆσθαι μὲν αὐτόν φασι πρότερον, δεδέσθαι δὲ μετὰ ταῦτα, ὅτε δὴ κείρασθαι, καί τινα ἐπιστολὴν ἀνέπλασαν ξυγκειμένην μὲν ἰωνικῶς, τὸ δὲ μῆκος ἄχαρι, ἐν ᾗ βούλονται τὸν Ἀπολλώνιον ἱκέτην τοῦ Δομετιανοῦ γίγνεσθαι παραιτούμενον ἑαυτὸν τῶν δεσμῶν. Ἀπολλώνιος δὲ τὰς μὲν διαθήκας τὰς ἑαυτοῦ τὸν Ἰώνιον ἑρμηνεύει τρόπον, ἐπιστολῇ δὲ ἰαστὶ ξυγκειμένῃ οὔπω Ἀπολλωνίου προσέτυχον, καίτοι ξυνειλοχὼς αὐτοῦ πλείστας, οὐδὲ μακρηγορίαν πω τοῦ ἀνδρὸς ἐν ἐπιστολῇ εὗρον, βραχεῖαι γὰρ καὶ ἀπὸ σκυτάλης πᾶσαι. καὶ μὴν καὶ νικῶν τὴν 147
αἰτίαν ἀπῆλθε τοῦ δικαστηρίου, καὶ πῶς ἄν ποτε ἐδέθη μετὰ τὴν ἀφεῖσαν ψῆφον; ἀλλὰ μήπω τὰ ἐν τῷ δικαστηρίῳ· ἔτι καὶ τὰ ἐπὶ τῇ κουρᾷ καὶ ἅττα διελέχθη, λεγέσθω πρότερον, ἄξια γὰρ σπουδάσαι·
δυοῖν γὰρ ἡμέραιν δεδεμένου τοῦ ἀνδρὸς ἀφικνεῖταί XXXVI
τις ἐς τὸ δεσμωτήριον τὸ προσελθεῖν αὐτῷ ἐωνῆσθαι φάσκων, ξύμβουλος δὲ σωτηρίας ἥκειν· ἦν μὲν δὴ Συρακούσιος οὗτος, Δομετιανοῦ δὲ νοῦς τε καὶ γλῶττα, καθεῖτο δ', ὥσπερ ὁ πρότερος, ἀλλ' ὑπὲρ
315 πιθανωτέρων οὗτος. ὁ μὲν γὰρ πόρρωθεν, ὁ δ' ἐκ τῶν παρόντων ἑλὼν „ὦ θεοί," ἔφη „τίς ἂν ᾠήθη δεθῆναι Ἀπολλώνιον;" „ὁ δήσας," εἶπεν „οὐ γὰρ ἄν, εἰ μὴ ᾠήθη, ἔδησε." „τίς δ' ἂν τὰς ἀμβροσίας ποτὲ ἀποτμηθῆναι χαίτας;" „ἐγὼ" εἶπεν „ὁ κομῶν." „φέρεις δὲ πῶς ταῦτα;" „ὥς γε εἰκὸς" εἶπε „τὸν μήθ' ἑκουσίως μήτ' ἀκουσίως ἐς αὐτὰ ἥκοντα." „τὸ

δὲ σκέλος πῶς“ ἔφη „καρτερεῖ;“ „οὐκ οἶδα,“ εἶπεν „ὁ γὰρ νοῦς πρὸς ἑτέροις ἐστί.“ „καὶ μὴν πρὸς τῷ ἀλγοῦντι“ ἔφη „ὁ νοῦς.“ „οὐ μὲν οὖν,“ εἶπε „νοῦς μὲν γάρ ὅ γ' ἐν ἀνδρὶ τοιῷδε ἢ οὐκ ἀλγήσει ἢ τὸ ἀλγοῦν παύσει.“ „τί δὲ δὴ ἐνθυμεῖται ὁ νοῦς;“ „αὐτὸ“ εἶπε „τὸ μὴ ἐννοεῖν ταῦτα.“ πάλιν δ' αὐτοῦ τὰς χαίτας ἀνακαλοῦντος καὶ περιάγοντος ἐς αὐτὰς τὸν λόγον, „ὤνησαι,“ ἔφη „νεανίσκε, μὴ τῶν ἐν Τροίᾳ ποτὲ Ἀχαιῶν εἷς γενόμενος, ὡς σφόδρα ἄν μοι δοκεῖς τὰς Ἀχιλλείους κόμας ὀλοφύρασθαι Πατρόκλῳ τμηθείσας, εἰ δὴ ἐτμήθησαν, καὶ λειποθυμῆσαι δ' ἂν ἐπ' αὐταῖς· ὃς γὰρ τὰς ἐμάς, ἐν αἷς πολιαί τε ἦσαν καὶ αὐχμός, ἐλεεῖν φάσκεις, τί οὐκ ἂν πρὸς ἐκείνας ἔπαθες τὰς ἠσκημένας τε καὶ ξανθάς;“ τῷ δὲ ἄρα ξὺν ἐπιβουλῇ ταῦτα ἐλέγετο, ἵν' ὑπὲρ ὧν ἀλγεῖ μάθοι, καὶ νὴ Δία, εἰ λοιδορεῖται τῷ βασιλεῖ ὑπὲρ ὧν πέπονθεν· ἀνακοπεὶς δ' ὑφ' ὧν ἤκουσε „διαβέβλησαι,“ ἔφη „πρὸς τὸν βασιλέα περὶ πλειόνων, μάλιστα δ' ὑπὲρ ὧν οἱ περὶ Νερούαν ὡς ἀδικοῦντες φεύγουσιν, ἀφίκοντο μὲν γάρ τινες ἐς αὐτὸν διαβολαὶ καὶ περὶ τῶν ἐν Ἰωνίᾳ λόγων, οὓς ἀντιξόως τε αὐτῷ καὶ ἀπηχθημένως εἶπας, καταφρονεῖ δὲ τούτων, ὥς φασιν, ἐπειδὴ πρὸς τὰ μείζω 316 παρώξυνται, καίτοι τοῦ κἀκεῖνα διαβάλλοντος ἀνδρὸς ὕψου προήκοντος τῆς δόξης.“ „οἷον ἔφη“ Ὀλυμπιονίκην εἴρηκας, εἰ δόξης φησὶν ἅπτεσθαι διαβολαῖς ἰσχύων. ξυνίημι δ', ὡς ἔστιν Εὐφράτης, ὃν ἐγὼ οἶδα πάντ' ἐπ' ἐμὲ πράττοντα, ἠδίκημαι δ' ὑπ' αὐτοῦ καὶ μείζω ἕτερα· αἰσθόμενος γάρ ποτε φοιτήσειν μέλλοντα παρὰ τοὺς ἐν Αἰθιοπίᾳ Γυμνοὺς ἐς διαβολάς μου πρὸς αὐτοὺς κατέστη, καὶ εἰ μὴ τῆς ἐπιβουλῆς ξυνῆκα, τάχ' ἂν ἀπῆλθον μηδ' ἰδὼν τοὺς

ἄνδρας." θαυμάσας οὖν ὁ Συρακούσιος τὸν λόγον „εἶτ'" ἔφη „τοῦ διαβληθῆναι βασιλεῖ μεῖζον ἡγῇ τὸ τοῖς Γυμνοῖς μὴ χρηστὸς ἂν ἐξ ὧν Εὐφράτης καθίει δόξαι;" „νὴ Δί'," εἶπεν „ἐκεῖ μὲν γὰρ μαθησόμενος ἦα, ἐνταῦθα δὲ ὑπὲρ διδασκαλίας ἥκω." „τῆς τί" ἔφη „διδασκούσης;" „τὸ εἶναί με" εἶπε „καλὸν κἀγαθόν, τουτὶ δὲ ὁ βασιλεὺς οὔπω οἶδεν." „ἀλλ' ἔστιν" ἔφη „τὰ σεαυτοῦ εὖ θέσθαι διδαξαμένῳ αὐτόν, ἃ καὶ πρὶν ἐνταῦθα ἥκειν λέξας οὐδ' ἂν ἐδέθης." ξυνιεὶς οὖν τοῦ Συρακουσίου ξυνελαύνοντος αὐτὸν ἐς τὸν ὅμοιον τῷ βασιλεῖ λόγον οἰομένου τε, ὡς ἀπαγορεύων πρὸς τὰ δεσμὰ ψεύσεταί τι κατὰ τῶν ἀνδρῶν „ὦ βέλτιστε," εἶπεν „εἰ τἀληθῆ πρὸς Δομετιανὸν εἰπὼν ἐδέθην, τί πείσομαι μὴ ἀληθεύσας; ἐκείνῳ μὲν γὰρ τἀληθὲς δοκεῖ δεσμῶν ἄξιον, ἐμοὶ δὲ τὸ ψεῦδος." ὁ μὲν δὴ Συρακούσιος ἀγα- XXXVII
σθεὶς αὐτὸν ὡς ὑπερφιλοσοφοῦντα, ταυτὶ γὰρ εἰπὼν ἀπῆλθεν, ἐχώρει ἐκ τοῦ δεσμωτηρίου, ὁ δ' Ἀπολλώνιος ἰδὼν ἐς τὸν Δάμιν „ξυνίης" ἔφη „τοῦ Πύθωνος τούτου;" „ξυνίημι μὲν" εἶπε ὑποκαθημένου τε 148
καὶ ὑπαγομένου σε, τί δ' ὁ Πύθων βούλεταί σοι καὶ τίς ὁ τοῦ ὀνόματος νοῦς, οὐκ οἶδα." „ἐγένετο" ἔφη „Πύθων ὁ Βυζάντιος ἀγαθός, φασί, ῥήτωρ τὰ κακὰ πείθειν· οὗτος ὑπὲρ Φιλίππου τοῦ Ἀμύντου πρεσβεύων παρὰ τοὺς Ἕλληνας ὑπὲρ τῆς δουλείας αὐτῶν τοὺς μὲν ἄλλους εἴα, ἀλλ' ἐν Ἀθηναίοις γε αὐτοῖς, ὅτε δὴ μάλιστά γε ῥητορικῇ ἔρρωντο, ἀδι-
317 κεῖσθαί τε ὑπ' αὐτῶν ἔφασκε τὸν Φίλιππον καὶ δεινὰ πράττειν Ἀθηναίους τὸ Ἑλληνικὸν ἐλευθεροῦντας. ὁ Πύθων ταῦτα (πολὺς) ῥέων, ὥς φασιν, ἀλλὰ Δημοσθένης ὁ Παιανιεὺς ἀντειπὼν θρασυνομένῳ μόνος, τὸ ἀνασχεῖν αὐτὸν τάττει ἐν τοῖς ἑαυ-

τοῦ ἄθλοις. ἐγὼ δὲ τὸ μὴ ὑπαχθῆναι ἐς ἃ ἐδόκει τούτῳ οὐκ ἄν ποτε ἆθλον ἐμαυτοῦ φαίην, Πύθωνι δ' αὐτὸν ταὐτὸν πράττειν ἔφην, ἐπειδὴ τυράννου τε μισθωτὸς ἀφίκετο καὶ ἀτόπων ξύμβουλος."

XXXVIII Διαλέγεσθαι μὲν δὴ τὸν Ἀπολλώνιον πλείω τοιαῦτα, ἑαυτὸν δὲ ὁ Δάμις ἀπορεῖν μὲν ὑπὲρ τῶν παρόντων φησί, λύσιν δὲ αὐτῶν ὁρᾶν οὐδεμίαν, πλὴν ὅσαι παρὰ τῶν θεῶν εὐξαμένοις τισὶ κἀκ πολλῷ χαλεπωτέρων ἦλθον, ὀλίγον δὲ πρὸ μεσημβρίας „ὦ Τυανεῦ," φάναι, σφόδρα γὰρ δὴ χαίρειν αὐτὸν τῇ προσρήσει „τί πεισόμεθα;" „ὅ γε ἐπάθομεν," ἔφη „πέρα δ' οὐδέν, οὐδὲ ἀποκτενεῖ ἡμᾶς οὐδείς." „καὶ τίς" εἶπεν „οὕτως ἄτρωτος; λυθήσῃ δὲ πότε;" „τὸ μὲν ἐπὶ τῷ δικάσαντι" ἔφη „τήμερον, τὸ δὲ ἐπ' ἐμοὶ ἄρτι." καὶ εἰπὼν ταῦτα ἐξήγαγε τὸ σκέλος τοῦ δεσμοῦ καὶ πρὸς τὸν Δάμιν ἔφη „ἐπίδειξιν πεποίημαί σοι τῆς ἐλευθερίας τῆς ἐμαυτοῦ καὶ θάρρει." τότε πρῶτον ὁ Δάμις φησὶν ἀκριβῶς ξυνεῖναι τῆς Ἀπολλωνίου φύσεως, ὅτι θεία τε εἴη καὶ κρείττων ἀνθρώπου, μὴ γὰρ θύσαντα, πῶς γὰρ ἐν δεσμωτηρίῳ; μηδ' εὐξάμενόν τι, μηδὲ εἰπόντα καταγελάσαι τοῦ δεσμοῦ καὶ ἐναρμόσαντα αὖ τὸ σκέλος τὰ τοῦ δεδεμένου πράττειν.

XXXIX οἱ δὲ εὐηθέστεροι τῶν ἀνθρώπων ἐς τοὺς γόητας ἀναφέρουσι ταῦτα, πεπόνθασι δ' αὐτὸ ἐς πολλὰ τῶν ἀνθρωπείων· δέονται μὲν γὰρ αὐ(τῶν)τῆς (τέχνης) ἀθληταί, δέονται δὲ ἀγωνισταὶ 318 πάντες διὰ τὸ νικᾶν γλίχεσθαι, καὶ ξυλλαμβάνει μὲν αὐτοῖς ἐς τὴν νίκην οὐδέν, ἃ δὲ ἀπὸ τύχης νικῶσι, ταῦθ' οἱ κακοδαίμονες αὑτοὺς ἀφελόμενοι λογίζονται τῇ τέχνῃ ταύτῃ, ἀπιστοῦσι δ' αὐτῇ οὐδ' οἱ ἡττώμενοι σφῶν, „εἰ γὰρ τὸ δεῖνα ἔθυσα καὶ τὸ δεῖνα ἐθυμίασα, οὐκ ἂν διέφυγέ με ἡ νίκη" τοιαῦτα

λέγουσι καὶ τοιαῦτα οἴονται. φοιτᾷ δὲ καὶ ἐπὶ θύρας ἐμπόρων κατὰ ταὐτά, καὶ γὰρ δὴ κἀκείνους εὕροιμεν ἂν τὰ μὲν εὐτυχήματα τῆς ἐμπορίας λογιζομένους τῷ γόητι, τὰ δὲ ἄτοπα τῇ αὑτῶν φειδοῖ καὶ τῷ μὴ ὁπόσα ἔδει θῦσαι. ἀνῆπται δὲ ἡ τέχνη τοὺς ἐρῶντας μάλιστα, νοσοῦντες γὰρ εὐπαράγωγον οὕτω νόσον, ὡς καὶ γραιδίοις ὑπὲρ αὐτῆς διαλέγεσθαι, θαυμαστόν, οἶμαι, οὐδὲν πράττουσι προσιόντες τοῖς σοφισταῖς τούτοις καὶ ἀκροώμενοι σφῶν τὰ τοιαῦτα, οἳ κεστόν τε αὐτοῖς φέρειν διδοῦσι καὶ λίθους, τοὺς μὲν ἐκ τῶν τῆς γῆς ἀπορρήτων, τοὺς δὲ ἐκ σελήνης τε καὶ ἀστέρων ἀρώματά τε ὁπόσα ἡ Ἰνδικὴ κηπεύει, καὶ χρήματα μὲν αὐτοὺς λαμπρὰ ὑπὲρ τούτων πράττονται, ξυνδρῶσι δὲ οὐδέν. ἢν μὲν γὰρ παθόντων τι τῶν παιδικῶν πρὸς τοὺς ἐρῶντας ἢ δώροις ὑπαχθέντων προβαίνῃ τὰ ἐρωτικά, ὑμνεῖται ἡ τέχνη ὡς ἱκανὴ πάντα, εἰ δ' ἀποτυγχάνοι ἡ πεῖρα, ἐς τὸ ἐλλειφθὲν ἡ ἀναφορά, μὴ γὰρ τὸ δεῖνα θυμιᾶσαι, μηδὲ θῦσαι ἢ τῆξαι, τουτὶ δὲ μέγα εἶναι καὶ ἄπορον. οἱ μὲν οὖν τρόποι, καθ' οὓς καὶ διοσημίας καὶ ἕτερα 149
319 *πλείω τερατεύονται καὶ ἀναγεγράφαταί τισιν, οἳ ἐγέλασαν πλατὺ ἐς τὴν τέχνην, ἐμοὶ δ' ἀποπεφάνθω μηδ' ἐκείνοις ὁμιλεῖν τοὺς νέους, ἵνα μηδὲ παίζειν τὰ τοιαῦτα ἐθίζοιντο. ἀποχρῶσα ἡ ἐκτροπὴ τοῦ λόγου· τί γὰρ ἂν πλείω καθαπτοίμην τοῦ πράγματος, ὃ καὶ φύσει διαβέβληται καὶ νόμῳ;*

Ἐνδειξαμένου δὲ τοῦ Ἀπολλωνίου τῷ Δάμιδι XL
ἑαυτὸν καὶ πλείω διαλεχθέντος, ἐπέστη τις περὶ μεσημβρίαν σημαίνων ἀπὸ γλώττης τοσαῦτα· „ἀφίησί σε ὁ βασιλεύς, Ἀπολλώνιε, τούτων τῶν δεσμῶν Αἰλιανοῦ ξυμβουλεύσαντος, τὸ δὲ ἐλευθέριον δεσμωτήριον ξυγχωρεῖ οἰκεῖν, ἔστ' ἂν ᾖ ἡ ἀπολογία, ἐς

ἡμέραν δὲ ἴσως ἀπολογήσῃ πέμπτην.“ „τίς οὖν“ ἔφη „ὁ μετασκευάσων με ἐνθένδε;“ „ἐγώ,“ εἶπε „καὶ ἕπου.“ καὶ ἰδόντες αὐτὸν οἱ ἐν τῷ ἐλευθερίῳ δεσμωτηρίῳ περιέβαλλον πάντες, ὡς οὐδ᾽ οἰηθεῖσιν αὐτοῖς ἐπανήκοντα. ὃν γὰρ δὴ πόθον ἴσχουσι πατρὸς παῖδες ἐς νουθετήσεις καθισταμένου σφίσιν ἡδείας τε καὶ ξυμμέτρους ἢ τὰ ἐφ᾽ ἡλικίας ἀφερμηνεύοντος, τὸν αὐτὸν κἀκεῖνοι τοῦ Ἀπολλωνίου εἶχον καὶ ὡμολόγουν ταῦτα, ὁ δ᾽ οὐκ ἐπαύετο ἀεί τι ξυμβουλεύων.

XLI Καλέσας δὲ τῆς ὑστεραίας τὸν Δάμιν „ἐμοὶ μὲν“ ἔφη „τὰ τῆς ἀπολογίας ἐς τὴν προειρημένην ἡμέραν ἔσται, σὺ δὲ τὴν ἐπὶ Δικαιαρχίας βάδιζε, λῷον γὰρ πεζῇ ἰέναι, κἂν προσείπῃς Δημήτριον, στρέφου περὶ τὴν θάλατταν, ἐν ᾗ ἔστιν ἡ Καλυψοῦς νῆσος, ἐπιφανέντα γάρ με ἐκεῖ ὄψει.“ „ζῶντα“ ἔφη ὁ Δάμις „ἢ τί;“ γελάσας δὲ ὁ Ἀπολλώνιος „ὡς μὲν ἐγὼ οἶμαι, ζῶντα,“ εἶπεν „ὡς δὲ σὺ οἴει, ἀναβεβιωκότα.“ ὁ μὲν δὴ ἀπελθεῖν φησιν ἄκων καὶ μήτ᾽ ἀπογιγνώσκων ὡς ἀπολουμένου μήτ᾽ εὔελπις ὡς οὐκ ἀπολεῖται. καὶ τριταῖος μὲν ἐλθεῖν ἐς Δικαιαρχίαν, 320
ἀκοῦσαι δὲ καὶ περὶ τοῦ χειμῶνος, ὃς περὶ τὰς ἡμέρας ἐκείνας ἐγένετο, ὅτι πνεῦμα ὕπομβρον καταῤῥαγὲν τῆς θαλάσσης τὰς μὲν κατέδυσε τῶν νεῶν, αἳ ἐκεῖσε ἔπλεον, τὰς δὲ ἐς Σικελίαν τε καὶ τὸν πορθμὸν ἀπεώσατο, καὶ ξυνεῖναι τότε ὑπὲρ ὅτου ἐκέλευσεν αὐτὸν πεζῇ κομίζεσθαι.

XLII Τὰ ἐπὶ τούτοις ἀναγράφει Δάμις ἐξ ὧν Ἀπολλωνίου φησὶν ἀκηκοέναι πρὸς Δημήτριόν τε καὶ πρὸς αὐτὸν εἰπόντος. μειράκιον μὲν γὰρ ἐκ Μεσσήνης τῆς ἐν Ἀρκαδίᾳ περίβλεπτον ὥρᾳ ἀφικέσθαι ἐς τὴν Ῥώμην, ἐρᾶν δ᾽ αὐτοῦ πολλοὺς μέν, Δομετιανὸν δὲ

παρὰ πάντας, τοὺς δ' οὕτως ἐρᾶν, ὡς μηδὲ τὸ ἀν-
τερᾶν ἐκείνῳ δεδιέναι. ἀλλ' ἐσωφρόνει τὸ μειράκιον
καὶ ἐφείδετο τῆς ἑαυτοῦ ὥρας. εἰ μὲν δὴ χρυσοῦ
κατεφρόνησεν ἢ χρημάτων ἢ ἵππων ἢ τοιῶνδε δε-
λεασμάτων, οἷς ὑπάγονται τὰ παιδικὰ ἔνιοι, μὴ ἐπαι-
νῶμεν, χρὴ γὰρ οὕτω παρεσκευάσθαι τὸν ἄνδρα, ὁ
δὲ μειζόνων ἀξιωθεὶς ἂν ἢ ὁμοῦ πάντες, οὓς ὀφθαλ-
μοὶ βασιλέων ἐσπάσαντο, οὐκ ἠξίου ἑαυτὸν ὧν
ἠξιοῦτο. ἐδέθη τοίνυν, τουτὶ γὰρ τῷ ἐραστῇ ἔδοξε,
καὶ προσελθὼν τῷ Ἀπολλωνίῳ, βουλομένῳ μέν τι
λέγειν ἐῴκει, αἰδῶ δὲ ξύμβουλον σιωπῆς ἔχων οὔπω
ἐθάρρει· ξυνεὶς οὖν ὁ Ἀπολλώνιος „σὺ μὲν οὐδ'
ἡλικίαν πω τοῦ ἀδικεῖν ἄγων καθεῖρξαι," ἔφη „καθ-
άπερ ἡμεῖς οἱ δεινοί." „καὶ ἀποθανοῦμαί γε," εἶπε
„τὸ γὰρ σωφρονεῖν θανάτου τιμῶνται οἱ ἐφ' ἡμῶν
νόμοι." „καὶ οἱ ἐπὶ Θησέως," εἶπε „τὸν γὰρ Ἱππό-
λυτον ἐπὶ σωφροσύνῃ ἀπώλλυ ὁ πατὴρ αὐτός."
„κἀμὲ" εἶπεν „ὁ πατὴρ ἀπολώλεκεν. ὄντα γάρ με 150
Ἀρκάδα ἐκ Μεσσήνης οὐ τὰ Ἑλλήνων ἐπαίδευσεν,
321 ἀλλ' ἐνταῦθα ἔστειλε μαθησόμενον ἤθη νομικά, καί
με ὑπὲρ τούτων ἥκοντα ὁ βασιλεὺς κακῶς εἶδεν."
ὁ δ' ὥσπερ οὐ ξυνιείς, ὃ λέγει, „εἰπέ μοι," ἔφη
„μειράκιον, μὴ γλαυκὸν ἡγεῖταί σε ὁ βασιλεὺς καίτοι
μελανόφθαλμον, ὡς ὁρῶ, ὄντα, ἢ στρεβλὸν τὴν ῥῖνα
καίτοι τετραγώνως ἔχοντα, καθάπερ τῶν ἑρμῶν οἱ
γεγυμνασμένοι, ἢ τὴν κόμην ἕτερόν τι παρ' ὅ ἐστιν;
ἔστι δ', οἶμαι, ἡλιῶσά τε καὶ ὑποφαίνουσα, καὶ μὴν
καὶ τὸ στόμα οὕτω ξύμμετρον, ὡς καὶ σιωπῇ πρέ-
πειν καὶ λόγῳ, δέρη τε οὕτως ἐλευθέρα καὶ φρο-
νοῦσα. τί οὖν ἕτερον τούτων ὁ βασιλεὺς ἡγήσεταί
σε, ἐπειδὴ κακῶς ὑπ' αὐτοῦ λέγεις ὀφθῆναι;" „αὐτό
με τοῦτο ἀπολώλεκεν, ὑπαχθεὶς γάρ μου ἐρᾶν οὐ

φείδεται ὧν ἐπαινεῖ, ἀλλ' αἰσχύνειν διανοεῖταί με, ὥσπερ οἱ τῶν γυναικῶν ἐρῶντες.“ ἀγασθεὶς δ' αὐτὸν ὁ Ἀπολλώνιος τὸ μὲν ξυγκαθεύδειν ὅ τι ἡγοῖτο καὶ εἰ αἰσχρὸν τοῦτο ἢ μή, καὶ τὰ τοιαῦτα τῶν ἐρωτημάτων παρῆκεν, ἐπειδήπερ ἐρυθριῶντα ἑώρα τὸν Ἀρκάδα καὶ κεκοσμημένως φθεγγόμενον, ἤρετο δ' αὐτὸν ὧδε· „κέκτησαί τινας ἐν Ἀρκαδίᾳ δούλους;“ „νὴ Δί',“ ἔφη „πολλούς γε.“ „τούτων οὖν“ εἶπε „τίνα ἡγῇ σεαυτόν;“ „ὅνγε,“ ἔφη „οἱ νόμοι, δεσπότης γὰρ αὐτῶν εἰμι.“ „δεσποτῶν δ',“ εἶπεν „ὑπηκόους εἶναι δούλους χρὴ ἢ ἀπαξιοῦν, ἃ δοκεῖ τοῖς τοῦ σώματος κυρίοις;“ ὁ δ' ἐνθυμηθεὶς ἐς οἵαν ἀπόκρισιν περιάγοιτο „ἡ μὲν τῶν τυράννων ἰσχὺς“ ἔφη „ὡς ἄμαχός τε καὶ χαλεπή, οἶδα, δι' αὐτὸ γάρ που καὶ δεσπόζειν τῶν ἐλευθέρων βούλονται, τοῦ δ' ἐμοῦ σώματος ἐγὼ δεσπότης καὶ φυλάξω αὐτὸ ἄσυλον.“ „πῶς;“ εἶπε „πρὸς ἐραστὴν γὰρ ὁ λόγος κωμάζοντα μετὰ ξίφους ἐπὶ τὴν σὴν ὥραν.“ „τὸν τράχηλον“ ἔφη „ὑποσχὼν μᾶλλον, ἐκείνου γὰρ δεῖ 322
τῷ ξίφει.“ ἐπαινέσας δὲ αὐτὸν ὁ Ἀπολλώνιος „Ἀρκάδα σε“ ἔφη „ὁρῶ.“ καὶ μὴν τοῦ μειρακίου τούτου καὶ ἐν ἐπιστολῇ μέμνηται καὶ διαγράφει αὐτὸ πολλῷ ἥδιον ἢ ἐγὼ ἐνταῦθα σωφροσύνης τε ἐπαινῶν πρὸς ὃν γράφει φησὶ τὸ μειράκιον τοῦτο μηδ' ἀποθανεῖν ὑπὸ τοῦ τυράννου, θαυμασθὲν δὲ τῆς ῥώμης ἐπὶ Μαλέαν πλεῦσαι ζηλωτὸν τοῖς ἐν Ἀρκαδίᾳ μᾶλλον ἢ οἱ τὰς τῶν μαστίγων καρτερήσεις παρὰ Λακεδαιμονίοις νικῶντες.

Θ'.

I Ἴωμεν ἐς τὸ δικαστήριον ἀκροασόμενοι τοῦ ἀνδρὸς ἀπολογουμένου ὑπὲρ τῆς αἰτίας, ἡλίου γὰρ

ἐπιτολαὶ ἤδη καὶ ἀνεῖται τοῖς ἐλλογίμοις ἡ ἐς αὐτὸ
πάροδος, τὸν βασιλέα τε οἱ ξυνδιαιτώμενοί φασι μηδὲ
σίτου ἅψασθαι, διορῶντα, οἶμαι, τὰ ἐν τῇ δίκῃ· καὶ
γάρ τι καὶ βιβλίον πρόχειρον ἔχειν αὐτὸν τὰ μὲν ξὺν
ὀργῇ, τὰ δὲ ἧττον. ἀνατυποῦσθαι δὲ χρὴ οἷον ἀχθό-
μενον τοῖς νόμοις, ἐπειδὴ εὗρον δικαστήρια. ἐντευ- II
ξόμεθα δὲ καὶ τῷ ἀνδρὶ διαλέξεσθαι ἡγουμένῳ μᾶλ-
λον ἢ δραμεῖσθαί τινα ὑπὲρ τῆς ψυχῆς ἀγῶνα, τουτὶ 151
δ᾽ ἂν τεκμηραίμεθα τοῖς γε πρὸ τοῦ δικαστηρίου·
προϊὼν γὰρ ἤρετο τὸν γραμματέα, ὑφ᾽ οὗ ἤγετο, οἷ
βαδίζοιεν, τοῦ δὲ ἐς τὸ δικαστήριον ἡγεῖσθαι αὐτῷ
φήσαντος „δικάσομαι“ ἔφη „πρὸς τίνα;“ „πρός γε
τὸν σεαυτοῦ“ εἶπε „κατήγορον, δικάσει δὲ ὁ βασι-
323 λεύς.“ „ἐμοὶ δὲ“ ἔφη „καὶ τῷ βασιλεῖ τίς ὁ δικά-
σων; δείξω γὰρ αὐτὸν φιλοσοφίαν ἀδικοῦντα.“ „καὶ
τίς“ εἶπε „βασιλεῖ φιλοσοφίας λόγος, κἂν ἀδικῶν
ταύτην τύχῃ;“ „ἀλλὰ φιλοσοφίᾳ πολὺς“ ἔφη „βα-
σιλέως, ἵν᾽ ἐπιτηδείως ἄρχῃ.“ ἐπαινέσας δὲ ὁ γραμ-
ματεύς, καὶ γὰρ δὴ καὶ μετρίως διέκειτο πρὸς τὸν
Ἀπολλώνιον, ὡς καὶ καταρχὰς ἐδείκνυ, „πόσῳ δὲ“
εἶπε „τὸν λόγον διαμετρήσεις ὕδατι; τουτὶ γάρ με
χρὴ πρὸ τῆς δίκης εἰδέναι.“ „εἰ μὲν ὁπόσα“ ἔφη
„ἀπαιτεῖ ἡ δίκη, ξυγχωρεῖ μοι λέγειν, οὐκ ἂν φθά-
νοι διαμετρηθεὶς οὐδὲ ὁ Θύμβρις, εἰ δὲ ὁπόσα ἐρή-
σεται, μέτρον τοῦ ἀποκρινομένου ὁ ἐρωτῶν.“ „ἐναν-
τίας“ εἶπεν „ἀρετὰς ἐπήσκησας βραχυλογεῖν τε καὶ
μακρηγορεῖν ὑπὲρ τῶν αὐτῶν φάσκων.“ „οὐκ ἐναν-
τίας,“ ἔφη „ἀλλ᾽ ὁμοίας· ὁ γὰρ θάτερον ἱκανὸς
οὐδὲν ἂν θατέρου λείποιτο. καὶ ξυμμετρία δὲ ἀμ-
φοῖν ξυγκειμένη τρίτη μὲν οὐκ ἂν φαίην, πρώτη δ᾽
ἂν εἴη ἀρετὴ λόγου, ἐγὼ δὲ καὶ τὸ σιωπᾶν ἐν δικα-
στηρίῳ τετάρτην ἀρετὴν οἶδα.“ „ἀνόητόν γε“ εἶπε

„σεαυτῷ καὶ παντὶ τῷ κινδυνεύειν μέλλοντι.“ „καὶ
μὴν καὶ Σωκράτην“ ἔφη „τὸν Ἀθηναῖον μέγα ὤνη-
σεν, ὅτε ἔφυγε τὴν γραφήν.“ „καὶ πῶς ὤνησεν“
εἶπε „τόν, ἐπειδὴ ἐσιώπα, ἀποθανόντα;“ „οὐκ ἀπέ-
III θανεν,“ ἔφη „Ἀθηναῖοι δὲ ᾤοντο.“ ὧδε μὲν παρ-
εσκεύαστο πρὸς τὰ ἐκ τοῦ τυράννου πάντα, προ-
εστῶτι δ᾽ αὐτῷ τοῦ δικαστηρίου προσελθὼν ἕτερος
γραμματεὺς „ὦ Τυανεῦ,“ ἔφη „γυμνὸς ἔσελθε.“
„λουσόμεθα οὖν“ εἶπεν „ἢ δικασόμεθα;“ „οὐχ
ὑπὲρ ἐσθῆτος“ ἔφη „ταῦτα προείρηται, ἀλλ᾽ ἀπαγο-
ρεύει σοι ὁ βασιλεὺς μήτε περίαπτον μήτε βιβλίον
μήτ᾽ ἄλλο γραμματεῖον ὅλως μηδὲν ἐσφέρειν ἐν-
ταῦθα.“ „μηδὲ νάρθηκα“ εἶπεν „ἐπὶ τοὺς ἀνοήτως
αὐτὸν ταῦτα πείθοντας;“ „ἀναβοήσας δὲ ὁ κατήγο-
ρος“ ὦ βασιλεῦ, „πληγὰς“ ἔφη „ἀπειλεῖ μοι ὁ γόης, 324
ἐγὼ γάρ σε ταυτὶ πέπεικα.“ „οὐκοῦν“ εἶπε „σὺ
μᾶλλον γόης, ἃ γὰρ μὴ ἐγὼ πέπεικά πω τὸν βασιλέα,
ὡς οὐκ εἰμί, σὺ φῂς αὐτὸν ὡς εἴην πεπεικέναι.“
παρῆν δὲ τῷ κατηγόρῳ λοιδορουμένῳ ταῦτα καὶ
τῶν Εὐφράτου τις ἀπελευθέρων, ὃν ἐλέγετο Εὐ-
φράτης ἄγγελον τῶν ἐν Ἰωνίᾳ τοῦ Ἀπολλωνίου
διαλέξεων στεῖλαι ὁμοῦ χρήμασιν, ἃ τῷ κατηγόρῳ
ἐπεδόθη.

IV Τοιαῦτα ἠκροβολίσαντο πρὸ τῆς δίκης, τὰ δὲ ἐν
αὐτῇ· κεκόσμητο μὲν τὸ δικαστήριον ὥσπερ ἐπὶ
ξυνουσίᾳ πανηγυρικοῦ λόγου, μετεῖχον δὲ αὐτῆς οἱ
ἐπίδηλοι πάντες ἀγῶνα ποιουμένου τοῦ βασιλέως
ὅτι ἐν πλείστοις ἑλεῖν αὐτὸν ἐπὶ τῇ τῶν ἀνδρῶν
αἰτίᾳ. ὁ δ᾽ οὕτω τι ὑπερεώρα τοῦ βασιλέως, ὡς
μηδὲ ἐς αὐτὸν βλέπειν, ἐπηρεάσαντος δὲ τοῦ κατηγό-
ρου τὴν ὑπεροψίαν καὶ κελεύσαντος ὁρᾶν αὐτὸν ἐς
τὸν ἁπάντων ἀνθρώπων θεόν, ἀνέσχεν ὁ Ἀπολλώνιος

τοὺς ὀφθαλμοὺς ἐς τὸν ὄροφον ἐνδεικνύμενος μὲν
τὸ ἐς τὸν Δία ὁρᾶν, τὸν δὲ ἀσεβῶς κολακευθέντα
κακίω τοῦ κολακεύσαντος ἡγούμενος. ἐβόα καὶ τοι-
αῦτα ὁ κατήγορος „ἤδη μέτρει, βασιλεῦ, ὕδωρ, εἰ
γὰρ ξυγχωρήσεις αὐτῷ μῆκος λόγων, ἀπάγξει ἡμᾶς.
ἔστι δέ μοι καὶ βιβλίον τοῦτο ξυγγεγραμμένον τὰς
αἰτίας, ὑπὲρ ὧν χρὴ λέγειν αὐτόν, ἀπολογείσθω δὲ
κατὰ μίαν.“ ὁ δ᾽, ὡς ἄριστα ξυμβουλεύσαντος ἐπαι- V
νέσας ἐκέλευσε τὸν ἄνδρα κατὰ τὴν τοῦ συκοφάν-
του ξυμβουλίαν ἀπολογεῖσθαι, τὰς μὲν ἄλλας παρελ-
θὼν αἰτίας, ὡς οὐκ ἀξίας καταστῆσαί τινα ἐς λόγον,
ὑπὲρ τεττάρων δέ, ἃς ἀπόρους τε καὶ δυσαποκρί-
τους ᾤετο, ὧδε ἐρωτήσας· „τί γὰρ μαθών,“ ἔφη
„Ἀπολλώνιε, οὐ τὴν αὐτὴν ἔχεις ἅπασι στολήν, ἀλλ᾽ 152
ἰδίαν τε καὶ ἐξαίρετον;“ „ὅτι με“ εἶπεν „ἡ τρέ-
325 φουσα γῆ καὶ ἀμφιέννυσι, ζῷα δὲ ἄθλια οὐκ ἐνο-
χλῶ.“ πάλιν ἤρετο „τοῦ χάριν οἱ ἄνθρωποι θεόν
σε ὀνομάζουσιν;“ „ὅτι πᾶς“ εἶπεν „ἄνθρωπος ἀγα-
θὸς νομιζόμενος θεοῦ ἐπωνυμίᾳ τιμᾶται.“ ὁ λόγος
οὗτος ὁπόθεν ἐφιλοσοφήθη τῷ ἀνδρί, δεδήλωκα ἐν
τοῖς Ἰνδῶν λόγοις. τρίτον ἤρετο ὑπὲρ τοῦ ἐν Ἐφέσῳ
λοιμοῦ „πόθεν γὰρ“ ἔφη „ὁρμώμενος ἢ τῷ ξυμβαλ-
λόμενος προεῖπας τῇ Ἐφέσῳ νοσήσειν αὐτούς;“
„λεπτοτέρᾳ,“ εἶπεν „ὦ βασιλεῦ, διαίτῃ χρώμενος
πρῶτος τοῦ δεινοῦ ᾐσθόμην· εἰ δὲ βούλει, λέγω καὶ
λοιμῶν αἰτίας.“ ὁ δ᾽, οἶμαι, δείσας μὴ τὴν ἀδικίαν
καὶ τοὺς μὴ καθαροὺς γάμους καὶ ὁποῖα οὐκ εὐλό-
γως ἔπραττεν, ἐπιγράψῃ ταῖς τοιαύταις νόσοις „οὐ
δέομαι“ ἔφη „τοιᾶσδε ἀποκρίσεως.“ ἐπεὶ δὲ τὴν
τετάρτην ἐρώτησιν ἐπέφερεν ἐς τοὺς ἄνδρας, οὐκ
εὐθὺς ὥρμησεν, ἀλλὰ πολὺν μὲν χρόνον διαλιπών,
πολλὰ δὲ ἐνθυμηθείς, ἰλιγγιῶντι δὲ ὅμοιος ἠρώτησεν

οὐ κατὰ τὴν ἁπάντων δόξαν· οἱ μὲν γὰρ ᾤοντο αὐτὸν ἐκπηδήσαντα τοῦ πλάσματος μήτε τῆς προσηγορίας ἀφέξεσθαι τῶν ἀνδρῶν, σχέτλιά τε ὑπὲρ τῆς θυσίας βοήσεσθαι, ὁ δὲ οὐχ ὧδε, ἀλλ' ὑφέρπων τὴν ἐρώτησιν „εἰπέ μοι" ἔφη „προελθὼν τῆς οἰκίας τῇ δεῖνι ἡμέρᾳ καὶ ἐς ἀγρὸν πορευθεὶς τίνι ἐθύσω τὸν παῖδα;" καὶ ὁ Ἀπολλώνιος ὥσπερ μειρακίῳ ἐπιπλήττων „εὐφήμει," ἔφη „εἰ μὲν γὰρ προῆλθον τῆς οἰκίας, ἐγενόμην ἐν ἀγρῷ, εἰ δὲ τοῦτο, καὶ ἔθυσα, εἰ δὲ ἔθυσα, καὶ ἔφαγον. λεγόντων δὲ αὐτὰ οἱ πίστεως ἄξιοι." τοιαῦτα τοῦ ἀνδρὸς εἰπόντος καὶ ἐπαίνου ἀρθέντος μείζονος ἢ βασίλειον ξυγχωρεῖ δικαστήριον, ξυμμαρτυρεῖν αὐτῷ νομίσας ὁ βασιλεὺς 326 τοὺς παρόντας καὶ παθών τι πρὸς τὰς ἀποκρίσεις, ἐπειδὴ ἔρρωντό τε καὶ νοῦν εἶχον „ἀφίημί σε" εἶπε „τῶν ἐγκλημάτων, περιμενεῖς δέ, ἔστ' ἂν ἰδίᾳ ξυγγενώμεθα." ὁ δὲ ἐπιρρώσας ἑαυτὸν „σοὶ μὲν χάρις, ὦ βασιλεῦ," ἔφη „διὰ δὲ τοὺς ἀλιτηρίους τούτους ἀπολώλασι μὲν αἱ πόλεις, πλήρεις δ' αἱ νῆσοι φυγάδων, ἡ δὲ ἤπειρος οἰμωγῆς, τὰ δὲ στρατεύματα δειλίας, ἡ δὲ ξύγκλητος ὑπονοίας. δός, εἰ βούλοιο, κἀμοὶ τόπον, εἰ δὲ μή, πέμπε τὸν ληψόμενόν μου τὸ σῶμα, τὴν γὰρ ψυχὴν ἀδύνατον· μᾶλλον δὲ οὐδ' ἂν τὸ σῶμα τοὐμὸν λάβοις,

οὐ γάρ με κτενέεις, ἐπεὶ οὔτοι μόρσιμός εἰμι.

καὶ εἰπὼν ταῦτα ἠφανίσθη τοῦ δικαστηρίου, τόν τε παρόντα καιρὸν εὖ τιθέμενος ὑπὲρ ὧν οὐδ' ἁπλῶς ὁ τύραννος, ἀλλὰ καὶ ἐκ περιουσίας ἐρωτήσων δῆλος ἦν — ἐμεγαλοφρονεῖτο γάρ που τῷ μὴ ἀπεκτονέναι αὐτὸν — τοῦ τε μὴ ἐς τὰ τοιαῦτα ὑπαχθῆναι προορῶν. τυχεῖν δ' αὖ τούτου ἄριστα ἡγεῖτο, εἰ μὴ ἀγνοοῖτο τῆς φύσεως, ἀλλὰ γιγνώσκοιτο, ὡς ἔχοι τοῦ

μὴ ἄν ποτε ἁλῶναι ἄκων. καὶ γὰρ τὸ δέος τὸ περὶ τοῖς ἀνδράσιν εὖ ἤδη αὐτῷ εἶχεν, ὑπὲρ ὧν γὰρ μηδὲ ἐρέσθαι τι ὁ τύραννος ὥρμησε, πῶς ἂν τούτους ἐς τὸ πιθανὸν ἀπέκτεινεν ἐπὶ ταῖς οὐκ ἐν δικαστηρίῳ πεπιστευμέναις αἰτίαις; τοιάδε εὗρον τὰ ἐν τῇ δίκῃ.

Ἐπεὶ δὲ καὶ λόγος μὲν αὐτῷ ξυνεγράφη τις ὡς VI
πρὸς ὕδωρ ἐς τὴν ἀπολογίαν ἀφήσοντι, ξυνεῖλε δὲ αὐτὸν ὁ τύραννος ἐς ἃς εἴρηκα ἐρωτήσεις, ἀναγεγράφθω καὶ ὁ λόγος. οὐκ ἀγνοῶ μὲν γάρ, ὅτι διαβα-
327 λοῦσιν αὐτὸν οἱ τὰς βωμολόχους ἰδέας ἐπαινοῦντες, ὡς ἧττον μέν, ἢ αὐτοί φασι δεῖν, κεκολασμένον, ὑπεραίροντα δὲ τοῖς τε ὀνόμασι καὶ ταῖς γνώμαις, τὸν δὲ ἄνδρα ἐνθυμουμένῳ οὔ μοι δοκεῖ ὁ σοφὸς ὑγιῶς ἂν ὑποκρίνεσθαι τὸ ἑαυτοῦ ἦθος πάρισα ἐπι-
τηδεύων καὶ ἀντίθετα καὶ κροτάλου δίκην κτυπῶν 153
τῇ γλώττῃ, ῥητορικοῖς μὲν γὰρ πρὸς τρόπου ταῦτα καὶ οὐδὲ ἐκείνοις δεῖ· δεινότης γὰρ ἐν δικαστηρίοις ἡ μὲν φανερὰ κἂν διαβάλοι τινὰ ὡς ἐπιβουλεύοντα τοῖς ψηφιουμένοις, ἡ δ' ἀφανὴς κἂν ἀπέλθοι κρατοῦσα, τὸ γὰρ λαθεῖν τοὺς δικάζοντας, ὡς δεινός ἐστιν, ἀληθεστέρα δεινότης. σοφῷ δὲ ἀνδρὶ ἀπολογουμένῳ, οὐ γὰρ κατηγορήσει γε ὁ σοφός, ἃ ἐπιτιμᾶν ἔρρωται, ἤθους τε δεῖ ἑτέρου παρὰ τοὺς δικανικοὺς ἄνδρας, λόγου τε κατεσκευασμένου μέν, μὴ δοκοῦντος δέ, καὶ ὑπόσεμνος ἔστω καὶ μὴ πολὺ ἀποδέων τοῦ ὑπερόπτης εἶναι ἔλεός τε ἀπέστω λέγοντος· ὁ γὰρ μὴ ἀντιβολῆσαι ξυγχωρῶν τί ἂν οὗτος ἐπὶ ἐλέῳ εἴποι; τοιόσδε ὁ λόγος δόξει τοῖς γε μὴ μαλακῶς ἀκροασομένοις ἐμοῦ τε καὶ τοῦ ἀνδρός· ξυνετέθη γὰρ αὐτῷ ὧδε·

1 „Ὁ μὲν ἀγὼν ὑπὲρ μεγάλων σοί τε, ὦ βασιλεῦ, VII

κἀμοί· σύ τε γὰρ κινδυνεύεις ὑπὲρ ὧν μήποτε αὐτοκράτωρ, εἰ πρὸς φιλοσοφίαν οὐδεμιᾷ δίκῃ διαβεβλῆσθαι δόξεις, ἐγώ τε ὑπὲρ ὧν μηδὲ Σωκράτης ποτὲ Ἀθήνησιν, ὃν οἱ γραψάμενοι τὴν γραφὴν καινὸν μὲν τὰ δαιμόνια ἡγοῦντο, δαίμονα δὲ οὔτε ἐκάλουν οὔτε ᾤοντο. κινδύνου δὲ ἐφ᾽ ἑκάτερον ἡμῶν οὕτω χαλεποῦ ἥκοντος οὐκ ὀκνήσω καὶ σοὶ ξυμβουλεύειν, ὁπόσα ἐμαυτὸν πέπεικα· ἐπειδὴ γὰρ κατέστησεν ἡμᾶς ὁ κατήγορος ἐς τουτονὶ τὸν ἀγῶνα, ἐσῆλθε τοὺς πολλοὺς οὐκ ἀληθὴς περὶ ἐμοῦ τε καὶ σοῦ δόξα· σὲ μὲν 328 γὰρ ᾤοντο ξυμβούλῳ τῆς ἀκροάσεως ὀργῇ χρήσεσθαι, δι᾽ ἣν κἂν ἀποκτεῖναί με, ὅ τι ποτέ ἐστι τὸ ἀποκτεῖναι, ἐμὲ δ᾽ ἐκποιήσειν ἐμαυτὸν τοῦ δικαστηρίου τρόποις, ὁπόσοι τοῦ ἀποδρᾶναί εἰσιν, ἦσαν δ᾽, ὦ βασιλεῦ, μυρίοι· καὶ τούτων ἀκούων οὐκ ἐς τὸ προκαταγιγνώσκειν ἦλθον, οὐδὲ κατεψηφισάμην τῆς σῆς ἀκροάσεως ὡς μὴ τὸ εὐθὺ ἐχούσης, ἀλλὰ ξυνθέμενος τοῖς νόμοις ἕστηκα ὑπὸ τῷ λόγῳ. τούτου ξύμβουλος καὶ σοὶ γίγνομαι· δίκαιον γὰρ τὸ μὴ προκαταγιγνώσκειν, μηδὲ καθῆσθαι πεπεισμένον, ὡς ἐγώ τί σε κακὸν εἴργασμαι, μηδ᾽ ὑπὲρ μὲν τοῦ Ἀρμενίου τε καὶ Βαβυλωνίου καὶ ὅσοι τῶν ἐκείνῃ ἄρχουσιν, οἷς ἵππος τε παμπόλλη ἐστὶ καὶ τοξεία πᾶσα καὶ χρυσῆ γῆ καὶ ἀνδρῶν ὄχλος, ὃν ἐγὼ οἶδα, ἀκούειν ξὺν γέλωτι τὸ πείσεσθαί τι ὑπ᾽ αὐτῶν, ὅ σε καὶ τὴν ἀρχὴν ταύτην ἀφαιρήσεται, κατ᾽ ἀνδρὸς δὲ σοφοῦ καὶ γυμνοῦ πιστεύειν, ὡς ἐστι τούτῳ ὅπλον ἐπὶ τὸν Ῥωμαίων αὐτοκράτορα, καὶ προσδέχεσθαι ταῦτα Αἰγυπτίου συκοφάντου λέγοντος, ἃ μηδὲ τῆς Ἀθηνᾶς ποτε ἤκουσας, ἣν σεαυτοῦ προορᾶν φῄς, εἰ μή, νὴ Δία, ἡ κολακευτικὴ καὶ τὸ συκοφαντεῖν οὕτω τι νῦν τοῖς ἀλιτηρίοις τούτοις ἐπιδέδωκεν, ὡς τοὺς

θεοὺς ὑπὲρ μὲν τῶν σμικρῶν καὶ ὁπόσα ὀφθαλμίαι
τέ εἰσι καὶ τὸ μὴ πυρέξαι, μηδ' ἀνοιδῆσαί τι τῶν
σπλάγχνων, ἐπιτηδείους εἶναί σοι ξυμβούλους φά-
σκειν ἰατρῶν δίκην ἐφαπτομένους καὶ θεραπεύοντας,
ὅτου αὐτῶν πονήρως ἔχοις, περὶ δὲ τῇ ἀρχῇ καὶ τῷ
σώματι κινδυνεύοντί σοι μηθ' οὓς φυλάττεσθαι χρὴ
ξυμβουλεύειν μήθ' ὅ τι ἔσται σοι πρὸς αὐτοὺς ὅπλον
διδάσκειν ἥκοντας, ἀλλ' εἶναί σοι τοὺς συκοφάντας
αἰγίδα Ἀθηνᾶς καὶ Διὸς χεῖρα, εἰδέναι μὲν ὑπὲρ
σοῦ φάσκοντας, ἃ μηδ' οἱ θεοί, προεγρηγορότας δέ
σου καὶ προκαθεύδοντας, εἰ δὴ καθεύδουσιν οὗτοι,
κακοῖς, φασιν, ἐπαντλοῦντες κακὰ καὶ τὰς Ἰλιάδας
ταύτας ἀεὶ ξυντιθέντες. καὶ τὸ μὲν ἱπποτροφεῖν
αὐτοὺς κἀπὶ ζευγῶν ἐς τὴν ἀγορὰν ἐκκυκλεῖσθαι
329 λευκῶν καὶ ἡ ἐν ἀργύρῳ καὶ χρυσῷ ὀψοφαγία καὶ
[γάμοι] μυριάδων δύο καὶ τριῶν ἐωνημένα παιδικὰ
καὶ τὸ μοιχεύειν μέν, ὃν λανθάνουσι χρόνον, γαμεῖν
δέ, ἃς ἐμοίχευσαν, ὅταν ἐπ' αὐταῖς ληφθῶσι, καὶ οἱ
κροτοῦντες αὐτοὺς ἐπὶ ταῖς καλαῖς νίκαις, ἐπειδὰν
φιλόσοφός τις ἢ ὕπατος ἀδικῶν οὐδὲν ἁλῷ μὲν ὑπὸ
τούτων, ἀπόληται δὲ ὑπὸ σοῦ, δεδόσθω τῇ τῶν κατα-
ράτων τρυφῇ καὶ τῷ μήτε νόμων αὐτοῖς ἔτι μήτ' 154
ὀφθαλμῶν εἶναι φόβον, τὸ δ' οὕτω τι ὑπὲρ τοὺς
ἀνθρώπους φρονεῖν, ὡς προγιγνώσκειν βούλεσθαι
τῶν θεῶν, ἐγὼ μὲν οὔτ' ἐπαινῶ καὶ ἀκούων δέδια,
σὺ δ' εἰ προσδέξοιο, γράψονται καὶ σὲ ἴσως ὡς δια-
βάλλοντα τὴν περὶ τοῦ θείου δόξαν, ἐλπὶς γὰρ καὶ
κατὰ σοῦ ξυγκείσεσθαι τοιαύτας γραφάς, ἐπειδὰν
μηδεὶς τοῖς συκοφάνταις λοιπὸς ᾖ. καὶ ξυνίημι μὲν
ἐπιτιμῶν μᾶλλον ἢ ἀπολογούμενος, εἰρήσθω δέ μοι
ταῦθ' ὑπὲρ τῶν νόμων, οὓς εἰ μὴ ἄρχοντας ἡγοῖο,
2 οὐκ ἄρξεις. τίς οὖν ξυνήγορος ἔσται μοι ἀπολογου-

μένῳ; εἰ γὰρ καλέσαιμι τὸν Δία, ὑφ᾽ ᾧ βεβιωκὼς οἶδα, γοητεύειν με φήσουσι καὶ τὸν οὐρανὸν ἐς τὴν γῆν ἄγειν. διαλεγώμεθα οὖν περὶ τούτου ἀνδρί, ὃν τεθνάναι μὲν οἱ πολλοί φασιν, ἐγὼ δὲ οὔ φημι· ἔστι δὲ οὗτος ὁ πατὴρ ὁ σός, ᾧ ἐγὼ τοσούτου ἄξιος, ὅσου περ ἐκεῖνος σοί· σὲ μὲν γὰρ ἐποίησεν, ὑπ᾽ ἐμοῦ δὲ ἐγένετο. οὗτος, ὦ βασιλεῦ, ξυλλήπτωρ ἔσται μοι τῆς ἀπολογίας πολλῷ τἀμὰ βέλτιον ἢ σὺ γιγνώσκων· ἀφίκετο μὲν γὰρ ἐς Αἴγυπτον οὔπω αὐτοκράτωρ, θεοῖς τε τοῖς ἐν Αἰγύπτῳ θύσων κἀμοὶ ὑπὲρ τῆς ἀρχῆς διαλεξόμενος. ἐντυχὼν δέ μοι κομῶντί τε καὶ ὧδε ἐσταλμένῳ οὐδὲ ἤρετο οὐδὲ ἓν περὶ τοῦ σχήματος, ἡγούμενος τὸ ἐν ἐμοὶ πᾶν εὖ ἔχειν, ἐμοῦ δ᾽ ἕνεχ᾽ ἥκειν ὁμολογήσας ἀπῆλθεν ἐπαινέσας καὶ εἰπὼν μὲν ἃ μὴ πρὸς ἄλλον, ἀκούσας δ᾽ ἃ μὴ παρ᾽ ἄλλου, ἥ τε διάνοια, ᾗ ἐς τὸ ἄρχειν ἐχρῆτο, ἐρρώσθη αὐτῷ παρ᾽ ἐμοῦ μάλιστα, μεθεστηκυῖα ἤδη ὑφ᾽ ἑτέρων οὐκ ἀνεπιτηδείων μέν, οὐ μὴν σοί γε δόξαι, οἱ γὰρ μὴ ἄρχειν αὐτὸν πείθοντες καὶ 330 σὲ δήπου αὐτὸ ἀφῃροῦντο τὸ μετ᾽ ἐκεῖνον ταῦτ᾽ ἔχειν, ἐμοῦ δὲ ξυμβουλεύοντος ἑαυτόν τε μὴ ἀπαξιοῦν ἀρχῆς ἐπὶ θύρας αὐτῷ φοιτώσης ὑμᾶς τε κληρονόμους αὐτῆς ποιεῖσθαι, εὖ ἔχειν τὴν γνώμην φήσας αὐτός τε μέγας ἤρθη καὶ ὑμᾶς ἦρεν· εἰ δὲ γόητά με ᾤετο, οὐδ᾽ ἂν ξυνῆψέ μοι κοινωνίαν φροντίδων, οὐδὲ γὰρ τοιαῦτα ἥκων διελέγετο, οἷον· ἀνάγκασον τὰς Μοίρας ἢ τὸν Δία, τύραννον ἀποφῆναί με ἢ τεράτευσαι διοσημίας ὑπὲρ ἐμοῦ δείξας τὸν ἥλιον ἀνίσχοντα μὲν ἀπὸ τῆς ἑσπέρας, δυόμενον δέ, ὅθεν ἄρχεται. οὐ γὰρ ἄν μοι ἐπιτήδειος ἄρχειν ἔδοξεν ἢ ἐμὲ ἡγούμενος ἱκανὸν ταῦτα ἢ σοφίσμασι θηρεύων ἀρχήν, ἣν ἀρεταῖς ἔδει κατακτᾶσθαι. καὶ μὴν καὶ

δημοσίᾳ διελέχθην ἐν ἱερῷ, γοήτων δὲ ξυνουσίαι φεύγουσι μὲν ἱερὰ θεῶν, ἐχθρὰ γὰρ τοῖς περὶ τὴν τέχνην, νύκτα δὲ καὶ πᾶν, ὅ τι ἀφεγγές, αὑτῶν προβαλλόμενοι οὐ ξυγχωροῦσι τοῖς ἀνοήτοις οὐδὲ ὀφθαλμοὺς ἔχειν οὔτε ὦτα. διελέχθη μοι καὶ ἰδίᾳ μέν, παρετύγχανον δὲ ὅμως Εὐφράτης καὶ Δίων, ὁ μὲν πολεμιώτατά μοι ἔχων, ὁ δ' οἰκειότατα, Δίωνα γὰρ μὴ παυσαίμην γράφων ἐν φίλοις. τίς ἂν οὖν ἐπ' ἀνδρῶν σοφῶν ἢ μεταποιουμένων γε σοφίας ἐς γόητας ἔλθοι λόγους; τίς δ' οὐκ ἂν παραπλησίως φυλάξαιτο καὶ ἐν φίλοις καὶ ἐν ἐχθροῖς κακὸς φαίνεσθαι; καὶ οἱ λόγοι ἦσαν ἐναντιούμενοι τοῖς γόησι· σὺ μὲν γὰρ ἴσως τὸν πατέρα ἡγῇ τὸν σεαυτοῦ βασιλείας ἐρῶντα γόησι μᾶλλον ἢ ἑαυτῷ πιστεῦσαι καὶ ἀνάγκην ἐπὶ τοὺς θεούς, ἵνα τούτου τύχοι, παρ' ἐμοῦ εὑρέσθαι, ὁ δὲ τοῦτο μὲν καὶ πρὶν ἐς Αἴγυπτον ἥκειν ἔχειν ᾤετο, μετὰ ταῦτα δ' ὑπὲρ μειζόνων ἐμοὶ
331 διελέγετο, ὑπὲρ νόμων καὶ ὑπὲρ πλούτου δικαίου θεοί τε ὡς θεραπευτέοι καὶ ὁπόσα παρ' αὐτῶν ἀγαθὰ τοῖς κατὰ τοὺς νόμους ἄρχουσι, μαθεῖν ἤρα· οἷς πᾶσιν ἐναντίον χρῆμα οἱ γόητες, εἰ γὰρ ἰσχύοι ταῦτα,
3 οὐκ ἔσται ἡ τέχνη. προσήκει δέ, ὦ βασιλεῦ, κἀκεῖνα ἐπεσκέφθαι· τέχναι ὁπόσαι κατ' ἀνθρώπους εἰσί, πράττουσι μὲν ἄλλο ἄλλη, πᾶσαι δ' ὑπὲρ χρημάτων, αἱ μὲν σμικρῶν, αἱ δ' αὖ μεγάλων, αἱ δ' ἀφ' ὧν 155
θρέψονται, καὶ οὐχ αἱ βάναυσοι μόνον, ἀλλὰ καὶ τῶν ἄλλων τεχνῶν σοφαί τε ὁμοίως καὶ ὑπόσοφοι πλὴν ἀληθοῦς φιλοσοφίας. καλῶ δὲ σοφὰς μὲν ποιητικὴν μουσικὴν ἀστρονομίαν σοφιστὰς καὶ τῶν ῥητόρων τοὺς μὴ ἀγοραίους, ὑποσόφους δὲ ζωγραφίαν πλαστικὴν ἀγαλματοποιοὺς κυβερνήτας γεωργούς, ἢν ταῖς ὥραις ἕπωνται, καὶ γὰρ αἵδε αἱ τέχναι σοφίας

οὐ πολὺ λείπονται. ἔστι (δέ) τι, ὦ βασιλεῦ, ψευδόσοφοί τε καὶ ἀγείροντες, ὃ μὴ μαντικὴν ὑπολάβῃς, πολλοῦ μὲν γὰρ ἀξία, ἢν ἀληθεύῃ, εἰ δ' ἐστὶ τέχνη, οὔπω οἶδα, ἀλλὰ τοὺς γόητας ψευδοσόφους φημί· τὰ γὰρ οὐκ ὄντα εἶναι καὶ τὰ ὄντα ἀπιστεῖσθαι, πάντα ταῦτα προστίθημι τῇ τῶν ἐξαπατωμένων δόξῃ, τὸ γὰρ σοφὸν τῆς τέχνης ἐπὶ τῇ τῶν ἐξαπατωμένων τε καὶ θυομένων ἀνοίᾳ κεῖται, ἡ δὲ τέχνη φιλοχρήματοι [γὰρ] πάντες, ἃ γὰρ κομψεύονται, ταῦθ' ὑπὲρ μισθοῦ σφισιν εὕρηται, μαστεύουσι δ' ὑπερβολὰς χρημάτων ὑπαγόμενοι τοὺς ὁτουδὴ ἐρῶντας ὡς ἱκανοὶ πάντα. τίνα οὖν, ὦ βασιλεῦ, πλοῦτον περὶ ἡμᾶς ἰδὼν ψευδοσοφίαν ἐπιτηδεύειν με οἴει, καὶ ταῦτα τοῦ σοῦ πατρὸς κρείττω με ἡγουμένου χρημάτων; ὅτι δ' ἀληθῆ λέγω, ποῦ μοι ἡ ἐπιστολὴ τοῦ γενναίου τε καὶ θείου ἀνδρός; ὅς με ἐν αὐτῇ ᾄδει τά τε ἄλλα καὶ τὸ πένεσθαι."

αὐτοκράτωρ Οὐεσπασιανὸς Ἀπολλωνίῳ φιλοσόφῳ χαίρειν.

„Εἰ πάντες, Ἀπολλώνιε, κατὰ ταὐτά σοι φιλοσοφεῖν ἤθελον, σφόδρα ἂν εὐδαιμόνως ἔπραττε φιλοσοφία τε καὶ πενία· φιλοσοφία μὲν ἀδεκάστως 332 ἔχουσα, πενία δὲ αὐθαιρέτως. ἔρρωσο."

„Ταῦθ' ὁ πατὴρ ὁ σὸς ὑπὲρ ἐμοῦ ἀπολογείσθω, φιλοσοφίας μὲν τὸ ἀδέκαστον, πενίας δὲ τὸ αὐθαίρετον ἐμοὶ ὁριζόμενος, ἐμέμνητο γάρ που καὶ τῶν κατὰ τὴν Αἴγυπτον, ὅτ' Εὐφράτης μὲν καὶ πολλοὶ τῶν προσποιουμένων φιλοσοφεῖν προσιόντες αὐτῷ χρήματα οὐδ' ἀφανῶς ᾔτουν, ἐγὼ δ' οὐ μόνον οὐ προσῄειν ὑπὲρ χρημάτων, ἀλλὰ κἀκείνους ἐώθουν ὡς οὐχ ὑγιαίνοντας, διεβεβλήμην δὲ πρὸς χρήματα μειράκιον ὢν ἔτι· τὰ γοῦν πατρῷα, λαμπρὰ δ' ἦν οὐσία ταῦτα, μιᾶς μόνης ἰδὼν ἡμέρας ἀδελφοῖς τε

τοῖς ἐμαυτοῦ ἀφῆκα καὶ φίλοις καὶ τῶν ξυγγενῶν τοῖς πένησι μελετῶν που ἀφ' Ἑστίας τὸ μηδενὸς δεῖσθαι, ἐάσθω δὲ Βαβυλὼν καὶ Ἰνδῶν τὰ ὑπὲρ Καύκασόν τε καὶ ποταμὸν Ὕφασιν, δι' ὧν ἐπορευόμην ἐμαυτῷ ὅμοιος· ἀλλὰ τῶν γε ἐνταῦθα καὶ τοῦ μὴ πρὸς ἀργύριον βλέπειν ποιοῦμαι μάρτυρα τὸν Αἰγύπτιον τοῦτον· δεινὰ γὰρ πεπρᾶχθαί τε μοι καὶ βεβουλεῦσθαι φήσας οὔθ' ὁπόσων χρημάτων ἐπανούργουν ταῦτα, εἴρηκεν, οὔθ' ὅ τι ἐνθυμηθεὶς κέρδος, ἀλλ' οὕτως ἀνόητος αὐτῷ δοκῶ τις, ὡς γοητεύειν μέν, ἃ δ' ὑπὲρ πολλῶν ἕτεροι χρημάτων, αὐτὸς ἀδικεῖν οὐδ' ἐπὶ χρήμασιν, ἀγοράν, οἶμαι, προκηρύττων τοιαύτην· ἴτε, ὦ ἀνόητοι, γοητεύω γάρ, καὶ οὐδ' ὑπὲρ χρημάτων, ἀλλὰ προῖκα, κερδανεῖτε δὲ ὑμεῖς μὲν τὸ ἀπελθεῖν ἕκαστος ἔχων, ὅτου ἐρᾷ,
4 ἐγὼ δὲ κινδύνους καὶ γραφάς. ἀλλ' ἵνα μὴ ἐς ἀνοήτους ἴωμεν λόγους, ἐρώμεθα τὸν κατήγορον, ὑπὲρ ὅτου χρὴ λέγειν πρώτου. καίτοι τί χρὴ ἐρωτᾶν; διῆλθε γὰρ ὑπὲρ τῆς στολῆς τὰς ἀρχὰς τοῦ λόγου, καί, νὴ Δί', ὧν σιτοῦμαί τε καὶ οὐ σιτοῦμαι. ἀπολογοῦ δὴ ὑπὲρ τούτων, θεῖε Πυθαγόρα, κρινόμεθα γὰρ ὑπὲρ ὧν σὺ μὲν εὗρες, ἐγὼ δὲ ἐπαινῶ. ἀνθρώ-
333 ποις ἡ γῆ φύει, βασιλεῦ, πάντα, καὶ σπονδὰς ἄγειν πρὸς τὰ ζῷα βουλομένοις δεῖ οὐδενός, τὰ μὲν γὰρ δρέπονται αὐτῆς, τὰ δ' ἀροῦνται κουροτροφούσης, ὡς ταῖς ὥραις ἔοικεν, οἱ δ' ὥσπερ ἀνήκοοι τῆς γῆς μάχαιραν ἐπ' αὐτὰ ἔθηξαν ὑπὲρ ἐσθῆτός τε καὶ βρώ- 156
σεως. Ἰνδοὶ τοίνυν Βραχμᾶνες αὐτοί τε οὐκ ἐπῄνουν ταῦτα καὶ τοὺς Γυμνοὺς Αἰγυπτίων ἐδίδασκον μὴ ἐπαινεῖν αὐτά· ἔνθεν Πυθαγόρας ἑλών, Ἑλλήνων δὲ πρῶτος ἐπέμιξεν Αἰγυπτίοις, τὰ μὲν ἔμψυχα τῇ γῇ ἀνῆκεν, ἃ δ' αὐτὴ φύει, ἀκήρατα εἶναι φάσκων

ἐσιτεῖτο, ἐπιτήδεια γὰρ σῶμα καὶ νοῦν τρέφειν, ἐσθῆτά τε, ἣν ἀπὸ θνησειδίων οἱ πολλοὶ φοροῦσιν, οὐ καθαρὰν εἶναι φήσας λίνον ἠμπίσχετο καὶ τὸ ὑπόδημα κατὰ τὸν αὐτὸν λόγον βύβλου ἐπλέξατο, ἀπέλαυσέ τε τοῦ καθαρὸς εἶναι πολλὰ μέν, πρῶτον δὲ τὸ τῆς ἑαυτοῦ ψυχῆς αἰσθέσθαι· γενόμενος γὰρ κατὰ τοὺς χρόνους, οὓς ὑπὲρ τῆς Ἑλένης ἡ Τροία ἐμάχετο, καὶ τῶν τοῦ Πάνθου παίδων κάλλιστος ὢν καὶ κάλλιστα ἐσταλμένος ἀπέθανε μὲν οὕτω νέος, ὡς καὶ Ὁμήρῳ παρασχεῖν θρῆνον, παρελθὼν δ᾽ ἐς πλείω σώματα κατὰ τὸν Ἀδραστείας θεσμόν, ὃν ψυχὴ ἐναλλάττει, πάλιν ἐπανῆλθεν ἐς ἀνθρώπου εἶδος καὶ Μνησαρχίδῃ ἐτέχθη τῷ Σαμίῳ σοφὸς ἐκ βαρβάρου καὶ Ἴων ἐκ Τρωὸς καὶ οὕτω τι ἀθάνατος, ὡς μηδ᾽ ὅτι Εὔφορβος ἦν ἐκλελῆσθαι. τὸν μὲν δὴ πρόγονον τῆς ἐμαυτοῦ σοφίας εἴρηκα καὶ τὸ μὴ αὐτὸς εὑρών, κληρονομήσας δὲ ἑτέρου ταῦτ᾽ ἔχειν. κἀγὼ μὲν οὐ κρίνω τοὺς τρυφῶντας ὑπὲρ τοῦ φοινικίου ὄρνιθος, οὐδ᾽ ὑπὲρ τοῦ ἐκ Φάσιδος ἢ Παιόνων, οὓς πιαίνουσιν ἐς τὰς αὑτῶν δαῖτας οἱ τῇ γαστρὶ χαριζόμενοι πάντα, οὐδ᾽ ἐγραψάμην πω οὐδένα ὑπὲρ τῶν ἰχθύων, οὓς ὠνοῦνται πλείονος ἢ 334 τοὺς κοππατίας ποτὲ οἱ λαμπροί, οὐδ᾽ ἁλουργίδος ἐβάσκηνα οὐδενί, οὐδὲ Παμφύλου τινὸς ἢ μαλακῆς ἐσθῆτος, ἀσφοδέλου δέ, ὦ θεοί, καὶ τραγημάτων καὶ καθαρᾶς ὀψοφαγίας γραφὴν φεύγω, καὶ οὐδὲ ἡ ἐσθὴς ἄσυλος, ἀλλὰ κἀκείνην λωποδυτεῖ με ὁ κατήγορος ὡς πολλοῦ ἀξίαν τοῖς γόησι. καίτοι ἀφελόντι τὸν ὑπὲρ ἐμψύχων τε καὶ ἀψύχων λόγον, δι᾽ ὧν καθαρός τις ἢ μὴ δοκεῖ, τί βελτίων ἡ ὀθόνη τοῦ ἐρίου; τὸ μέν γε πρᾳοτάτου ζῴου ἐπέχθη καὶ σπουδαζομένου θεοῖς, οἳ μὴ ἀπαξιοῦσι τὸ ποιμαίνειν καὶ,

νὴ Δί᾽, ἠξίωσάν ποτε αὐτὸ καὶ χρυσοῦ εἴδους ἢ θεοὶ ἢ λόγοι. λίνον δὲ σπείρεται μέν, ὡς ἔτυχε, χρυσοῦ δὲ οὐδεὶς ἐπ᾽ αὐτῷ λόγος, ἀλλ᾽ ὅμως, ἐπειδὴ μὴ ἀπ᾽ ἐμψύχου ἐδρέφθη, καθαρὸν μὲν Ἰνδοῖς δοκεῖ, καθαρὸν δὲ Αἰγυπτίοις, ἐμοὶ δὲ καὶ Πυθαγόρᾳ διὰ τοῦτο σχῆμα γέγονε διαλεγομένοις εὐχομένοις θύουσι. καθαρὸν δὲ καὶ τὸ ἐννυχεύειν ὑπ᾽ αὐτῷ, καὶ γὰρ τὰ ὀνείρατα τοῖς, ὡς ἐγώ, διαιτωμένοις ἐτυμωτέρας
335 τὰς αὐτῶν φήμας ἄγει. ἀπολογώμεθα καὶ ὑπὲρ
6 τῆς οὔσης ποτὲ ἡμῖν κόμης, ἐπειδή τις γραφὴ καὶ αὐχμοῦ εὕρηται, κρινέτω δὲ μὴ ὁ Αἰγύπτιος, ἀλλὰ τὰ ξανθὰ καὶ διεκτενισμένα μειράκια, τοὺς ἐραστὰς ἐξαψάμενα καὶ τὰς ἑταίρας, ἐφ᾽ ἃς κωμάζει, καὶ ἑαυτὰ μὲν εὐδαίμονα ἡγείσθω καὶ ζηλωτὰ τῆς κόμης καὶ τοῦ λειβομένου ἀπ᾽ αὐτῆς μύρου, ἐμὲ δὲ ἀναφροδισίαν πᾶσαν καὶ ἐραστὴν τοῦ μὴ ἐρᾶν. εἰρήσεται γὰρ πρὸς αὐτά· ὦ κακοδαίμονες, μὴ συκοφαντεῖτε τὸ Δωριέων εὕρεμα, τὸ γὰρ κομᾶν ἐκ Λακεδαιμονίων ἥκει κατὰ (τοὺς) χρόνους ἐπιτηδευθὲν αὐτοῖς, [ἐς] οὓς μαχιμώτατα αὐτῶν εἶχον, καὶ βασιλεὺς τῆς Σπάρτης Λεωνίδας ἐγένετο κομῶν ὑπὲρ ἀνδρείας καὶ τοῦ σεμνὸς μὲν φίλοις, φοβερὸς δὲ ἐχθροῖς φαίνεσθαι· ταῦτά τοι καὶ ἡ Σπάρτη ἐπ᾽ αὐτῷ κομᾷ μεῖον οὐδὲν ἢ ἐπὶ Λυκούργῳ τε καὶ Ἰφίτῳ. σοφοῦ δὲ ἀνδρὸς κόμης φειδέσθω σίδηρος, οὐ γὰρ θεμιτὸν ἐπάγειν αὐτόν, οὗ πᾶσαι μὲν αἰσθητηρίων πηγαί, πᾶσαι δ᾽ ὀμφαί, ὅθεν εὐχαί τε ἀναφαίνονται καὶ σοφίας ἑρμηνεὺς λόγος. Ἐμπεδοκλῆς μὲν γὰρ καὶ στρόφιον τῶν ἁλουργοτάτων περὶ αὐτὴν ἁρμόσας ἐσόβει περὶ τὰς τῶν Ἑλλήνων ἀγυιὰς ὕμνους ξυντιθείς, ὡς θεὸς ἐξ ἀνθρώπου ἔσοιτο, ἐγὼ δὲ ἠμελημένῃ κόμῃ χρώμενος καὶ οὔπω τοιῶνδε ὕμνων 157

ἐπ᾽ αὐτῇ δεηθεὶς ἐς γραφὰς ἄγομαι καὶ δικαστήρια.
καὶ τί φῶ τὸν Ἐμπεδοκλέα; πότερ᾽ ἑαυτὸν ἢ τὴν
τῶν ἐπ᾽ αὐτοῦ ἀνθρώπων εὐδαιμονίαν ᾄδειν, παρ᾽
οἷς οὐκ ἐσυκοφαντεῖτο ταῦτα; μὴ πλείω διαλεγώμεθα 7
ὑπὲρ τῆς κόμης, ἐτμήθη γὰρ καὶ προὔλαβε τὴν κατη-
γορίαν ὁ φθόνος, δι᾽ ὃν ὑπὲρ τῆς ἑτέρας αἰτίας χρὴ
ἀπολογεῖσθαι χαλεπῆς οὔσης, καὶ οἵας, ὦ βασιλεῦ, 336
μὴ σοὶ μόνον, ἀλλὰ καὶ τῷ Διὶ παρασχεῖν φόβον·
φησὶ γὰρ τοὺς ἀνθρώπους θεὸν ἡγεῖσθαί με καὶ
δημοσίᾳ τοῦτ᾽ ἐκφέρειν ἐμβεβροντημένους ὑπ᾽ ἐμοῦ·
καίτοι καὶ πρὸ τῆς αἰτίας ἐκεῖνα διδάσκειν ἔδει, τί
διαλεχθεὶς ἐγώ, τί δ᾽ οὕτω θαυμάσιον εἰπὼν ἢ
πράξας ὑπηγαγόμην τοὺς ἀνθρώπους προσεύχεσθαί
μοι, οὔτε γάρ, ἐς ὅ τι ἢ ἐξ ὅτου μετέβαλον ἢ μετα-
βαλεῖ μοι ἡ ψυχή, διελέχθην ἐν Ἕλλησι, καίτοι
γιγνώσκων, οὔτε δόξας περὶ ἐμαυτοῦ τοιαύτας ἀπέ-
στειλα, οὔτ᾽ ἐς λόγια καὶ χρησμῶν ᾠδὰς ἐξῆλθον,
οἷα τῶν θεοκλυτούντων φορά, οὐδ᾽ οἶδα πόλιν οὐδε-
μίαν, ἐν ᾗ ἔδοξε ξυνιόντας Ἀπολλωνίῳ θύειν. καί-
τοι πολλοῦ ἄξιος ἑκάστοις ἐγενόμην, ὁπόσα ἐδέοντό
μου, ἐδέοντο δὲ τοιαῦτα· μὴ νοσεῖν οἱ νοσοῦντες,
ὁσιώτεροι μύειν * ὁσιώτεροι θύειν ὕβριν ἐκτετμῆσθαι
νόμους ἐρρῶσθαι. μισθὸς δ᾽ ἐμοὶ μὲν τούτων ὑπῆρχε
τὸ βελτίους αὐτοὺς αὑτῶν φαίνεσθαι, σοὶ δὲ ἐχαρι-
ζόμην ταῦτα· ὥσπερ γὰρ οἱ τῶν βοῶν ἐπιστάται τὸ
μὴ ἀτακτεῖν αὐτὰς χαρίζονται τοῖς κεκτημένοις τὰς
βοῦς καὶ οἱ τῶν ποιμνίων ἐπιμεληταὶ πιαίνουσιν
αὐτὰ ἐς τὸ τῶν πεπαμένων κέρδος νόσους τε ἀφαι-
ροῦσι μελιττῶν οἱ νομεῖς αὐτῶν, ὡς μὴ ἀπόλοιτο τῷ
δεσπότῃ τὸ σμῆνος, οὕτω που καὶ ἐγὼ τὰ πολιτικὰ
παύων ἐλαττώματα σοὶ διωρθούμην τὰς πόλεις, ὥστ᾽
εἰ καὶ θεὸν ἡγοῦντό με, σοὶ κέρδος ἡ ἀπάτη εἶχε,

ξὺν προθυμίᾳ γάρ που ἠκροῶντό μου, δεδιότες πράττειν, ἃ μὴ δοκεῖ θεῷ. ἀλλ' οὐχὶ τοῦτο ᾤοντο, ὅτι δ' ἐστί τις ἀνθρώπῳ πρὸς θεὸν ξυγγένεια, δι' ἣν μόνον ζῴων θεοὺς οἶδε, φιλοσοφεῖ δὲ καὶ ὑπὲρ τῆς ἑαυτοῦ φύσεως καὶ ὅπη μετέχει τοῦ θείου. φησὶ μὲν οὖν καὶ τὸ εἶδος αὐτὸ θεῷ ἐοικέναι, ὡς ἀγαλματοποιία ἑρμηνεύει καὶ χρώματα, τάς τε ἀρετὰς θεόθεν ἥκειν ἐπ' αὐτὸν πέπεισται καὶ τοὺς μετέχοντας αὐτῶν ἀγχιθέους τε εἶναι καὶ θείους. διδασκάλους δὲ τῆς διανοίας ταύτης μὴ Ἀθηναίους καλῶμεν, ἐπειδὴ τοὺς δικαίους καὶ τοὺς Ὀλυμπίους καὶ τὰς
337 τοιάσδε ἐπωνυμίας πρῶτοι ἔθεντο, θειοτέρας, ὡς τὸ εἰκός, οὔσας ἢ ἐπ' ἀνθρώπῳ κεῖσθαι, ἀλλὰ τὸν Ἀπόλλω τὸν ἐν τῇ Πυθοῖ· ἀφίκετο μὲν γὰρ ἐς τὸ ἱερὸν αὐτοῦ Λυκοῦργος ὁ ἐκ τῆς Σπάρτης ἄρτι γεγραμμένων αὐτῷ τῶν νόμων, οἷς ἡ Λακεδαίμων τέτακται, προσειπὼν δ' αὐτὸν ὁ Ἀπόλλων βασανίζει τὴν περὶ αὐτοῦ δόξαν, ἐν ἀρχῇ τοῦ χρησμοῦ φάσκων ἀπορεῖν, πότερα χρὴ θεὸν ἢ ἄνθρωπον καλεῖν, προϊὼν δὲ ἀποφαίνεται καὶ ψηφίζεται τὴν ἐπωνυμίαν ταύτην, ὡς ἀνδρὶ ἀγαθῷ. καὶ οὐδεὶς ἐπὶ τὸν Λυκοῦργον ἀγὼν (ἧκεν) ἢ κίνδυνος ἐκ τούτων παρὰ Λακεδαιμονίοις, ὡς ἀθανατίζοντα, ἐπεὶ μὴ ἐπέπληξε τῷ Πυθίῳ προσρηθεὶς τούτοις; ἀλλὰ ξυνετίθεντο τῷ μαντείῳ, πεπεισμένοι δήπου καὶ πρὸ τοῦ χρησμοῦ ταῦτα. τὰ δὲ Ἰνδῶν καὶ Αἰγυπτίων ταῦτα· Ἰνδοὺς Αἰγύπτιοι τὰ μὲν ἄλλα συκοφαντοῦσι καὶ διαβάλλουσιν αὐτῶν τὰς ἐπὶ τοῖς πράγμασι δόξας, τὸν δὲ λόγον, ὃς ἐς τὸν δημιουργὸν τῶν ὅλων εἴρηται, οὕτω τι ἐπαινοῦσιν, ὡς καὶ ἑτέρους διδάξασθαι Ἰνδῶν ὄντα. ὁ λόγος δὲ τῆς μὲν τῶν ὅλων γενέσεώς τε καὶ οὐσίας θεὸν δημιουργὸν οἶδε, τοῦ δὲ ἐνθυμηθῆναι

158 ταῦτα αἴτιον τὸ ἀγαθὸν εἶναι αὐτόν· ἐπεὶ τοίνυν
ξυγγενῆ ταῦτα, ἔχομαι τοῦ λόγου καὶ φημὶ τοὺς ἀγα-
θοὺς τῶν ἀνθρώπων θεοῦ τι ἔχειν. κόσμος δὲ ὁ μὲν
ἐπὶ θεῷ δημιουργῷ κείμενος τὰ ἐν οὐρανῷ νομι-
ζέσθω καὶ τὰ ἐν θαλάττῃ καὶ γῇ πάντα, ὧν μετου-
σία ἴση ἀνθρώποις, πλὴν τύχης. ἔστι δέ τις καὶ ἐπ'
ἀνδρὶ ἀγαθῷ κόσμος οὐχ ὑπερβάλλων τὰ σοφίας
μέτρα, ὅν που καὶ αὐτός, ὦ βασιλεῦ, φήσεις ἀν-
δρὸς δεῖσθαι θεῷ εἰκασμένου· καὶ τί τὸ σχῆμα τοῦ
κόσμου τοῦδε; αἱ ψυχαὶ ἀτακτοῦσαι μανικώτερον 338
ἅπτονται παντὸς σχήματος, καὶ ἕωλοι μὲν αὐταῖς
νόμοι, σωφροσύνη δ' οὐδαμοῦ, θεῶν δὲ τιμαὶ ἄτι-
μοι, λαλιᾶς δ' ἐρῶσι καὶ τρυφῆς, ἐξ ὧν ἀργία φύεται
πονηρὰ ξύμβουλος ἔργου παντός. αἱ δὲ μεθύουσαι
ψυχαὶ πηδῶσι μὲν ἐπὶ πολλά, τὸ δὲ σκίρτημα τοῦτο
ἴσχει οὐδέν, οὐδ' εἰ πάντα πίνοιεν, ὁπόσα, ὥσπερ ὁ
μανδραγόρας, ὑπνηλὰ ἐνομίσθη. ἀλλὰ δεῖ ἀνδρός,
ὃς ἐπιμελήσεται τοῦ περὶ αὐτὰς κόσμου, θεὸς ὑπὸ
σοφίας ἥκων. οὑτοσὶ γὰρ ἀπόχρη αὐτὰς ἐρώτων τε
ἀπάγειν, ἐφ' οὓς ἀγριώτερον τῆς ξυνήθους ὁμιλίας
ἐκφέρονται, καὶ φιλοχρηματίας, δι' ἣν οὔπω πᾶν
ἔχειν φασίν, ἐπεὶ μὴ καὶ τὸ στόμα ὑπέχουσιν ἐπιρ-
ρέοντι τῷ πλούτῳ. φόνων γὰρ ἀνασχεῖν μὲν αὐτὰς
μὴ προσάπτεσθαι οὐκ ἀδύνατον ἴσως ἀνδρὶ τοιούτῳ,
ἀπονίψαι δὲ οὔτε ἐμοὶ δυνατὸν οὔτε τῷ πάντων
δημιουργῷ θεῷ· ἔστω, βασιλεῦ, κατηγορία καὶ ὑπὲρ 8
τῆς Ἐφέσου, ἐπειδὴ ἐσώθη, καὶ κρινέτω με ὁ *Αἰγύ-
πτιος*, ὡς ἔστι πρόσφορον τῇ γραφῇ. ἔστι γὰρ δή-
που ἡ κατηγορία τοιαύτη· περὶ Σκύθας ἢ Κελτούς,
οἳ ποταμὸν Ἴστρον ἢ Ῥῆνον οἰκοῦσι, πόλις ᾤκισται
μείων οὐδὲν Ἐφέσου τῆς ἐν Ἰωνίᾳ· ταύτην ὁρμη-
τήριον βαρβάρων οὖσαν, οἳ μὴ ἀκροῶνταί σου, λοιμὸς

μέν τις ἀπολεῖν ἔμελλεν, Ἀπολλώνιος δὲ ἰάσατο. ἔστι μὲν [γὰρ] τις καὶ πρὸς ταῦτα ἀπολογία σοφῷ ἀνδρί, ἣν ὁ βασιλεὺς τὸ ἀντίξοον ὅπλοις, ἀλλὰ μὴ νόσοις αἱρεῖν βούληται, μὴ γὰρ ἐξαλειφθείη πόλις μηδεμία, μήτε σοί, βασιλεῦ, μήτε ἐμοί, μήτε ἴδοιμι πρὸς ἱεροῖς
339 νόσον, δι' ἣν οἱ νοσοῦντες ἐν αὐτοῖς κείσονται. ἀλλὰ μὴ ἔστω ἐν σπουδῇ τὰ βαρβάρων, μηδὲ τάττωμεν αὐτοὺς ἐς τὸ ὑγιαῖνον πολεμιωτάτους ὄντας καὶ οὐκ ἐνσπόνδους τῷ περὶ ἡμᾶς γένει. τὴν δὲ Ἔφεσον τίς ἀφαιρήσεται τὸ σώζεσθαι βεβλημένην μὲν τὰς ἀρχὰς τοῦ γένους ἐκ τῆς καθαρωτάτης Ἀτθίδος, ἐπιδεδωκυῖαν δὲ παρὰ πάσας, ὁπόσαι Ἰωνικαί τε καὶ Λύδιοι, προβεβηκυῖαν δὲ ἐπὶ τὴν θάλατταν διὰ τὸ ὑπερήκειν τῆς γῆς, ἐφ' ἧς ᾠκίσθη, μεστὴν δὲ φροντισμάτων οὖσαν φιλοσόφων τε καὶ ῥητορικῶν, ὑφ' ὧν ἡ πόλις οὐχ ἵππῳ, μυριάσι δὲ ἀνθρώπων ἰσχύει, σοφίαν ἐπαινοῦσα; τίς δ' ἂν σοφὸς ἐκλιπεῖν σοι δοκεῖ τὸν ὑπὲρ πόλεως τοιαύτης ἀγῶνα ἐνθυμηθεὶς μὲν Δημόκριτον ἐλευθερώσαντα λοιμοῦ ποτε Ἀβδηρίτας, ἐννοήσας δὲ Σοφοκλέα τὸν Ἀθηναῖον, ὃς λέγεται καὶ ἀνέμους θέλξαι τῆς ὥρας πέρα πνεύσαντας, ἀκηκοὼς δὲ τὰ Ἐμπεδοκλέους, ὃς νεφέλης ἀνέσχε φορὰν ἐπ' Ἀκραγαντίνους ῥαγείσης; ἐπικόπτει με
9 ὁ κατήγορος· ἀκούεις γάρ που καὶ σύ, ὦ βασιλεῦ, καί φησιν, οὐκ ἐπειδὴ σωτηρίας αἴτιος Ἐφεσίοις ἐγενόμην, γράφεσθαί με, ἀλλ' ἐπειδὴ προεῖπον ἐμπεσεῖσθαί σφισι τὴν νόσον, τουτὶ γὰρ ὑπὲρ σοφίαν εἶναι καὶ τερατῶδες, τῆς δ' ἐπὶ τοσόνδε ἀληθείας οὐκ ἂν ἐφικέσθαι με, εἰ μὴ γόης τε ἦν καὶ ἀπόρρητος. τί οὖν ἐνταῦθα ἐρεῖ Σωκράτης ὑπὲρ ὧν ἔφασκε τοῦ δαιμονίου μανθάνειν; τί δὲ Θαλῆς τε καὶ Ἀναξαγόρας, τὼ Ἴωνε, ὁ μὲν τὴν εὐφορίαν τὴν

τῶν ἐλαιῶν, ὁ δὲ πολλὰ τῶν οὐρανίων παθῶν προ-
ειπόντε; ἢ γοητεύοντε προειπεῖν ταῦτα; καὶ μὴν καὶ 340
ὑπήχθησαν οὗτοι δικαστηρίοις ἐφ' ἑτέραις αἰτίαις,
καὶ οὐδαμοῦ τῶν αἰτιῶν εἴρηται γόητας εἶναι σφᾶς,
ἐπειδὴ προγιγνώσκουσι. καταγέλαστον γὰρ τοῦτο
ἐδόκει καὶ οὐδ' ἐν Θετταλίᾳ πιθανὸν κατ' ἀνδρῶν
159 λέγεσθαι σοφῶν, οὗ τὰ γύναια κακῶς ἤκουεν ἐπὶ τῇ
τῆς σελήνης ἕλξει. πόθεν οὖν τοῦ περὶ τὴν Ἔφεσον
πάθους ᾐσθόμην; ἤκουσας μὲν καὶ τοῦ κατηγόρου
εἰπόντος, ὅτι μὴ κατὰ τοὺς ἄλλους διαιτῶμαι, κἀμοὶ
δὲ ὑπὲρ τῶν ἐμαυτοῦ σιτίων, ὡς λεπτὰ καὶ ἡδίω τῆς
ἑτέρων συβάριδος, ἐν ἀρχῇ εἴρηται· τοῦτό μοι, ὦ
βασιλεῦ, τὰς αἰσθήσεις ἐν αἰθρίᾳ τινὶ ἀπορρήτῳ φυ-
λάττει κοὐκ ἐᾷ θολερὸν περὶ αὐτὰς οὐδὲν εἶναι, διο-
ρᾶν τε, ὥσπερ ἐν κατόπτρου αὐγῇ, πάντα γιγνόμενά
τε καὶ ἐσόμενα. οὐ γὰρ περιμενεῖ γε ὁ σοφὸς τὴν
γῆν ἀναθυμιῶσαν ἢ τὸν ἀέρα διεφθορότα, ἢν τὸ
δεινὸν ἄνωθεν ῥέῃ, ἀλλὰ ξυνήσει αὐτῶν καὶ ἐπὶ θύ-
ραις ὄντων ὕστερον μὲν ἢ οἱ θεοί, θᾶττον δὲ ἢ οἱ
πολλοί, θεοὶ μὲν γὰρ μελλόντων, ἄνθρωποι δὲ γιγνο-
μένων, σοφοὶ δὲ προσιόντων αἰσθάνονται. λοιμῶν
δ' αἰτίας ἰδίᾳ, βασιλεῦ, ἐρώτα, σοφώτεραι γὰρ ἢ
ἐς τοὺς πολλοὺς λέγεσθαι· ἆρ' οὖν τὸ οὕτως διαι-
τᾶσθαι λεπτότητα μόνον ἐργάζεται τῶν αἰσθήσεων
ἢ ἰσχὺν ἐπὶ τὰ μέγιστά τε καὶ θαυμασιώτατα; θεω-
ρεῖν δ' ἔξεστιν, ὃ λέγω, καὶ ἀπ' ἄλλων μέν, οὐχ
ἥκιστα δὲ κἀκ τῶν ἐν Ἐφέσῳ περὶ τὴν νόσον ἐκείνην
πραχθέντων· τὸ γὰρ τοῦ λοιμοῦ εἶδος, πτωχῷ δὲ
γέροντι εἴκαστο, καὶ εἶδον καὶ ἰδὼν εἷλον, οὐ παύ-
σας νόσον, ἀλλ' ἐξελών, ὅτῳ δ' εὐξάμενος, δηλοῖ
τὸ ἱερόν, ὃ ἐν Ἐφέσῳ ὑπὲρ τούτου ἱδρυσάμην, Ἡρα-
κλέους μὲν γὰρ Ἀποτροπαίου ἐστί, ξυνεργὸν δ' 341

αὐτὸν εἱλόμην, ἐπειδὴ σοφός τε καὶ ἀνδρεῖος ὢν ἐκάθηρέ ποτε λοιμοῦ τὴν Ἦλιν τὰς ἀναθυμιάσεις ἀποκλύσας, ἃς παρεῖχεν ἡ γῆ κατ' Αὐγέαν τυραννεύοντα. τίς ἂν οὖν σοι, βασιλεῦ, δοκεῖ φιλοτιμούμενος γόης φαίνεσθαι θεῷ ἀναθεῖναι, ὃ αὐτὸς εἴργαστο; τίνας δ' ἂν κτήσασθαι θαυμαστὰς τῆς τέχνης θεῷ παρεὶς τὸ θαυμάζεσθαι; τίς δ' ἂν Ἡρακλεῖ εὔξασθαι γόης ὤν; τὰ γὰρ τοιαῦτα οἱ κακοδαίμονες βόθροις ἀνατιθέασι καὶ χθονίοις θεοῖς, ὧν τὸν Ἡρακλέα ἀποτακτέον, καθαρὸς γὰρ καὶ τοῖς ἀνθρώποις εὔνους. ηὐξάμην αὐτῷ καὶ ἐν Πελοποννήσῳ ποτέ, λαμίας γάρ τι φάσμα κἀκεῖ περὶ τὴν Κόρινθον ἤλυε σιτούμενον τῶν νέων τοὺς καλούς, καὶ ξυνήρατό μοι τοῦ ἀγῶνος οὐ θαυμασίων δεηθεὶς δώρων, ἀλλὰ μελιττούτης καὶ λιβανωτοῦ καὶ τοῦ ὑπὲρ σωτηρίας τι ἀνθρώπων ἐργάσασθαι, τουτὶ γὰρ καὶ κατὰ τὸν Εὐρυσθέα μισθὸν τῶν ἄθλων ἡγεῖτο. μὴ ἄχθου, βασιλεῦ, τὰ Ἡρακλέους ἀκούων· ἔμελε γὰρ αὐτοῦ τῇ Ἀθηνᾷ,
342 ἐπειδὴ χρηστὸς καὶ σωτήριος τοῖς ἀνθρώποις. ἀλλ'
10 ἐπεὶ κελεύεις με ὑπὲρ τῆς θυσίας ἀπολογεῖσθαι, τουτὶ γὰρ καὶ τῇ χειρὶ ἐνδείκνυσαι, ἄκουε ἀπολογίας ἀληθοῦς· ἐγὼ γὰρ πάνθ' ὑπὲρ σωτηρίας τῶν ἀνθρώπων πράττων οὔπω ὑπὲρ αὐτῶν ἔθυσα, οὐδ' ἂν θύσαιμι οὐδέν, οὐδ' ἂν θίγοιμι ἱερῶν, ἐν οἷς αἷμα, οὐδ' ἂν εὐξαίμην ἐς μάχαιραν βλέπων ἢ θυσίαν, ἥν φησιν. οὐ Σκύθην με, ὦ βασιλεῦ, ᾕρηκας, οὐδ' ἐκ τῆς ἀμίκτου ποθέν, οὐδ' ἐπέμιξά πω Μασσαγέταις ἢ Ταύροις, ὡς κἀκείνους ἂν τοῦ τῆς θυσίας ἔθους μετέβαλον· ἀνοίας δ' ἂν ποῖ ἤλαυνον, ἵνα πλεῖστα μὲν ὑπὲρ μαντικῆς διαλεγόμενος καὶ ὅπη ἔρρωται ἢ μή, ἄριστα δ' ἀνθρώπων ᾐσθημένος, ὅτι τὰς αὑτῶν βουλὰς οἱ θεοὶ τοῖς ὁσίοις τε καὶ σοφοῖς

ἀνδράσι καὶ μὴ μαντευομένοις φαίνουσι, μιαιφονίας
ἅπτωμαι καὶ σπλάγχνων ἀθύτων ἐμοὶ καὶ ἀκαλλιε-
ρήτων; ἐφ' οἷς ἀπέλιπεν ἄν με καὶ ἡ τοῦ δαιμονίου
ὀμφὴ μὴ καθαρὸν ὄντα. καὶ μὴν εἴ τις ἀφελὼν τὸ
τῆς θυσίας μύσος ἐξετάζοι τὸν κατήγορον πρὸς ἃ
μικρῷ πρόσθεν εἴρηκεν, ἀπαλλάττει με τῆς αἰτίας
αὐτός, ὃν γάρ φησι προειπεῖν Ἐφεσίοις τὴν νόσον
θυσίας οὐδεμιᾶς δεηθέντα, τί σφαγίων ἐδεήθην [ἂν]
ἐφ' ἃ καὶ μὴ θυσαμένῳ παρῆν εἰδέναι; μαντικῆς δὲ
160 τί ἐδεόμην ὑπὲρ ὧν αὐτός τε ἐπεπείσμην καὶ ἕτερος;
εἰ γὰρ ὑπὲρ Νερούα καὶ τῶν ἀμφ' αὐτὸν κρίνομαι,
λέξω πάλιν, ἃ καὶ πρώην εἶπον, ἡνίκα ᾐτιῶ ταῦτα·
Νερούαν γὰρ ἄξιον μὲν ἀρχῆς ἡγοῦμαι πάσης καὶ 343
λόγου παντὸς ἐπ' εὐφημίαν ἥκοντος, ἀγωνιστὴν δὲ
φροντίδων οὐ χρηστόν, καταλέλυται γὰρ τὸ σῶμα
ὑπὸ τῆς νόσου, δι' ἣν καὶ ἡ γνώμη μεστὴ ἄσης καὶ
οὐδὲ τὰ οἴκοι ἱκανή· σὲ γοῦν ἐπαινεῖ μὲν σώματος,
ἐπαινεῖ δὲ γνώμης, εἰκὸς μὲν οἶμαί τι πράττων,
προθυμοτέρα γὰρ ὄντως ἡ ἀνθρωπεία φύσις ἐπαι-
νεῖν, ἃ μὴ αὐτὴ ἔρρωται. πέπονθε δέ τι καὶ πρὸς
ἐμὲ χρηστὸν Νερούας, καὶ οὔτε γελάσαντά πω αὐτὸν
ἐπ' ἐμοῦ οἶδα οὔτε εὐηθισάμενόν τι τῶν εἰωθότων
ἐν φίλοις, ἀλλ' ὥσπερ τὰ μειράκια πρὸς τοὺς πατέ-
ρας τε καὶ διδασκάλους τοὺς αὐτῶν, εὐλαβῶς μὲν
φθέγγεται τὸ ἐπ' ἐμοῦ πᾶν, ἐρυθριᾷ δὲ ἔτι, εἰδὼς
δὲ τὸ ἐπιεικὲς ἐπαινοῦντά με οὕτω τι ἄγαν ἐπιτη-
δεύει αὐτό, ὡς κἀμοὶ ταπεινότερος τοῦ μετρίου φαί-
νεσθαι. πῶς οὖν πιθανὸν ἡγήσαιτο ἄν τις ἀρχῆς
ἐπιθυμῆσαι Νερούαν ἀγαπῶντα, εἰ τῆς ἑαυτοῦ οἰκίας
ἄρξοι, ἢ ὑπὲρ μεγάλων διαλέγεσθαί μοι τὸν μηδ'
ὑπὲρ μικρῶν τεθαρρηκότα, ἢ ξυνάπτειν ἐμοὶ γνώμην
ὑπὲρ ὧν μηδὲ πρὸς ἄλλον, εἰ τοὐμὸν ἐνεθυμήθη,

ξυνῆψεν; ἢ πῶς ἔτ' ἐγὼ σοφὸς γνώμην ἑρμηνεύειν ἀνδρὸς μαντικῇ μὲν πιστεύων, ἀπιστῶν δὲ σοφίᾳ; τὸν δὲ Ὄρφιτον καὶ τὸν Ῥοῦφον, τοὺς δικαίους μὲν καὶ σώφρονας, νωθροὺς δὲ ἄνδρας, ὡς εὖ οἶδα, εἰ μὲν ὡς τυραννησείοντας διαβεβλῆσθαί φασιν, οὐκ οἶδ' εἴτε τούτων πλέον διαμαρτάνουσιν, εἴτε Νερούα, εἰ δ' ὡς ξυμβούλω γεγονότε, πιθανώτερος ἀρχῇ ἐπι-
11 θέσθαι Νερούας, ἢ οἶδε ξυμβουλεῦσαι; ἀλλὰ μὴν τόν γε ὑπὲρ τούτων κρίνοντα κἀκεῖνα εἰκὸς ἦν ἐνθυμεῖσθαι, τί ἐβούλετό μοι τὸ ξυλλαμβάνειν τοῖς ἐπὶ
344 νεώτερα ἥκουσι· χρήματα μὲν γὰρ οὔ φησι παρ' αὐτῶν γεγενῆσθαί μοι, οὐδὲ δώροις ἐπαρθέντα με ταῦτα εἰργάσθαι· σκεψώμεθα δέ, μὴ μεγάλων δεόμενος ἀνεβαλόμην τὰς παρ' αὐτῶν εὐεργεσίας ἐς ὃν ᾤοντο ἄρξειν χρόνον, ἐν ᾧ μεγάλα μὲν ἂν αἰτεῖν ὑπῆρξε, μειζόνων δ' ἀξιοῦσθαι· πῶς οὖν ταῦτα ἔσται δῆλα; ἐνθυμήθητι, βασιλεῦ, σεαυτὸν καὶ τοὺς ἔτι πρὸ σοῦ ἄρχοντας, ἀδελφὸν δήπου τὸν σεαυτοῦ καὶ πατέρα Νέρωνά τε, ἐφ' ὧν ἦρξαν, κατὰ τούτους γὰρ μάλιστα τοὺς βασιλέας βεβίωταί μοι ἐς τὸ φανερόν, τὸν ἄλλον χρόνον Ἰνδοῖς φοιτῶντι. τούτων δὴ τῶν ὀκτὼ καὶ τριάκοντα ἐτῶν, τοσοῦτον γὰρ τὸ ἐς σὲ μῆκος, οὔτε ἐπὶ θύρας βασιλείους ἐφοίτησα πλὴν ἐν Αἰγύπτῳ τοῦ σοῦ πατρός, ἐπεὶ μήτε βασιλεύς πω ἐτύγχανεν ὢν ὡμολόγει τε δι' ἐμὲ ἥκειν, οὔτε ἀνελεύθερόν τι διελέχθην βασιλεῦσιν ἢ ὑπὲρ βασιλέων δήμοις οὔτ' ἐπιστολαῖς ἐλαμπρυνάμην ἢ γραφόντων ἐμοὶ βασιλέων ἢ αὐτὸς ἐνδεικνύμενος γράφειν, οὔθ' ὑπὲρ δωρεῶν κολακεύων βασιλέας ἐμαυτοῦ ἀπηνέχθην. εἰ γοῦν ἔροιό με πλουσίους ἐνθυμηθεὶς καὶ πένητας, ποτέρου τῶν ἐθνῶν τούτων ἐμαυτὸν γράφω, τῶν πλουσιωτάτων φήσω, τὸ γὰρ δεῖσθαι μηδενὸς

ἐμοὶ Λυδία καὶ τὸ Πακτωλοῦ πᾶν. πῶς οὖν ἢ τὰς παρὰ τῶν οὔπω βασιλέων δωρεὰς ἀνεβαλλόμην ἐς ὃν ἄρξειν αὐτοὺς ᾤμην χρόνον ὁ μηδὲ τὰς παρ' ὑμῶν ἑλόμενος, οἷς βέβαιον ἡγούμην τὸ ἄρχειν, ἢ βασιλειῶν μεταβολὰς ἐπενόουν μηδὲ ταῖς καθεστηκυίαις ἐς τὸ τιμᾶσθαι χρώμενος; καὶ μὴν ὁπόσα γίγνεται φιλοσόφῳ ἀνδρὶ κολακεύοντι τοὺς δυνατούς, δηλοῖ τὰ Εὐφράτου· τούτῳ γὰρ ἐντεῦθεν τί λέγω χρήματα; πηγαὶ μὲν οὖν εἰσι πλούτου, κἀπὶ
τῶν τραπεζῶν ἤδη διαλέγεται κάπηλος ὑποκάπηλος 345
161 τελώνης ὀβολοστάτης πάντα γιγνόμενος τὰ πωλούμενά τε καὶ πωλοῦντα, ἐντετύπωται δ' ἀεὶ ταῖς τῶν δυνατῶν θύραις καὶ προσέστηκεν αὐταῖς πλείω καιρὸν ἢ οἱ θυρωροί, ἀπελήφθη δὲ καὶ ὑπὸ θυρωρῶν πολλάκις, ὥσπερ τῶν κυνῶν οἱ λίχνοι, δραχμὴν δὲ οὐδὲ φιλοσόφῳ ἀνδρὶ προέμενός ποτε ἐπιτειχίζει τὸν ἑαυτοῦ πλοῦτον ἑτέροις, τὸν Αἰγύπτιον τουτονὶ βόσκων χρήμασι καὶ ὀξύνων ἐπ' ἐμὲ γλῶτταν ἀξίαν ἐκτετμῆσθαι.

Εὐφράτην μὲν δὴ καταλείπω σοί, σὺ γάρ, ἢν 12
μὴ κόλακας ἐπαινῇς, εὑρήσεις τὸν ἄνθρωπον κακίω ὧν ἑρμηνεύω, τῆς δὲ λοιπῆς ἀπολογίας ἀκροῶ· τίς οὖν αὕτη καὶ ὑπὲρ τίνων; ᾖδετό τις, ὦ βασιλεῦ, παιδὸς Ἀρκάδος ἐν τῇ κατηγορίᾳ θρῆνος, τετμῆσθαι μὲν αὐτὸν ὑπ' ἐμοῦ νύκτωρ, εἰ δ' ὄναρ φησίν, οὔπω οἶδα, εἶναι δὲ πατέρων τε ἀγαθῶν ὁ παῖς οὗτος καὶ τὸ εἶδος οἷοι Ἀρκάδων οἱ ἐν αὐχμῷ καλοί. τοῦτόν φασιν ἱκετεύοντά τε καὶ ὀλοφυρόμενον ἀπεσφάχθαι κἀμὲ τὰς χεῖρας ἐς τὸ τοῦ παιδὸς αἷμα βάψαντα θεοῖς ὑπὲρ ἀληθείας εὔχεσθαι. μέχρι τούτων ἐμὲ κρίνουσιν, ὁ δὲ ἐφεξῆς λόγος τῶν θεῶν ἅπτεται, φασὶ γὰρ τοὺς θεοὺς ἀκοῦσαι μὲν ὧδέ μου εὐξαμένου, δοῦναι

δὲ ἱερὰ εὔσημα καὶ μὴ ἀποκτεῖναι ἀσεβοῦντα. τὴν
346 μὲν οὖν ἀκρόασιν, ὡς οὐ καθαρά, τί ἄν, ὦ βασιλεῦ, λέγοιμι; ἀλλ' ὑπὲρ ὧν γέ μοι ἀπολογητέα, τίς ὁ Ἀρκὰς οὗτος; εἰ γὰρ μὴ ἀνώνυμος τὰ πατέρων, μηδ' ἀνδραποδώδης τὸ εἶδος, ὥρα σοι ἐρωτᾶν, τί μὲν ὄνομα τοῖς γειναμένοις αὐτόν, τίνος δὲ οἰκίας οὗτος, τίς δ' ἐθρέψατο αὐτὸν ἐν Ἀρκαδίᾳ πόλις, τίνων δὲ βωμῶν ἀπαχθεὶς ἐνταῦθα ἐθύετο. οὐ λέγει ταῦτα καίτοι δεινὸς ὢν μὴ ἀληθεύειν. οὐκοῦν ὑπὲρ ἀνδραπόδου κρίνει με. ᾧ γὰρ μήτ' αὐτῷ ὄνομα μήθ' ὧν ἔφυ, μὴ πόλις μὴ κλῆρός ἐστιν, οὐχί, ὦ θεοί, τοῦτον ἐν ἀνδραπόδοις χρὴ τάττειν; ἀνώνυμα γὰρ πάντα. τίς οὖν ὁ κάπηλος τοῦ ἀνδραπόδου; τίς ὁ πριάμενος αὐτὸ ἐξ Ἀρκάδων; εἰ γὰρ τὸ γένος τούτων ἐπιτήδειον τῇ σφαττούσῃ μαντικῇ, πολλῶν μὲν χρημάτων εἰκὸς ἐωνῆσθαι τὸν παῖδα, πεπλευκέναι δέ τινα ἐς Πελοπόννησον, ἵν' ἐνθένδε ἡμῖν ἀναχθείη ὁ Ἀρκάς, ἀνδράποδα μὲν γὰρ Ποντικὰ ἢ Λύδια ἢ ἐκ Φρυγῶν πρίαιτ' ἂν κἀνταῦθά τις, ὧν γε καὶ ἀγέλαις ἐντυχεῖν ἐστιν ἅμα φοιτώσαις δεῦρο, ταυτὶ γὰρ τὰ ἔθνη καὶ ὁπόσα βαρβάρων, πάντα τὸν χρόνον ἑτέρων ἀκροώμενοι οὔπω τὸ δουλεύειν αἰσχρὸν ἡγοῦνται· Φρυξὶ γοῦν ἐπιχώριον καὶ ἀποδίδοσθαι τοὺς αὑτῶν καὶ ἀνδραποδισθέντων μὴ ἐπιστρέφεσθαι, Ἕλληνες δὲ ἐλευθερίας ἐρασταὶ ἔτι καὶ οὐδὲ δοῦλον ἀνὴρ Ἕλλην πέρα ὅρων ἀποδώσεται, ὅθεν οὐδὲ ἀνδραποδισταῖς οὔτε ἀνδραπόδων καπήλοις ἐς αὐτοὺς παριτητέα, ἐς δὲ Ἀρκαδίαν καὶ μᾶλλον, πρὸς γὰρ τῷ παρὰ πάντας ἐλευθεριάζειν Ἕλληνας δέονται καὶ ὄχλου δούλων. ἔστι δὲ πολυλήιος (καὶ ποώδης) ἡ Ἀρκαδία καὶ ὑλώδης οὐ τὰ μετέωρα μόνον, ἀλλὰ
347 καὶ τὰ ἐν ποσὶ πάντα. δεῖ δὴ αὐτοῖς πολλῶν μὲν

γεωργῶν, πολλῶν δὲ αἰπόλων συφορβῶν τε καὶ ποιμένων καὶ βουκόλων τῶν μὲν ἐπὶ βουσί, τῶν δ' ἐφ' ἵπποις, δρυτόμων τε δεῖται πολλῶν ἡ χώρα καὶ τοῦτο ἐκ παίδων γυμνάζονται. εἰ δὲ καὶ μὴ τοιάδε ἦν τὰ τῶν Ἀρκάδων, ἀλλ' εἶχον, ὥσπερ ἕτεροι, προσαποδίδοσθαι τοὺς αὑτῶν δούλους, τί τῇ θρυλουμένῃ σοφίᾳ ξυνεβάλλετο τὸ ἐξ Ἀρκαδίας εἶναι τὸν σφαττόμενον; οὐδὲ γὰρ σοφώτατοι τῶν Ἑλλήνων Ἀρκάδες, ἵν' ἑτέρου τι ἀνθρώπου πλέον περὶ τὰ λογικὰ τῶν σπλάγχνων φαίνωσιν, ἀλλὰ ἀγροικότατοι ἀνθρώπων εἰσὶ καὶ συώδεις τά τε ἄλλα καὶ τὸ γαστρίζεσθαι τῶν δρυῶν. ῥητορικώτερον ἴσως ἀπολελόγημαι τοὐμοῦ τρόπου, τὰ τῶν Ἀρκάδων ἀφερμηνεύων ἤδη καὶ παριὼν ἐς Πελοπόννησον τῷ λόγῳ. ἡ γὰρ ἐμοὶ
162 προσήκουσα ἀπολογία τίς; οὐκ ἔθυσα οὐ θύω οὐ θιγγάνω αἵματος, οὐδ' εἰ βώμιον αὐτὸ εἴη, Πυθαγόρας τε γὰρ ὧδε ἐγίγνωσκεν οἵ τε ἀπ' αὐτοῦ παραπλησίως, καὶ κατ' Αἴγυπτον δὲ οἱ Γυμνοὶ καὶ Ἰνδῶν οἱ σοφοί, παρ' ὧν καὶ τοῖς ἀμφὶ Πυθαγόραν αἱ τῆς σοφίας ἀρχαὶ ἐφοίτησαν. κατὰ ταῦτα θύοντες οὐ δοκοῦσιν ἀδικεῖν τοῖς θεοῖς, ἀλλὰ γηράσκειν τε αὐτοῖς ξυγχωροῦσιν ἀρτίοις τὰ σώματα καὶ ἀνόσοις, καὶ σοφωτέροις ἀεὶ δοκεῖν μὴ τυραννεύεσθαι μηδενὸς δεῖσθαι. καὶ οὐκ ἀπεικός, οἶμαι, ἀγαθῶν δεῖσθαι σφᾶς ὑπὲρ καθαρῶν θυμάτων. δοκῶ γάρ μοι 348
καὶ τοὺς θεοὺς τὸν αὐτὸν ἐμοὶ νοῦν ὑπὲρ θυσιῶν ἔχοντας τὰ λιβανοφόρα τῆς γῆς ἐν καθαρῷ τῆς οἰκουμένης ἐκφυτεύειν, ἵν' ἀπ' αὐτῶν θύοιμεν μὴ σιδηροφοροῦντες ἐν ἱεροῖς, μηδ' αἷμα ἐς βωμοὺς ῥαίνοντες. ἐγὼ δ', ὡς ἔοικεν, ἐμαυτοῦ καὶ τῶν θεῶν ἐκλαθόμενος ἔθυον τρόπον, ὃν μήτ' αὐτὸς εἴωθα μήτε τις ἀνθρώπων θύοι. ἀπαλλαττέτω με τῆς αἰτίας 13

καὶ ὁ καιρός, ὃν εἴρηκεν ὁ κατήγορος· τὴν γὰρ ἡμέραν ἐκείνην, ἐν ᾗ ταῦτα εἰργάσθαι μοί φησιν, εἰ μὲν ἐγενόμην ἐν ἀγρῷ, ἔθυσα, εἰ δὲ ἔθυσα, καὶ ἔφαγον. εἶτά με, ὦ βασιλεῦ, θαμινὰ ἐρωτᾷς, εἰ μὴ ἐπεχωρίαζον τῇ Ῥώμῃ τότε; καὶ σύ, βέλτιστε βασιλέων, ἐπεχωρίαζες, ἀλλ' οὐκ ἂν εἴποις θῦσαι τοιαῦτα, καὶ ὁ συκοφάντης, ἀλλ' οὐχ ὁμολογήσει τὰ τῶν ἀνδροφόνων πράττειν, εἰ κατὰ τὴν Ῥώμην διῃτᾶτο, καὶ μυριάδες ἀνθρώπων, ἃς βέλτιον ξενηλατεῖν ἢ ὑπάγειν γραφαῖς, ἐν αἷς τεκμήριον ἀδικημάτων ἔσται τὸ ἐνταῦθα εἶναι. καίτοι τὸ ἐς τὴν Ῥώμην ἥκειν καὶ παραιτεῖται τάχα τῆς τοῦ νεώτερα πράττειν δοκεῖν αἰτίας, τὸ γὰρ ἐν πόλει ζῆν, ἐν ᾗ πάντες μὲν ὀφθαλμοί, πᾶσα δὲ ἀκρόασις ὄντων τε καὶ οὐκ ὄντων, οὐ ξυγχωρεῖ νεωτέρων ἅπτεσθαι τοῖς γε μὴ λίαν θανατῶσι, τοὺς δ' εὐλαβεστέρους τε καὶ σώφρονας βρα-
14 δέως ἄγει καὶ ἐφ' ἃ ἔξεστι. τί οὖν, ὦ συκοφάντα, κατὰ τὴν νύκτα ἐκείνην ἔπραττον; εἰ μὲν ὡς σεαυτὸν ἐρωτᾷς, ἐπειδὴ καὶ σὺ ἐρωτᾶν ἥκεις, ἀγῶνας ἡτοίμαζον καὶ κατηγορίας ἐπ' ἄνδρας χρηστοὺς καὶ ἀπολέσαι τοὺς οὐκ ἀδικοῦντας καὶ πεῖσαι τὸν βασιλέα μὴ ἀληθῆ λέγων, ἵν' ἐγὼ μὲν εὐδοκιμοίην, μιαίνοιτο δὲ οὗτος, εἰ δ' ὡς φιλοσόφου πυνθάνῃ, τὸν Δημοκρίτου ἐπῄνουν γέλωτα, ὃν ἐς πάντα τὰ τῶν
349 ἀνθρώπων γελᾷ, εἰ δ' ὡς ἐμοῦ, Φιλίσκος ὁ Μηλιεὺς ἐτῶν ξυμφιλοσοφήσας ἐμοὶ τεττάρων ἐνόσει τότε, καὶ παρ' αὐτῷ ἀπεκάθευδον οὕτω διακειμένῳ χαλεπῶς, ὡς καὶ ἀποθανεῖν ὑπὸ τῆς νόσου. καίτοι πολλὰς ἂν ηὐξάμην ἴυγγας ὑπὲρ τῆς ἐκείνου ψυχῆς γενέσθαι μοι, καί, νὴ Δί', εἴ τινες Ὀρφέως εἰσὶν ὑπὲρ τῶν ἀποθανόντων μελῳδίαι, μηδ' ἐκείνας ἀγνοῆσαι, καὶ γὰρ ἄν μοι δοκῶ καὶ ὑπὸ τὴν γῆν πορευ-

θῆναι δι' αὐτόν, εἰ ἐφικτὰ ἦν ταῦτα· οὕτω με ἀνήρτητο πᾶσιν οἷς φιλοσόφως τε καὶ κατὰ τὸν ἐμὸν νοῦν ἔπραττε. ταῦτ' ἔστι μέν σοι, βασιλεῦ, καὶ Τελεσίνου ἀκοῦσαι τοῦ ὑπάτου, παρῆν γὰρ κἀκεῖνος τῷ Μηλιεῖ, θεραπεύων αὐτὸν νύκτωρ, ὁπόσα ἐγώ. εἰ δὲ Τελεσίνῳ ἀπιστεῖς, ἐπειδὴ τῶν φιλοσοφούντων ἐστί, καλῶ τοὺς ἰατροὺς μάρτυρας, εἰσὶ δ' οὗτοι Σέλευκός τε ὁ ἐκ Κυζίκου καὶ Στρατοκλῆς ὁ Σιδώνιος· τούτους ἐρώτα, εἰ ἀληθῆ λέγω· καὶ μαθηταὶ δ' αὐτοῖς ὑπὲρ τοὺς τριάκοντα εἵποντο, τῶν αὐτῶν δήπου μάρτυρες, τὸ γὰρ προκαλεῖσθαι δεῦρο τοὺς τῷ Φιλίσκῳ προσήκοντας ἀναβολὰς ἴσως ἡγήσῃ τῆς δίκης, ἐπειδὴ αὐτίκα τῆς Ῥώμης ἀπῆραν ἐς τὰ Μηλιέων ἤθη κατὰ ὁσίαν τοῦ νεκροῦ. ἴτε, ὦ μάρτυρες, καὶ γὰρ δὴ καὶ παρήγγελται ὑμῖν ὑπὲρ τούτου· ΜΑΡΤΥΡΕΣ. παρ' ὅσον μὲν τοίνυν τῆς ἀληθείας ἡ γραφὴ ξυνετέθη, δηλοῖ σαφῶς ἡ μαρτυρία τῶν ἀνδρῶν, οὐ γὰρ ἐν προαστείοις, ἀλλ' ἐν ἄστει, οὐκ ἔξω τείχους, ἀλλ' ἐπ' οἰκίας, οὐδὲ παρὰ Νερούᾳ, παρὰ Φιλίσκῳ δέ, οὐδὲ ἀποσφάττων, ἀλλ' ὑπὲρ ψυχῆς εὐχόμενος, οὐδ' ὑπὲρ βασιλείας, ἀλλ' ὑπὲρ φιλοσοφίας, οὐδ' ἀντὶ σοῦ χειροτονῶν νεώτερον, ἀλλ' ἄνδρα σώζων ἐμαυτῷ ὅμοιον. τί οὖν ὁ Ἀρκὰς ἐν- 15
ταῦθα; τί δ' οἱ τῶν σφαγίων μῦθοι; τί δὲ τὸ τὰ τοιαῦτα πείθειν; ἔσται γάρ ποτε καὶ ὃ μὴ γέγονεν, ἂν ὡς γεγονὸς κριθῇ· τὸ δ' ἀπίθανον τῆς θυσίας,
163 ὦ βασιλεῦ, ποῖ τάξεις; ἐγένοντο μὲν γὰρ καὶ πρότερον σφαγίων μάντεις ἀγαθοὶ τὴν τέχνην καὶ οἷοι ὀνομάσαι, Μεγιστίας ἐξ Ἀκαρνανίας, Ἀρίστανδρος 350
ἐκ Λυκίας, Ἀμπρακία δὲ Σιλανὸν ἤνεγκε, καὶ ἐθύοντο ὁ μὲν Ἀκαρνὰν Λεωνίδᾳ βασιλεῖ Σπάρτης, ὁ δὲ Λύκιος Ἀλεξάνδρῳ τῷ Μακεδόνι, Σιλανὸς δὲ Κύρῳ

βασιλείας ἐρῶντι, καὶ εἴ τι ἐν ἀνθρώπου σπλάγχνοις ἢ σαφέστερον ἢ σοφώτερον ἢ ἐτυμώτερον ἀπέκειτο, οὐκ ἄπορος ἦν ἡ θυσία, βασιλέων γε προϊσταμένων αὐτῆς, οἷς πολλοὶ μὲν ἦσαν οἰνοχόοι, πολλὰ δ' αἰχμάλωτα, παρανομίαι δ' ἀκίνδυνοι καὶ φόβος οὐδεὶς κατηγορίας, εἴ τι ἔσφαττον· ἀλλ', οἶμαι, παρίστατο τοῖς ἀνδράσιν, ὃ κἀμοὶ νῦν κινδυνεύοντι ὑπὲρ τοιούτων, ὅτι τὰ μὲν ἄλογα τῶν ζῴων εἰκός, ἐπειδὴ ἐν ἀγνοίᾳ τοῦ θανάτου σφάττεται, μὴ θολοῦσθαί τι τῶν σπλάγχνων ὑπὸ ἀξυνεσίας ὧν πείσονται· ἄνθρωπον δὲ ἀεί τι ἐν τῇ ψυχῇ ἔχοντα θανάτου καὶ μήπω ἐφεστηκότος δεῖμα πῶς εἰκὸς παρόντος ἤδη καὶ ἐν ὀφθαλμοῖς ὄντος δεῖξαί τι ἐπὶ τῶν σπλάγχνων μαντικὸν ἢ ὅλως εὔθυτον; ὅτι δὲ ὀρθῶς τε καὶ κατὰ φύσιν στοχάζομαι τούτων, σκόπει, βασιλεῦ, ὧδε· τὸ ἧπαρ, ἐν ᾧ φασι τὸν τῆς αὐτῶν μαντικῆς εἶναι τρίποδα οἱ δεινοὶ ταῦτα, ξύγκειται μὲν οὐ καθαροῦ αἵματος, πᾶν γάρ, ὅ τι ἀκραιφνές, καρδία ἴσχει δι' αἱματηρῶν φλεβῶν ἀποχετεύουσα ἐς πᾶν τὸ σῶμα, χολὴν δ' ἐπὶ ἥπατι κειμένην ὀργὴ μὲν ἀνίστησι, φόβοι δὲ ὑπάγουσιν ἐς τὰ κοῖλα τοῦ ἥπατος. ὑπὸ μὲν δὴ τῶν παροξυνόντων ζέουσα καὶ μηδὲ τῷ ἑαυτῆς ἀγγείῳ φορητὸς οὖσα ὑπτίῳ ἐπιχεῖται τῷ ἥπατι, καθ' ὃ ἐπέχει χολὴ πᾶσα τὰ λεῖά τε καὶ μαντικὰ τοῦ σπλάγχνου, ὑπὸ δὲ τῶν δειματούντων ξυνιζάνουσα ξυνεπισπᾶται καὶ τὸ ἐν τοῖς λείοις φῶς, ὑπονοστεῖ γὰρ τότε καὶ τὸ καθαρὸν τοῦ αἵματος, ὑφ' οὗ σπλη-
351 νοῦται τὸ ἧπαρ, ὑποτρέχοντος φύσει τὸν περὶ αὐτὸ ὑμένα καὶ τῷ πηλώδει ἐπιπολάζοντος. τί οὖν, ὦ βασιλεῦ, τῆς μιαιφονίας ἔργον, εἰ ἄσημα τὰ ἱερὰ ἔσται; ἄσημα δ' αὐτὰ ἡ ἀνθρωπεία φύσις ἐργάζεται ξυνιεῖσα τοῦ θανάτου καὶ αὐτοὶ οἱ ἀποθνήσκοντες, οἱ

μὲν γὰρ εὔψυχοι ξὺν ὀργῇ τελευτῶσιν, οἱ δ' ἀθυ-
μότεροι ξὺν δέει. ἔνθεν ἡ τέχνη παρὰ τοῖς οὐκ
ἀνεπιστήμοσι βαρβάροις χιμαίρας μὲν καὶ ἄρνας
ἐπαινεῖ σφάττειν, ἐπειδὴ εὐήθη τὰ ζῷα καὶ οὐ πόρρω
ἀναισθήτων, ἀλεκτρυόνας δὲ καὶ σῦς καὶ ταύρους,
ἐπειδὴ θυμοειδῆ ταῦτα, οὐκ ἀξιοῖ τῶν ἑαυτῆς ἀπορ-
ρήτων. ξυνίημι, ὦ βασιλεῦ, παροξύνων τὸν κατήγο-
ρον, ἐπειδὴ σοφώτερόν σε ἀκροατὴν εἴργασμαι, καί
μοι δοκεῖς καὶ προσέχειν τῷ λόγῳ· εἰ δὲ μὴ σαφῶς 16
τι αὐτοῦ φράζοιμι, ξυγχωρῶ σοι ἐρωτᾶν με. εἴρηταί
μοι τὰ πρὸς τὴν τοῦ *Αἰγυπτίου* γραφήν· ἐπεὶ δ',
οἶμαι, χρὴ μηδὲ τὰς *Εὐφράτου* διαβολὰς ὑπερορᾶ-
σθαι, σύ, ὦ βασιλεῦ, δικάζοις, ὁπότερος ἡμῶν φιλο-
σοφεῖ μᾶλλον· οὐκοῦν ὁ μὲν ἀγωνίζεται μὴ τἀληθῆ
περὶ ἐμοῦ λέγειν, ἐγὼ δ' οὐκ ἀξιῶ, καὶ ὁ μέν σε
ἡγεῖται δεσπότην, ἐγὼ δ' ἄρχοντα, καὶ ὁ μὲν ξίφος
ἐπ' ἐμέ σοι δίδωσιν, ἐγὼ δὲ λόγον. ἀλλ' ὑπὲρ ὧν
γε διαβέβληκεν, οἱ λόγοι εἰσίν, οὓς ἐν Ἰωνίᾳ εἶπον,
φησὶ δ' αὐτοὺς οὐκ ἐς τὸ σοὶ ξυμφέρον ὑπ' ἐμοῦ
εἰρῆσθαι. καίτοι τὰ μὲν λεχθέντα ἦν ὑπὲρ *Μοιρῶν*
καὶ ἀνάγκης, παράδειγμα δ' ἐγίγνετό μοι τοῦ λόγου
τὰ τῶν βασιλέων πράγματα, ἐπειδὴ μέγιστα τῶν ἀν-
θρωπείων δοκεῖ τὰ ὑμέτερα, *Μοιρῶν* τε ἰσχὺν ἐφι-
λοσόφουν καὶ τὸ οὕτως ἄτρεπτα εἶναι, ἃ κλώθουσιν,
ὡς, εἰ καὶ βασιλείαν τῳ ψηφίσαιντο ἑτέρῳ δὴ ὑπάρ-
χουσαν, ὁ δ' ἀποκτείνειε τοῦτον, ὡς μὴ ἀφαιρεθείη
ποτὲ ὑπ' αὐτοῦ τὸ ἄρχειν, κἂν ἀναβιοίη ὁ ἀποθανὼν 352
ὑπὲρ τῶν δοξάντων ταῖς *Μοίραις*. τὰς γὰρ ὑπερ-
βολὰς τῶν λόγων ἐσαγόμεθα διὰ τοὺς τοῖς πιθανοῖς
ἀπειθοῦντας, ὥσπερ ἂν εἰ καὶ τοιόνδε ἔλεγον· ὅτῳ
164 πέπρωται γενέσθαι τεκτονικῷ, οὗτος, κἂν ἀποκοπῇ
τὼ χεῖρε, τεκτονικὸς ἔσται, καὶ ὅτῳ νίκην ἐν Ὀλυμπίᾳ

δρόμου ἄρασθαι, οὗτος, οὐδ' εἰ πηρωθείη τὸ σκέλος, ἁμαρτήσεται τῆς νίκης, καὶ ὅτῳ ἔνευσαν Μοῖραι τὸ ἐν τοξείᾳ κράτος, οὗτος, οὐδ' εἰ ἀποβάλοι τὰς ὄψεις, ἐκπεσεῖται τοῦ σκοποῦ. τὰ δὲ τῶν βασιλέων ἔλεγον ἐς τοὺς Ἀκρισίους δήπου ὁρῶν καὶ τοὺς Λαίους Ἀστυάγη τε τὸν Μῆδον καὶ πολλοὺς ἑτέρους εὖ τίθεσθαι τὰ αὑτῶν ἐν ἀρχῇ δόξαντας, ὧν οἱ μὲν παῖδας, οἱ δὲ ἐκγόνους ἀποκτείνειν οἰηθέντες ἀφῃρέθησαν ὑπ' αὐτῶν τὸ βασιλεύειν ἀναφύντων ἐξ ἀφανοῦς ξὺν τῷ πεπρωμένῳ. καὶ εἰ μὲν ἠγάπων κολακευτικήν, εἶπον ἂν καὶ τὰ σὰ ἐντεθυμῆσθαι, ὅτε ἀπείληψο μὲν ὑπὸ Βιτελίου ἐνταῦθα, κατεπίμπρατο δὲ ὁ νεὼς τοῦ Διὸς περὶ τὰς ὀφρῦς τοῦ ἄστεος, ὁ δ' εὖ κείσεσθαι τὸ ἑαυτοῦ ἔφασκεν, εἰ μὴ διαφύγοις αὐτόν — καίτοι μειράκιον ἱκανῶς ἦσθα καὶ οὔπω οὗτος — ἀλλ' ὅμως, ἐπειδὴ Μοίραις ἐδόκει ἕτερα, ὁ μὲν ἀπώλετο αὐταῖς βουλαῖς, σὺ δὲ τἀκείνου νῦν ἔχεις. ἐπεὶ δ' ἁρμονίᾳ κολακευτικῇ ἄχθομαι, δοκεῖ γάρ μοι τῶν ἐκρύθμων τε καὶ οὐκ εὐφθόγγων εἶναι, τεμνέσθω μοι ἥδε ἡ νευρὰ καὶ μηδὲν ἡγοῦ τῶν σῶν ἐντεθυμῆσθαί με, ἀλλὰ διειλέχθαι μόνα τὰ ὑπὲρ Μοιρῶν καὶ ἀνάγκης, ταυτὶ γάρ φησιν εἰρῆσθαί μοι ἐπὶ σέ. καίτοι τὸν λόγον τοῦτον ἀνέχονται μὲν καὶ οἱ πολλοὶ τῶν θεῶν, οὐκ ἄχθεται δὲ οὐδὲ ὁ Ζεὺς ἀκούων καὶ ταῦτα τῶν ποιητῶν ἐν τοῖς Λυκίοις λόγοις

ᾤμοι ἐγών, ὅτε μοι Σαρπηδόνα

καὶ τοιαῦτ' ἐς αὐτὸν ᾀδόντων, ἐν οἷς τοῦ υἱέος ἐξίστασθαί φησι ταῖς Μοίραις, λεγόντων τε αὖ ἐν ψυχοστασίᾳ, ὅτι Μίνω τὸν ἀδελφὸν τοῦ Σαρπηδόνος ἀποθανόντα χρυσῷ μὲν σκήπτρῳ ἐτίμησε καὶ δικά-
353 ζειν ἔταξεν ἐν τῇ τοῦ Αἰδωνέως ἀγορᾷ, Μοιρῶν δ'

οὐ παρῃτήσατο. σὺ δ', ὦ βασιλεῦ, τοῦ χάριν ἄχθῃ τῷ λόγῳ, θεῶν καρτερούντων αὐτόν, οἷς πέπηγεν ἀεὶ τὰ πράγματα, καὶ μὴ ἀποκτεινόντων τοὺς ποιητὰς ἐπ' αὐτῷ; προσήκει γὰρ ταῖς Μοίραις ἕπεσθαι καὶ πρὸς τὰς μεταβολὰς τῶν πραγμάτων μὴ χαλεποὺς εἶναι, Σοφοκλεῖ τε μὴ ἀπιστεῖν

μόνοις οὐ γίγνεται
θεοῖσι γῆρας, οὐδὲ μὴν θανεῖν ποτε,
τὰ δ' ἄλλα συγχεῖ πάνθ' ὁ παγκρατὴς χρόνος,

ἄριστα δὴ ἀνθρώπων λέγοντι. ἐγκύκλιοι γὰρ αἱ κατ' ἀνθρώπους εὐπραγίαι καὶ ἐφήμερον, ὦ βασιλεῦ, τὸ τοῦ ὄλβου μῆκος· τἀμὰ οὗτος καὶ τὰ τούτου ἕτερος καὶ ὁ δεῖνα τὰ τοῦ δεῖνος ἔχων οὐκ ἔχει. ταῦτ' ἐννοῶν, ὦ βασιλεῦ, παῦε μὲν φυγάς, παῦε δ' αἷμα, καὶ φιλοσοφίᾳ μὲν ὅ τι βούλει χρῶ, ἀπαθὴς γὰρ ἥ γε ἀληθής, δάκρυα δὲ ἀνθρώπων ἀφαίρει, ὡς νῦν γε ἠχὼ μυρία μὲν ἐκ θαλάττης, πολλῷ δὲ πλείων ἐξ ἠπείρων φοιτᾷ θρηνούντων, ὅ τι ἑκάστῳ θρήνου ἄξιον. τὰ δὲ ἐντεῦθεν φυόμενα πλείω ὄντα ἢ ἀριθμεῖσθαι ταῖς τῶν συκοφαντῶν γλώτταις ἀνῆπται διαβαλλόντων σοί τε πάντας καὶ σέ, ὦ βασιλεῦ, πᾶσιν."

VIII Ὧδε μὲν δὴ τῷ ἀνδρὶ τὰ ἐκ παρασκευῆς εἶχεν, ἐπὶ τελευτῇ δ' εὗρον τοῦ λόγου τὰ τελευταῖα τοῦ προτέρου τὸ

165 οὐ γάρ με κτενέεις, ἐπεὶ οὔτοι μόρσιμός εἰμι,

καὶ τὰ πρὸ τούτου ἔτι, ἀφ' ὧν τοῦτο. ἐπεὶ δὲ ἀπῆλθε τοῦ δικαστηρίου δαιμόνιόν τε καὶ οὐ ῥᾴδιον εἰπεῖν 354
τρόπον, οὐκ ἔπαθεν ὁ τύραννος, ὅπερ οἱ πολλοὶ ᾤοντο· οἱ μὲν γὰρ ᾤοντο αὐτὸν σχέτλια ὑπὲρ τούτου βοήσεσθαι καὶ δίωξιν ποιήσεσθαι τοῦ ἀνδρὸς κηρύξειν τε ἐς τὴν αὑτοῦ πᾶσαν, μηδαμοῦ παριτητέα

εἶναί οἱ, ὁ δ᾽ οὐδὲν τούτων, [ἀλλ'] ὥσπερ ἀγωνιζό-
μενος πρὸς τὴν τῶν πολλῶν δόξαν ἢ ξυνιεὶς λοιπόν,
ὅτι μηδὲν ἐπὶ τὸν ἄνδρα οἱ αὔταρκες. εἰ δ' ὑπερ-
εώρα, ξυμβαλώμεθα τοῖς ἐφεξῆς, φανείη γὰρ ἂν ξυν-
ταραχθεὶς μᾶλλον ἢ καταφρονήσας· ἠκροᾶτο μὲν IX
γὰρ ἑτέρας ἐπ' ἐκείνῃ δίκης, πόλις δ' ἦν ἀγωνιζο-
μένη πρὸς ἄνδρα ὑπὲρ διαθηκῶν, οἶμαι, διέφευγον
δ' αὐτὸν οὐ μόνον τὰ τῶν δικαζομένων ὀνόματα,
ἀλλὰ καὶ ὁ νοῦς τῆς δίκης, ἀνόητοι μὲν γὰρ αἱ ἐρω-
τήσεις ἦσαν, αἱ δ' ἀποκρίσεις οὐδ' ὑπὲρ ὧν ἡ κρί-
σις· ἃ σφόδρα ἤλεγχε τὸν τύραννον, ὡς ἐξεπέπληκτό
τε καὶ ἠπόρει δι' αὐτὸ μάλιστα τὸ πεπεῖσθαι πρὸς
τῶν κολακευόντων, ὅτι μηδὲν ἂν διαφύγοι αὐτόν.

Οὕτω τὸν τύραννον διαθεὶς καὶ παίγνιον τῆς X
ἑαυτοῦ φιλοσοφίας ἀποφήνας τὸν Ἕλλησί τε καὶ βαρ-
βάροις φοβερὸν πᾶσι πρὸ μεσημβρίας μὲν ἀπῆλθε
τοῦ δικαστηρίου, περὶ δείλην δ' ἐν Δικαιαρχίᾳ
ἐφάνη Δημητρίῳ τε καὶ Δάμιδι, καὶ τοῦτ' ἄρ' ἦν
τὸ παρακελεύσασθαι αὐτὸν τῷ Δάμιδι μὴ περιμεί-
ναντι τὴν ἀπολογίαν πεζεῦσαι ἐς Δικαιαρχίαν· τὰ
μὲν γὰρ βεβουλευμένα οὐ προὔλεγε, τὸν δ' ἑαυτῷ
ἐπιτηδειότατον ἐκέλευε πράττειν, ἃ τοῖς βεβουλευ-
μένοις εἵπετο. ἐτύγχανε μὲν δὴ ὁ Δάμις τῆς προτε- XI
355 ραίας ἀφιγμένος καὶ τῷ Δημητρίῳ ξυγγεγονὼς ὑπὲρ
τῶν πρὸ τῆς δίκης, ὁ δ' εὐλαβέστερον ἢ τὸν ὑπὲρ
Ἀπολλωνίου ἀκροώμενον εἰκὸς διατεθεὶς ἦν ὑφ' ὧν
ἤκουσε, καὶ πάλιν τῆς ὑστεραίας ὑπὲρ τῶν αὐτῶν
ἠρώτα, ξυναλύων αὐτῷ παρὰ τὴν θάλατταν, ἐν ᾗ
τὰ περὶ τὴν Καλυψὼ μυθεύματα· ἀπεγίγνωσκον μὲν
γὰρ ὡς οὐχ ἥξοντος, ἐπειδὴ τὰ τῆς τυραννίδος χα-
λεπὰ ἦν πᾶσι, τὰ δ' ὑπ' αὐτοῦ προσταττόμενα ἐτί-
μων διὰ τὴν φύσιν τοῦ ἀνδρός. ἀπειπόντες οὖν

ἐκάθηντο ἐς τὸ νύμφαιον, ἐν ᾧ ὁ πίθος, λευκοῦ δ' οὗτός ἐστι λίθου ξυνέχων πηγὴν ὕδατος οὔθ' ὑπερβάλλουσαν τοῦ στομίου οὔτ', εἴ τις ἀπαντλοίη, ὑποδιδοῦσαν. διαλεχθέντες δ' ὑπὲρ τῆς φύσεως τοῦ ὕδατος οὐ μάλα ἐσπουδακότως διὰ τὴν ἐπὶ τῷ ἀνδρὶ ἀθυμίαν ἐπανῆγον τὸν λόγον ἐς τὰ πρὸ τῆς δίκης.

XII ἀνολοφυραμένου δὲ τοῦ Δάμιδος καί τι καὶ τοιοῦτον εἰπόντος „ἆρ' ὀψόμεθά ποτε, ὦ θεοί, τὸν καλόν τε καὶ ἀγαθὸν ἑταῖρον;“ ἀκούσας ὁ Ἀπολλώνιος, καὶ γὰρ δὴ καὶ ἐφεστὼς ἤδη τῷ νυμφαίῳ ἐτύγχανεν, „ὄψεσθε,“ εἶπε „μᾶλλον δὲ ἑωράκατε.“ „ζῶντα;“ ἔφη ὁ Δημήτριος „εἰ δὲ τεθνεῶτα, οὔπω πεπαύμεθα ἐπὶ σοὶ κλάοντες.“ προτείνας οὖν ὁ Ἀπολλώνιος τὴν χεῖρα „λαβοῦ μου,“ ἔφη „κἂν μὲν διαφύγω σε, εἴδωλόν εἰμί σοι ἐκ Φερσεφάττης ἧκον, οἷα φαίνουσιν οἱ χθόνιοι θεοὶ τοῖς ἀθυμοτέροις τὰ πένθη, εἰ δὲ ὑπομείναιμι ἁπτόμενον, πεῖθε καὶ Δάμιν ζῆν τέ με καὶ μὴ ἀποβεβληκέναι τὸ σῶμα.“ οὐκέθ' οἷοι ἀπιστεῖν ἦσαν, ἀλλ' ἀναστάντες ἐξεκρέμαντο τοῦ ἀνδρὸς καὶ ἠσπάζοντο ὑπέρ τε τῆς ἀπολογίας ἠρώτων· ὁ μὲν γὰρ Δημήτριος οὐδ' ἀπολελογῆσθαι αὐτόν, ἀπολέσθαι γὰρ ἂν καὶ μὴ ἀδικοῦντα, Δάμις δ' ἀπολελογῆσθαι μέν, θᾶττον δ' ἴσως, οὐ γὰρ ἐπ' ἐκεί- 356
νης γε τῆς ἡμέρας ᾤετο. ὁ δ' Ἀπολλώνιος „ἀπολελόγημαι,“ ἔφη „ὦ ἄνδρες, καὶ νικῶμεν, γέγονε δέ μοι τὰ τῆς ἀπολογίας τήμερον οὐ πρὸ πολλοῦ τῆς ἡμέρας, προήει γὰρ ἤδη ἐς μεσημβρίαν.“ „πῶς οὖν“ ἔφη ὁ Δημήτριος „τοσήνδε ὁδὸν ἐν σμικρῷ τῆς ἡμέρας ἤνυσας;“ καὶ ὁ Ἀπολλώνιος „πλὴν κριοῦ“ ἔφη „καὶ πτερῶν κηροῦ ξυγκειμένων πάντα οἴου, θεὸν
166 ἐπιγράφων τῇ πομπῇ ταύτῃ.“ „πανταχοῦ μὲν“ ἦ δ' ὁ Δημήτριος „τῶν σῶν ἔργων τε καὶ λόγων θεὸν

ἀεί τινα προορᾶν ἡγοῦμαι, παρ' οὗ τὰ σὰ οὕτως ἔχει, τὴν δ' ἀπολογίαν, ἥ τις γέγονε καὶ ἅττα ἡ κατηγορία εἶχε καὶ τὸ τοῦ δικάζοντος ἦθος καὶ ὅ τι ἤρετο καὶ ὅτῳ ξυγκατέθετο ἢ ὅτῳ μή, λέγε ὁμοῦ πάντα, ἵνα καὶ Τελεσίνῳ ἕκαστα φράζοιμι, οὐ γὰρ ἀνήσει ἐρωτῶν τὰ σά, ὅς γε καὶ πρὸ πεντεκαίδεκα ἴσως ἡμερῶν ἐμοὶ ξυμπίνων ἐν Ἀνθίῳ κατέδαρθε μὲν ἐπὶ τῆς τραπέζης, μεσούσης δ' αὐτῷ τῆς κύλικος ἔδοξεν ὄναρ πῦρ ἐν τῇ γῇ πελαγίσαν τοὺς μὲν ἀπολαμβάνειν τῶν ἀνθρώπων, τοὺς δὲ φθάνειν ὑποφεύγοντας, καὶ γὰρ δὴ καὶ ῥεῖν αὐτὸ παραπλησίως τῷ ὕδατι, σὲ δ' οὐχ ὅπερ οἱ πολλοὶ παθεῖν, ἀλλὰ διανεῦσαι αὐτοῦ σχισθέντος. ἐπὶ δὲ τῷ ἐνυπνίῳ τούτῳ θεοῖς εὐξυμβόλοις ἔσπεισεν ἐμοί τε παρεκελεύσατο ὑπὲρ σοῦ θαρρεῖν.“ καὶ ὁ Ἀπολλώνιος „οὐ θαυμάζω Τελεσῖνον“ εἶπεν „ὑπερκαθεύδοντα, καὶ γὰρ δὴ καὶ ὑπερεγρήγορέ μου πάλαι, τὰ δ' ὑπὲρ τῆς δίκης πεύσεσθε μέν, οὐ μὴν ἐνταῦθα, δείλη τε γὰρ ἱκανῶς ἤδη καὶ βαδίζειν ὥρα ἐς ἄστυ, ἡδίους δ' οἱ καθ' ὁδὸν λόγοι παραπέμψαι βαδίζοντας. ἴωμεν οὖν διαλαλοῦντες ὑπὲρ ὧν ἐρωτᾶτε, λέξω δὲ τὰ τήμερον δήπου ἐν τῷ δικαστηρίῳ πραχθέντα. τὰ γὰρ
357 πρὸ τῆς κρίσεως ἄμφω ἴστε, σὺ μὲν παρατυχών, σὺ δ' ἠκροαμένος, οἶμαι, τούτου, μὰ Δία, οὐχ ἅπαξ, ἀλλὰ καὶ πάλιν, εἰ μὴ ἐκλέλησμαι Δημητρίου, ἃ δ' οὔπω ἴστε, δίειμι, διείρων ἀπὸ τῆς προρρήσεως καὶ τοῦ γυμνὸς ἐσελθεῖν.“ διῄει δὲ καὶ τοὺς ἑαυτοῦ λόγους καὶ ἐπὶ πᾶσι τὸ „οὐ γάρ με κτενέεις“ καὶ τὸ ἀπελθεῖν τῆς κρίσεως, ὡς ἀπῆλθε. τότε ἀναβοήσας XIII
Δημήτριος „ἐγὼ μὲν ᾤμην σεσωσμένον ἀφῖχθαί σε, σοὶ δ' ἀρχὴ κινδύνων ταῦτα, ξυλλήψεται γάρ σε καταγγελλόμενον καὶ πάσης ἀποστροφῆς εἰργόμενον.“

ὁ δ' ἐρρῶσθαι τῷ Δημητρίου δέει φράζων „εἰ γὰρ καὶ ὑμεῖς“ εἶπεν „ὧδε αὐτῷ εὐάλωτοι ἦτε· ἀλλ' ὅπως μὲν τἀκείνου νῦν ἔχει, ἐγὼ οἶδα· κολακευόντων γὰρ ἀεὶ λόγων ἀκροατὴς γιγνόμενος νῦν ἐπιπληττόντων ἠκρόαται, ῥήγνυνται δ' ὑπὸ τῶν τοιούτων αἱ τύραννοι φύσεις καὶ περὶ ταῦτα χολῶσιν. ἐμοὶ δὲ ἀναπαύλης δεῖ γόνυ οὔπω κάμψαντι ἐκ τοῦ ἄθλου.“ καὶ ὁ Δάμις „ἐγώ, Δημήριε, διεκείμην μὲν οὕτως“ ἔφη „πρὸς τὰ τοῦδε τοῦ ἀνδρὸς πράγματα, ὡς καὶ τῆς ὁδοῦ ταύτης ἀπάγειν αὐτόν, ἐφ' ἧς ἥκει, ξυνεβούλευες δέ που καὶ σὺ ταῦτα, ὡς μὴ ἐς κινδύνους ἑκουσίους τε καὶ χαλεποὺς ἴοι, ἐπεὶ δ' ἐτύγχανε μὲν δεδεμένος, ὡς ἐμοὶ ἐφαίνετο, ἄπορα δ' ἡγουμένῳ τὰ περὶ αὐτὸν ἐφ' ἑαυτῷ ἔφη τὸ λελύσθαι εἶναι καὶ τὸ σκέλος ἐλευθερώσας τοῦ δεσμοῦ ἔδειξε, τότε πρῶτον κατενόησα * τοῦ ἀνδρός, θεσπέσιόν τε εἶναι αὐτὸν καὶ κρείσσω τῆς ἡμεδαπῆς σοφίας· ὅθεν, εἰ καὶ χαλεπωτέροις τούτων ἐντύχοιμι, οὐδὲν ἂν δείσαιμι ὑπὸ τούτῳ καὶ κινδυνεύων. ἀλλ' ἐπειδὴ πλησίον ἑσπέρα, βαδίζωμεν ἐς τὴν καταγωγὴν ἐπιμέλειαν ποιησόμενοι τοῦ ἀνδρός.“ καὶ ὁ Ἀπολλώνιος „ὕπνου“ ἔφη „δέομαι μόνου, τὰ δ' ἄλλα ἐν ἴσῳ τίθεμαι λόγῳ, κἂν παρῇ τι αὐτῶν, κἂν ἀπῇ.“ μετὰ ταῦτα εὐξάμενος Ἀπόλλωνι καὶ ἔτι τῷ Ἡλίῳ παρῆλθεν ἐς τὴν οἰκίαν, ἣν ᾤκει ὁ Δημήτριος, καὶ τὼ πόδε ἀπονιψάμενος παρακελευσάμενός τε τοῖς ἀμφὶ τὸν Δάμιν δειπνεῖν, ἐπειδὴ ἄσιτοι αὐτῷ ἐφαίνοντο, 358
ἔρριψεν ἐς τὴν κλίνην ἑαυτὸν καὶ ἐφυμνήσας τῷ ὕπνῳ τὸ Ὁμήρου ἔπος ἐκάθευδεν, ὡς οὐκ ἐπ' ἀξίοις φροντίσαι τοῖς παροῦσιν.

XIV Περὶ δὲ ὄρθρον ἐρομένου αὐτὸν τοῦ Δημητρίου, ποῖ τῆς γῆς τρέψοιτο, καὶ κτυπεῖσθαι δοκοῦντος τὰ

ὦτα ὑπὸ ἐννοίας ἱππέων, οὓς ᾤετο ἐπικεῖσθαι ἤδη
τῷ Ἀπολλωνίῳ διὰ τὴν ὀργὴν τοῦ τυράννου „διώξε-
ται μέν,“ ἔφη „με οὐδὲ αὐτός, οὐδὲ ἕτερος, ἐμοὶ δὲ
ἐς τὴν Ἑλλάδα ὁ πλοῦς ἔσται.“ „σφαλερός γε,“
εἶπε „τὸ γὰρ χωρίον φανερώτατον· ὃν δὲ μηδ᾽ ἂν
ἐν τῷ ἀφανεῖ διαφύγοις, πῶς ἂν ἐν τῷ φανερῷ λά- 167
θοις;“ „οὐ δέομαι“ ἔφη „λανθάνειν, εἰ γάρ, ὡς σὺ
οἴει, τοῦ τυράννου ἡ γῆ πᾶσα, βελτίους οἱ ἐν τῷ
φανερῷ ἀποθνήσκοντες τῶν ἐν τῷ ἀφανεῖ ζώντων.“
καὶ πρὸς τὸν Δάμιν „αἰσθάνῃ“ ἔφη „νεὼς ἀφιείσης
ἐς Σικελίαν;“ „αἰσθάνομαι,“ εἶπε „καὶ γὰρ ἐπὶ θα-
λάττῃ καταλύομεν καὶ ὁ κηρύττων ἀγχοῦ θυρῶν,
στέλλεταί τε ἡ ναῦς ἤδη· ξυμβάλλομαι δ᾽ αὐτὸ τῇ
τῶν ἐμπλεόντων βοῇ καὶ οἷς περὶ τὴν ἀναίρεσιν τῶν
ἀγκυρῶν πράττουσιν.“ „ἐπιβῶμεν“ εἶπε „τῆς νεὼς
ταύτης, ὦ Δάμι, πλευσούμενοι νῦν μὲν ἐς Σικελίαν,
ἐκεῖθεν δ᾽ ἐς Πελοπόννησον.“ „ξυνδοκεῖ μοι,“ ἔφη
„καὶ πλέωμεν.“ καὶ προσειπόντες τὸν Δημήτριον XV
ἀθύμως ἐπ᾽ αὐτοῖς ἔχοντα θαρρεῖν τε παραινέσαντες
ὡς ἄνδρα ὑπὲρ ἀνδρῶν, ἔπλευσαν ἐπὶ Σικελίας
ἀνέμῳ ἐπιτηδείῳ, Μεσσήνην τε παραπλεύσαντες ἐγέ-
νοντο ἐν Ταυρομενίῳ τριταῖοι. μετὰ ταῦτ᾽ ἐπὶ Συ-
ρακουσῶν κομισθέντες ἀνήγοντο ἐς Πελοπόννησον
περὶ μετοπώρου ἀρχάς, ὑπεράραντες δὲ τοῦ πελά-
γους ἀφίκοντο δι᾽ ἡμέρας ἕκτης ἐπὶ τὰς τοῦ Ἀλφειοῦ
359 ἐκβολάς, ἀφ᾽ ὧν ὁ ποταμὸς οὗτος Ἀδρίᾳ καὶ Σικε-
λικῷ πελάγει ἐπιχεῖται πότιμος. ἀποβάντες οὖν τῆς
νεὼς καὶ πολλοῦ ἄξιον ἡγούμενοι τὸ ἐς Ὀλυμπίαν
ἥκειν διῃτῶντο ἐν τῷ ἱερῷ τοῦ Διός, οὐδαμοῦ ὑπὲρ
Σκιλλοῦντα ἀποφοιτῶντες, φήμης δ᾽ ἀθρόας τε καὶ
ξυντόνου κατασχούσης τὸ Ἑλληνικὸν ζῆν τὸν ἄνδρα
καὶ ἀφῖχθαι ἐς Ὀλυμπίαν, καταρχὰς μὲν ἐδόκει μὴ

ἐρρῶσθαι ὁ λόγος, πρὸς γὰρ τῷ μὴ ἐλπίδος τι ἀνθρωπείας ἐπ' αὐτῷ ἔχειν, ἐπειδὴ δεδέσθαι αὐτὸν ἤκουσαν, οὐδὲ ἐκείνων ἀνήκοοι ἦσαν ἀποθανεῖν καταφλεχθέντα, οἱ δ' ἑλχθῆναι ζῶντα καταπαγέντων ἐς τὰς κλεῖδας αὐτοῦ ἀγκίστρων, οἱ δ' ἐῶσθαι ἐς βάραθρον, οἱ δ' ἐς βυθόν, ἐπειδὴ δὲ ἥκειν ἐπιστεύθη, οὐδ' ἐπ' Ὀλυμπιάδα οὐδεμίαν μετέωρος οὕτω ξυνῄει ἡ Ἑλλάς, ὡς ἐπ' ἐκεῖνον τότε, Ἦλις μὲν καὶ Σπάρτη αὐτόθεν, Κόρινθος δὲ ἀπὸ τῶν τοῦ Ἰσθμοῦ ὁρίων, Ἀθηναῖοι δέ, εἰ καὶ Πελοποννήσου ἔξω, ἀλλ' οὐκ ἐλείποντο τῶν πόλεων, αἳ ἐπὶ θύραις εἰσὶ τῆς Πίσης, αὐτοὶ μάλιστα οἱ ἐπικυδέστατοι Ἀθηναίων ἐς τὸ ἱερὸν στείχοντες καὶ νεότης ἡ ἐξ ἁπάσης τῆς γῆς Ἀθήναζε φοιτῶσα. καὶ μὴν καὶ Μεγαρόθεν τινὲς ἐπεχωρίασαν τῇ Ὀλυμπίᾳ τότε κἀκ Βοιωτῶν πολλοὶ κἀργόθεν Φωκέων τε καὶ Θετταλῶν ὅ τι εὐδόκιμον, οἱ μὲν ξυγγεγονότες ἤδη τῷ Ἀπολλωνίῳ ἀνακτησόμενοι σοφίαν, ἐπειδὴ πλειόνων τε καὶ θαυμασιωτέρων ἀκροάσασθαι ᾤοντο, οἱ δ' ἄπειροι αὐτοῦ δεινὸν ἡγούμενοι τοιοῦδε ἀνδρὸς ἀνήκοοι φαίνεσθαι. πρὸς μὲν δὴ τοὺς ἐρωτῶντας, ὅτῳ τρόπῳ διαφύγοι τὸν τύραννον, οὐδὲν ᾤετο δεῖν φορτικὸν φράζειν, ἀλλ' ἀπολελογῆσθαί τε ἔφασκε καὶ σεσῶσθαι, πολλῶν δ' 360 ἐξ Ἰταλίας ἡκόντων, οἳ ἐκήρυττον τὰ ἐν τῷ δικαστηρίῳ, διέκειτο μὲν ἡ Ἑλλὰς οὐ πόρρω τοῦ προσκυνεῖν αὐτόν, θεῖον ἡγούμενοι ἄνδρα δι' αὐτὸ μάλιστα τὸ μηδ' ἐς κόμπον μηδένα ὑπὲρ αὐτῶν καθίστασθαι.

XVI Νεανίσκου δὲ τῶν ἡκόντων Ἀθήνηθεν μάλα εὔνουν τὴν Ἀθηνᾶν εἶναι τῷ βασιλεῖ φήσαντος, „πέπαυσο“ εἶπεν „Ὀλυμπίασιν ὑπὲρ τούτων κροτῶν καὶ διαβάλλων τὴν θεὸν τῷ πατρί. ἐπιδιδόντος δὲ

τοῦ νεανίσκου τῇ ἀχθηδόνι καὶ δίκαια πράττειν τὴν
θεὸν φήσαντος, ἐπειδὴ καὶ ὁ βασιλεὺς τὴν ἐπώνυμον
Ἀθηναίοις ἦρξεν „εἴθε“ ἔφη „καὶ ἐν Παναθηναίοις“
ἐπιστομίζων αὐτὸν τῇ μὲν προτέρᾳ τῶν ἀποκρίσεων,
ὡς κακῶς εἰδότα περὶ τῶν θεῶν, εἰ τυράννοις αὐ-
τοὺς εὔνους ἡγοῖτο, τῇ δὲ ἐφεξῆς, ὡς οὐκ ἀκόλουθα
τοῖς ἐφ' Ἁρμοδίῳ καὶ Ἀριστογείτονι ψηφιζομένων
Ἀθηναίων, εἰ τοὺς ἄνδρας ἐκείνους τιμᾶν ἐπ' ἀγο-
ρᾶς νομίζοντες ὑπὲρ ὧν ἐν Παναθηναίοις ἔδρασαν,
τυράννοις λοιπὸν χαρίζονται τὸ κεχειροτονημένους
αὐτῶν ἄρχειν. ξυμβουλεύοντος δ' αὐτῷ τοῦ Δάμι- XVII
δος ὑπὲρ χρημάτων, ἐπειδὴ τῶν ἐφοδίων σφίσι πάνυ 168
σμικρὰ ἐλείπετο „αὔριον“ ἔφη „τούτου ἐπιμελήσο-
μαι.“ καὶ παρελθὼν τῇ ὑστεραίᾳ ἐς τὸ ἱερὸν „δός,“
εἶπεν, ὦ ἱερεῦ „χιλίας μοι δραχμὰς ἀπὸ τῶν τοῦ
Διὸς χρημάτων, εἰ μὴ σφόδρα οἴει χαλεπανεῖν αὐ-
τόν.“ καὶ ὁ ἱερεὺς „οὐχ ὑπὲρ τούτων“ ἔφη „χαλε-
πανεῖ, ἀλλὰ μᾶλλον, εἰ μὴ πλείω λήψῃ.“

Θετταλοῦ δὲ ἀνδρός, ᾧ ὄνομα Ἰσαγόρας, ξυν- XVIII
όντος αὐτῷ ἐν Ὀλυμπίᾳ „εἰπέ μοι“ ἔφη „ὦ Ἰσα-
361 γόρα, ἔστι τι πανήγυρις;“ „νὴ Δί',“ εἶπε „τό γε
ἥδιστον καὶ θεοφιλέστατον τῶν κατ' ἀνθρώπους.“
„τίς δὲ δὴ ὕλη τούτου; ὥσπερ ἂν εἰ ἐγὼ μὲν ἠρό-
μην ὑπὲρ ὕλης τοῦδε τοῦ ἀγάλματος, σὺ δ' ἀπεκρί-
νου χρυσοῦ καὶ ἐλέφαντος ξυντεθῆναι αὐτό.“ „καὶ
τίς“ ἔφη „ὕλη, Ἀπολλώνιε, τοῦ γε ἀσωμάτου;“ „με-
γίστη“ εἶπε „καὶ ποικιλωτάτη, τεμένη τε γὰρ ἐν
αὐτῇ καὶ ἱερὰ καὶ δρόμοι καὶ σκηνὴ δήπου, ἔθνη τε
ἀνθρώπων τὰ μὲν ἐκ τῆς ὁμόρου, τὰ δὲ ἐκ τῶν
ὑπερορίων τε καὶ ὑπὲρ θάλατταν.“ καὶ μὴν καὶ
τεχνῶν πλείστων αὐτὴν ξυγκεῖσθαι καὶ σοφισμάτων
σοφίας τε ἀληθινῆς καὶ ποιητῶν καὶ ξυμβουλιῶν καὶ

διαλέξεων γυμνῆς τε ἀγωνίας καὶ μουσικῆς, ὡς Πυθοῖ πάτριον. „ἔοικεν,“ ἔφη „Ἀπολλώνιε, οὐ μόνον σωματοειδὲς εἶναι ἡ πανήγυρις, ἀλλὰ καὶ θαυμασιωτέρας ὕλης ἢ αἱ πόλεις, τὰ γὰρ τῶν σπουδαίων σπουδαιότατα καὶ τὰ τῶν ἐλλογίμων ἐλλογιμώτατα ξυγκαλεῖ καὶ ξυνοικίζει.“ „ἆρ᾽ οὖν,“ εἶπεν „ὦ Ἰσαγόρα, καθάπερ ἔνιοι τείχη καὶ ναῦς ἡγοῦνται, τοὺς ἄνδρας ἡγησόμεθα, ἢ ἑτέρας ἐπ᾽ αὐτῆς δέῃ δόξης;“ „τελεία,“ ἔφη „ὦ Τυανεῦ, ἥδε ἡ δόξα καὶ δίκαιον ἕπεσθαι αὐτῇ.“ „καὶ μὴν ἀτελὴς“ εἶπεν „ἐνθυμουμένῳ περὶ αὐτῆς ὃν ἐγὼ τρόπον· δοκοῦσι γάρ μοι καὶ νῆες ἀνδρῶν δεῖσθαι καὶ ἄνδρες νηῶν καὶ μηδ᾽ ἂν ἐνθυμηθῆναί ποτε ἀνθρώπους τὴν θάλατταν, εἰ μὴ ναῦς ἦν, σώζειν τε ἄνδρας μὲν τείχη, τείχη δὲ ἄνδρας, πανήγυρις δὲ κατὰ τὸν αὐτὸν λόγον εἶναι μὲν καὶ ἡ τῶν ἀνδρῶν ξύνοδος, εἶναι δὲ καὶ αὐτὸ τὸ χωρίον, ἐς ὃ χρὴ ξυνιέναι, καὶ τοσούτῳ μᾶλλον, 362 ὅσῳ τείχη μὲν καὶ νῆες οὐδ᾽ ἂν ἐγένοντο, εἰ μὴ δι᾽ ἀνθρώπων χεῖρας, τὰ δὲ χωρία ταῦτα ὑπὸ χειρῶν μὲν ἀνθρωπείων ἐφθάρη τὸ αὐτοσχέδια μὴ εἶναι ἀφαιρεθέντα, φύσεως δ᾽ εὖ ἥκοντα ἐπάξια τοῦ ξυμφοιτᾶν ἐς αὐτὰ ἐνομίσθη, γυμνάσια μὲν γὰρ καὶ στοαὶ καὶ κρῆναι καὶ οἶκοι, τέχνῃ ταῦτα ἀνθρωπείᾳ εἰργάσθη, καθάπερ τὰ τείχη καὶ αἱ νῆες, Ἀλφειὸς δὲ οὗτος καὶ ἱππόδρομος καὶ στάδιον καὶ ἄλση πρὸ ἀνθρώπων δήπου ἐγένετο, ὁ μὲν ἀποχρῶν ποτὸν εἶναι καὶ λουτρόν, ὁ δ᾽ εὐρὺ πεδίον ἐναγωνίσασθαι τοῖς ἵπποις, τὸ δ᾽ ἐγκονίσασθαι καὶ διαδραμεῖν ἀθληταῖς διὰ τὸ παρέχεσθαί τινα ὅρον, αὐλῶνα σταδίου μῆκος, τὰ δὲ ἄλση στεφανῶσαι τοὺς νικῶντας καὶ τοὺς δρομικοὺς τῶν ἀθλητῶν γυμνάσαι. ταῦτα γάρ που καὶ Ἡρακλεῖ ἐνθυμηθέντι καὶ τὸ αὐτοφυὲς τῆς

Ὀλυμπίας ἀγασθέντι ἐπάξιος ἐφάνη ὁ χῶρος τῶν ἔτι
νῦν σπουδαζομένων ἐνταῦθα.“

Ἡμερῶν δὲ τετταράκοντα διαλεχθεὶς ἐν Ὀλυμπίᾳ XIX
καὶ πλεῖστα σπουδάσας „καὶ κατὰ πόλεις μὲν“ ἔφη
„διαλέξομαι ὑμῖν, ἄνδρες Ἕλληνες, ἐν πανηγύρεσιν
ἐν πομπαῖς ἐν μυστηρίοις ἐν θυσίαις ἐν σπονδαῖς
— ἀστείου δὲ ἀνδρὸς δέονται — νῦν δὲ ἐς Λεβά-
δειαν χρὴ καταβῆναί με, ἐπεὶ τῷ Τροφωνίῳ μήπω
ξυγγέγονα καίτοι ἐπιφοιτήσας ποτὲ τῷ ἱερῷ.“ καὶ
εἰπὼν ταῦτα ἐχώρει δὴ ἐπὶ Βοιωτίας οὐδενὸς λειπο-
μένου τῶν θαυμαζόντων αὐτόν. τὸ δ᾽ ἐν Λεβαδείᾳ
στόμιον ἀνάκειται μὲν Τροφωνίῳ τῷ Ἀπόλλωνος
363 ἐσβατὸν μόνον τοῖς ὑπὲρ χρησμῶν φοιτῶσιν, ὁρᾶται
δ᾽ οὐκ ἐν τῷ ἱερῷ, μικρὸν δ᾽ ἄνω τοῦ ἱεροῦ ἐν γη-
λόφῳ, ξυγκλείουσι δ᾽ αὐτὸ σιδήρεοι ὀβελίσκοι κύκλῳ
περιβάλλοντες, ἡ δὲ κάθοδος οἷα ἱζήσαντα ἐπισπάσα- 169
σθαι. λευκῇ δ᾽ ἐσθῆτι ἐσταλμένοι πέμπονται μελι-
τούττας ἀπάγοντες ἐν ταῖν χεροῖν μειλίγματα ἑρπε-
τῶν, ἃ τοῖς κατιοῦσιν ἐγχρίπτει. ἀναδίδωσι δ᾽ ἡ γῆ
τοὺς μὲν οὐ πόρρω, τοὺς δὲ πορρωτάτω, καὶ γὰρ
ὑπὲρ Λοκροὺς ἀναπέμπονται καὶ ὑπὲρ Φωκέας, οἱ
δὲ πλεῖστοι περὶ τὰ Βοιωτῶν ὅρια. παρελθὼν οὖν
ἐς τὸ ἱερὸν „βούλομαι“ ἔφη „καταβῆναι ὑπὲρ φιλο-
σοφίας.“ ἀντιλεγόντων δὲ τῶν ἱερέων καὶ πρὸς μὲν
τοὺς πολλοὺς λεγόντων, μὴ ἄν ποτε γόητι ἀνθρώπῳ
παρασχεῖν ἔλεγχον τοῦ ἱεροῦ, πρὸς δὲ τὸν ἄνδρα
πλαττομένων ἀποφράδας καὶ οὐ καθαρὰς χρῆσαι,
τὴν μὲν ἡμέραν ἐκείνην διελέχθη περὶ τὰς πηγὰς
τῆς Ἑρκύνης ὑπὲρ αἰτίας τοῦ μαντείου καὶ τρόπου,
μόνον γὰρ ἐκεῖνο δι᾽ αὐτοῦ χρᾷ τοῦ χρωμένου,
ἑσπέρα δ᾽ ὡς ἐγένετο, ἐλθὼν ἐπὶ τὸ στόμιον μετὰ
τῶν ξυνακολουθούντων νέων καὶ τέτταρας τῶν ὀβε-

λίσκων ἀνασπάσας, οἳ ξυνέχουσι τὰς τῆς παρόδου κλεῖδας, ἐχώρει ὑποχθόνιος αὐτῷ τρίβωνι, καθάπερ ἐς διάλεξιν ἑαυτὸν στείλας, οὕτω τι τῷ θεῷ φίλα πράττων, ὡς ἐπιστάντα τοῖς ἱερεῦσι τὸν Τροφώνιον ἐς ἐπίπληξίν τε αὐτοῖς καταστῆναι ὑπὲρ τοῦ ἀνδρὸς ἐς Αὐλίδα τε ἕπεσθαι κελεῦσαι πάντας, ὡς ἐκεῖ ἀναδυσομένου θαυμασιώτατα ἀνθρώπων. ἀνέσχε γὰρ δι' ἡμερῶν ἑπτά, ὅσων μήπω τις τῶν ὑπελθόντων τὸ μαντεῖον, φέρων βιβλίον προσφορώτατον τῇ ἐρω- 364
τήσει. ὁ μὲν γὰρ κατῆλθεν εἰπὼν „τίνα, ὦ Τροφώνιε, καὶ σὺ τὴν ἀρτιωτάτην καὶ καθαρωτάτην φιλοσοφίαν ἡγῇ;" τὸ δὲ βιβλίον τὰς Πυθαγόρου εἶχε δόξας, ὡς καὶ τοῦ μαντείου τῇ σοφίᾳ ταύτῃ ξυντι-
XX θεμένου. ἀνάκειται τὸ βιβλίον τοῦτο ἐν Ἀνθίῳ καὶ σπουδάζεται διὰ τὴν αἰτίαν, τὸ δὲ Ἄνθιον Ἰταλῶν τῶν ἐπὶ θαλάττῃ. ταῦτα μὲν δὴ καὶ τῶν Λεβάδειαν οἰκούντων ξυγχωρῶ ἀκροᾶσθαι, περὶ δὲ τοῦ βιβλίου τούτου γνώμη ἀποπεφάνθω μοι, διακομισθῆναι μὲν αὐτὸ βασιλεῖ Ἀδριανῷ ὕστερον, ὅτε δὴ καί τινας τῶν τοῦ Ἀπολλωνίου ἐπιστολῶν, οὐ γὰρ δὴ πάσας γε, καταμεῖναι δὲ ἐς τὰ βασίλεια τὰ ἐν τῷ Ἀνθίῳ, οἷς μάλιστα δὴ τῶν περὶ τὴν Ἰταλίαν βασιλείων ἔχαιρεν.

XXI Ἀφίκοντο δ' αὐτῷ κἀξ Ἰωνίας οἱ ὁμιληταὶ πάντες, οὓς ὠνόμαζεν Ἀπολλωνιείους ἡ Ἑλλάς, καὶ ξυμμιχθέντες τοῖς αὐτόθεν νεότης ἐγένοντο θαυμάσαι ἄξιοι τοῦ πλήθους καὶ τῆς ἐς τὸ φιλοσοφεῖν ὁρμῆς. ῥητορικὴ μὲν γὰρ ἀπέκειτο ἀμελουμένη καὶ σμικρὰ προσεῖχον τοῖς τὴν τέχνην ξυγκροτοῦσιν, ὡς μόνης διδασκάλου τῆς γλώττης, ὠθίζοντο δὲ ἐπὶ τὴν ἐκείνου φιλοσοφίαν πάντες. ὁ δ', ὥσπερ τοὺς Γύγας φασὶ καὶ τοὺς Κροίσους ἀκλείστους παρέχειν τὰς

τῶν θησαυρῶν θύρας, ἵν᾽ ἀπαντλεῖν εἴη τοῖς δεομένοις, οὕτω παρεῖχε τὴν ἑαυτοῦ σοφίαν τοῖς ἐρῶσι, περὶ παντὸς ἐρωτᾶν ξυγχωρῶν. διαβαλλόντων δ᾽ XXII
αὐτὸν ἐνίων, ὅτι τὰς τῶν ἡγεμόνων ἐπιδημίας ἐκτρέποιτο καὶ ἀπάγοι τοὺς ἀκροατὰς ἐς τὰς ἡσυχίας μᾶλλον, καί τινος ἀποσκώψαντος μετελαύνειν αὐτὸν τὰ πρόβατα, ἐπειδὰν τοὺς ἀγοραίους προσιόντας μάθῃ, „νὴ Δί᾽," εἶπεν „ἵνα μὴ ἐμπίπτωσι τῇ ποίμνῃ οἱ λύκοι." τί δ᾽ ἐβούλετο αὐτῷ τοῦτο; τοὺς ἀγοραίους ὁρῶν ἀποβλεπομένους ὑπὸ τῶν πολλῶν καὶ προϊόντας ἐκ πενίας ἐς πλοῦτον ἀπεχθείας τε οὕτως
365 ἀσπαζομένους, ὡς αὐτὸ τὸ ἀπέχθεσθαι πωλεῖν ἀπῆγε τοὺς νέους τοῦ ξυνεῖναί σφισι καὶ τοὺς ξυγγενομένους αὐτοῖς ἐνουθέτει πικρότερον, οἷον ἀποπλύνων βαφῆς ἀτόπου· διεβέβλητο μὲν γὰρ πρὸς αὐτοὺς καὶ τὸν ἄλλον χρόνον, ὑπὸ δὲ τῶν ἐν τῇ Ῥώμῃ δεσμωτηρίων καὶ τῶν δεδεμένων τε καὶ ἀπολλυμένων οὕτω
διετέθη πρὸς τὴν τέχνην, ὡς πάντα ταῦτα τῶν συκο- 170
φαντούντων καὶ τῶν δεινότητι ἐπηρμένων ἡγεῖσθαι μᾶλλον ἢ τοῦ τυράννου.

Περὶ δὲ τὸν χρόνον, ὃν τῇ Ἑλλάδι ἐνεσπούδα- XXIII
ξεν, ἐπεῖχε τὸν οὐρανὸν διοσημία τοιαύτη· τὸν τοῦ ἡλίου κύκλον περιελθὼν στέφανος ἐοικὼς ἴριδι τὴν ἀκτῖνα ἠμαύρου. ὅτι μὲν δὴ ἐς νεώτερα ἡ διοσημία ἔφερε, δῆλα ἦν πᾶσιν, ὁ δ᾽ ἄρχων τῆς Ἑλλάδος καλέσας αὐτὸν ἐξ Ἀθηνῶν ἐς Βοιωτίαν „ἀκούω σε," εἶπεν „Ἀπολλώνιε, σοφὸν εἶναι τὰ δαιμόνια." „εἴ γε" ἔφη „ἀκούεις, ὅτι καὶ τὰ ἀνθρώπεια." „ἀκούω" εἶπε „καὶ ξύμφημι." „ἐπεὶ τοίνυν" ἔφη „ξυνομολογεῖς, μὴ πολυπραγμόνει θεῶν βουλάς, τουτὶ γὰρ ἡ τῶν ἀνθρώπων σοφία ἐπαινεῖ." ἐπεὶ δὲ ἐλιπάρει τὸν Ἀπολλώνιον εἰπεῖν, ὅπῃ διανοεῖται,

δεδιέναι γὰρ μὴ ἐς νύκτα μεταστῇ πάντα, „θάρρει," ἔφη „ἔσται γάρ τι ἐκ τῆς νυκτὸς ταύτης φῶς."

XXIV Μετὰ ταῦθ᾽ ὁ μέν, ἐπειδὴ τῶν κατὰ τὴν Ἑλλάδα ἱκανῶς εἶχε δυοῖν ἐνδιατρίψας ἐτοῖν, ἔπλει ἐς Ἰωνίαν ξυνεπομένης αὐτῷ τῆς ἑταιρείας, καὶ τὸν μὲν πλείω χρόνον ἐφιλοσόφει περὶ τὴν Σμύρναν τε καὶ τὴν Ἔφεσον, ἐπιὼν καὶ τὰς ἄλλας καὶ ἐν οὐδεμιᾷ τῶν πόλεων ἀηδὴς εἶναι δοκῶν, ἀλλὰ καὶ ποθεῖσθαι ἄξιος καὶ κέρδος μέγα τοῖς δεξιοῖς.

XXV Ἐώθουν δὲ οἱ θεοὶ Δομετιανὸν ἤδη τῆς τῶν ἀνθρώπων προεδρίας. ἔτυχε μὲν γὰρ Κλήμεντα ἀπεκτονὼς ἄνδρα ὕπατον, ᾧ τὴν ἀδελφὴν τὴν ἑαυτοῦ 366 ἐδεδώκει, πρόσταγμα δ᾽ ἐπεποίητο περὶ τὴν τρίτην ἢ τετάρτην ἡμέραν τοῦ φόνου κἀκείνην ἐς ἀνδρὸς φοιτᾶν· Στέφανος τοίνυν ἀπελεύθερος τῆς γυναικός, ὃν ἐδήλου τὸ τῆς διοσημίας σχῆμα, εἴτε τὸν τεθνεῶτα ἐνθυμηθείς, εἴτε πάντας, ὥρμησε μὲν ἴσα τοῖς ἐλευθερωτάτοις Ἀθηναίοις ἐπὶ τὸν τύραννον, ξίφος δ᾽ ὑφείρας τῷ τῆς ἀριστερᾶς πήχει καὶ τὴν χεῖρα ἐπιδέσμοις ἀναλαβὼν οἷον κατεαγυῖαν ἀπιόντι τοῦ δικαστηρίου προσελθὼν „δέομαί σου," ἔφη „βασιλεῦ, μόνου, μεγάλα γάρ, ὑπὲρ ὧν ἀκούσῃ." οὐκ ἀπαξιώσαντος δὲ τοῦ τυράννου τὴν ἀκρόασιν ἀπολαβὼν αὐτὸν ἐς τὸν ἀνδρῶνα, οὗ τὰ βασίλεια, „οὐ τέθνηκεν" εἶπεν „ὁ πολεμιώτατός σοι Κλήμης, ὡς σὺ οἴει, ἀλλ᾽ ἔστιν οὗ ἐγὼ οἶδα, καὶ ξυντάττει ἑαυτὸν ἐπὶ σέ." μέγα δ᾽ αὐτοῦ βοήσαντος περὶ ὧν ἤκουσε, τεταραγμένῳ προσπεσὼν ὁ Στέφανος καὶ τὸ ξίφος τῆς ἐσκευασμένης χειρὸς ἀνασπάσας διῆκε τοῦ μηροῦ πρὸς μὲν τὸν αὐτίκα θάνατον οὐ καιρίαν, πρὸς δὲ τὸν μετὰ ταῦτα οὐκ ἄκαιρον. ὁ δ᾽ ἐρρωμένος μὲν καὶ ἄλλως τὸ σῶμα, γεγονὼς

δὲ περὶ τὰ πέντε καὶ τετταράκοντα ἔτη ξυνεπλάκη
τρωθείς, καὶ καταβαλὼν τὸν Στέφανον ἐπέκειτο
τοὺς ὀφθαλμοὺς ὀρύττων καὶ τὰς παρειὰς ξυντρί-
βων πυθμένι χρυσῆς κύλικος αὐτοῦ κειμένης περὶ
τὰ ἱερά, ἐκάλει δὲ καὶ τὴν Ἀθηνᾶν ἀρωγόν. συνέν-
τες οὖν οἱ δορυφόροι κακῶς πράττοντος ἐσῆλθον
ἀθρόοι καὶ τὸν τύραννον ἀπέκτειναν λιποθυμοῦντα
ἤδη. ταῦτ' ἐπράττετο μὲν κατὰ τὴν Ῥώμην, ἑωρᾶτο XXVI
δ' Ἀπολλωνίῳ κατὰ τὴν Ἔφεσον. διαλεγόμενος γὰρ
367 περὶ τὰ τῶν ξυστῶν ἄλση κατὰ μεσημβρίαν, ὅτε
δὴ καὶ τὰ ἐν τοῖς βασιλείοις ἐγίγνετο, πρῶτον μὲν
ὑφῆκε τῆς φωνῆς, οἷον δείσας, εἶτ' ἐλλιπέστερον
ἢ κατὰ τὴν ἑαυτοῦ δύναμιν ἡρμήνευσεν ἴσα τοῖς
μεταξὺ λόγων διορῶσί τι ἕτερον, εἶτα ἐσιώπησεν,
ὥσπερ οἱ τῶν λόγων ἐκπεσόντες, βλέψας τε δεινὸν
ἐς τὴν γῆν καὶ προβὰς τρία ἢ τέτταρα τῶν βημά-
των „παῖε τὸν τύραννον, παῖε“ ἐβόα, οὐχ ὥσπερ
ἐκ κατόπτρου τινὸς εἴδωλον ἀληθείας ἕλκων, ἀλλ' 171
αὐτὰ ὁρῶν καὶ ξυλλαμβάνειν δοκῶν τὰ δρώμενα.
ἐκπεπληγμένης δὲ τῆς Ἐφέσου, παρῆν γὰρ διαλε-
γομένῳ πᾶσα, ἐπισχὼν ὅσον οἱ διορῶντες, ἔστ' ἂν
γένηταί τι τῶν ἀμφιβόλων τέλος „θαρρεῖτε,“ εἶπεν
„ὦ ἄνδρες, ὁ γὰρ τύραννος ἀπέσφακται τήμερον.
τί λέγω τήμερον; ἄρτι, νὴ τὴν Ἀθηνᾶν, ἄρτι, περὶ
τὸν καιρὸν τῶν ῥημάτων, οἷς ἐπεσιώπησα.“ μανίαν
δὲ ταῦθ' ἡγουμένων τῶν κατὰ τὴν Ἔφεσον καὶ
βουλομένων μὲν ἀληθεύειν αὐτόν, δεδιότων δὲ τὸν
τῆς ἀκροάσεως κίνδυνον „οὐ θαυμάζω“ ἔφη „τῶν
μήπω προσδεχομένων τὸν λόγον, ὃν μηδ' ἡ Ῥώμη
γιγνώσκει πᾶσα· ἀλλ' ἰδοὺ γιγνώσκει, διαφοιτᾷ
γάρ, καὶ πιστεύουσι μὲν ἤδη μύριοι, πηδῶσι δ'
ὑφ' ἡδονῆς δὶς τόσοι καὶ διπλάσιοι τούτων καὶ

τετραπλάσιοι καὶ πάντες οἱ ἐκείνῃ δῆμοι. ἀφίξεται
τουτὶ τὸ ῥῆμα καὶ δεῦρο, καὶ τὸ μὲν θύειν ὑμᾶς
ἐπ' αὐτοῖς ἀναβεβλήσθω ἐς καιρόν, ὃν ἀπαγγελ-
θήσεται ταῦτα, ἐγὼ δὲ εἶμι προσευξόμενος τοῖς
XXVII θεοῖς ὑπὲρ ὧν εἶδον.“ ἔτ' ἀπιστουμένων τούτων
ἦλθον οἱ τῶν εὐαγγελίων δρόμοι μάρτυρες τῆς σο-
φίας τοῦ ἀνδρός, καὶ γὰρ ἡ τοῦ τυράννου σφαγὴ
καὶ ἡ τοῦτο ἐνεγκοῦσα ἡμέρα καὶ ἡ μεσημβρία καὶ
οἱ κτείνοντες, πρὸς οὓς ἡ παρακέλευσις, οὕτως
εἶχεν, ὡς οἱ θεοὶ τούτων ἕκαστα διαλεγομένῳ τῷ
ἀνδρὶ ἀνέφαινον.

Τριάκοντα δ' ἡμέραις μετὰ ταῦτα ἐπιστείλαντος
αὐτῷ τοῦ Νερούα τὴν μὲν ἀρχὴν ἤδη τῶν Ῥωμαίων
ἔχειν θεῶν τε βουλαῖς κἀκείνου, κατασχεῖν δ' ἂν
αὐτὴν ῥᾷον, εἰ ξύμβουλος αὐτῷ ἔλθοι, τὸ μὲν αὐ-
τίκα ἐκεῖνο γράφει πρὸς αὐτὸν αἴνιγμα· „ξυνεσό- 368
μεθα, ὦ βασιλεῦ, χρόνον ἀλλήλοις πλεῖστον, ὃν
μήτε ἡμεῖς ἑτέρου, μήτ' ἄλλος ἡμῶν ἄρξει“ συνιεὶς
ἴσως ἑαυτοῦ τε, ὡς μετ' οὐ πολὺ μεταστησομένου
ἀνθρώπων, Νερούα τε, ὡς χρόνον βραχὺν ἄρξον-
τος, ἐς ἐνιαυτὸν γὰρ καὶ μῆνας τέτταρας τὰ τῆς βα-
XXVIII σιλείας αὐτῷ προὔβη σωφρονεστάτῳ δόξαντι· ἵνα
δὲ μὴ ἀμελῶν φαίνοιτο φίλου τε ἀγαθοῦ καὶ ἄρχον-
τος, ξυνέθηκε μετὰ ταῦτα πρὸς αὐτὸν ἐπιστολὴν
ξύμβουλον τῶν ἀρχικῶν καὶ καλέσας τὸν Δάμιν
„σοῦ“ ἔφη „δεῖται ταῦτα, τὰ γὰρ ἀπόρρητα τῆς ἐπι-
στολῆς γέγραπται μὲν πρὸς τὸν βασιλέα, ἔστι δ'
οἷα ἢ ὑπ' ἐμοῦ λέγεσθαι ἢ διὰ σοῦ.“ καὶ ὀψὲ ὁ
Δάμις ξυνεῖναί φησι τῆς τέχνης, τὴν μὲν γὰρ ἐπι-
στολὴν ἄριστά τε αὐτῷ καὶ ὑπὲρ μεγάλων ξυγγεγρά-
φθαι, πεμφθῆναι δ' ἂν καὶ δι' ἑτέρου. τίς οὖν
ἡ τέχνη τοῦ ἀνδρός; πάντα τὸν χρόνον, ὃν ἐβίω,

λέγεται θαμὰ ἐπιφθέγγεσθαι „λάθε βιώσας, εἰ δὲ
μὴ δύναιο, λάθε ἀποβιώσας“· ἀπάγων οὖν ἑαυτοῦ
τὸν Δάμιν, ἵνα μὴ ὑπὸ μάρτυσι καταλύοι, τὴν ἐπι-
στολὴν ἐσκήψατο καὶ τὸ ἀναφοιτῆσαι αὐτὸν ἐς τὴν
Ῥώμην. αὐτὸς μὲν δὴ παθεῖν τι ἀπιὼν αὐτοῦ φησιν III
οὐδὲ εἰδὼς τὰ μέλλοντα, τὸν δ' εὖ εἰδότα μηδὲν μέν
οἱ εἰπεῖν, ὥσπερ εἰώθασιν οἱ μηκέτ' ἀλλήλους ὀψό-
μενοι, τοσοῦτον αὐτῷ περιεῖναι τοῦ πεπεῖσθαι, ὅτι
ἀεὶ ἔσται, παρεγγυῆσαι δὲ ὧδε· „ὦ Δάμι, κἂν ἐπὶ
σεαυτοῦ φιλοσοφῇς, ἐμὲ ὅρα.“

Τὰ μὲν δὴ ἐς Ἀπολλώνιον τὸν Τυανέα Δάμιδι XXIX
τῷ Ἀσσυρίῳ ἀναγεγραμμένα ἐς τόνδε τὸν λόγον
τελευτᾷ, περὶ γὰρ τρόπου, καθ' ὃν ἐτελεύτα, εἴγε
369 ἐτελεύτα, πλείους μὲν λόγοι, Δάμιδι δὲ οὐδεὶς
εἴρηται, ἐμοὶ δὲ οὐδὲ τοῦτο χρὴ παραλελεῖφθαι,
δεῖ γάρ που τὸν λόγον ἔχειν τὸ ἑαυτοῦ πέρας. οὐδ'
ὑπὲρ ἡλικίας τοῦ ἀνδρὸς εἴρηται οὐδὲν τῷ Δάμιδι,
ἀλλὰ τοῖς μὲν ὀγδοήκοντα, τοῖς δ' ὑπὲρ τὰ ἐνενή-
κοντα, τοῖς δὲ καὶ πρόσω τῶν ἑκατὸν ἐλθεῖν ἀκέ-
ραιος ὢν πᾶν τὸ σῶμα καὶ ἄρτιος, νεότητος δὲ ἡδίων.
ἔστι γάρ τις ὥρα καὶ περὶ ῥυτίσιν, ἣ μάλιστα περὶ
ἐκεῖνον ἤνθησεν, ὡς εἰκόνες τε δηλοῦσι τἀνδρὸς
ἐν τῷ Τυανάδε ἱερῷ καὶ λόγοι μᾶλλον ὑμνοῦντες
τὸ Ἀπολλωνίου γῆρας ἢ τὴν Ἀλκιβιάδου ποτὲ νεό- 172
τητα. τελευτῆσαι δ' αὐτὸν οἱ μὲν ἐν Ἐφέσῳ θερα- XXX
πευόμενον ὑπὸ δυοῖν δμωαῖν, τεθνάναι γὰρ ἤδη
οἱ ἀπελεύθεροι, περὶ ὧν κατ' ἀρχὰς εἶπον, ἐλευ-
θερώσαντα δὲ τὴν ἑτέραν αἰτίαν πρὸς τῆς ἑτέρας
ἔχειν, ἐπεὶ μὴ τῶν αὐτῶν ἠξίωτο, τὸν δ' Ἀπολ-
λώνιον „καὶ δουλεῦσαι“ φάναι „προσήκει σὲ αὐτῇ,
τουτὶ γάρ σοι ἀγαθοῦ ἄρξει.“ τελευτήσαντος οὖν
ἡ μὲν δουλεύειν ἐκείνῃ, ἡ δ' ἐκ μικρᾶς αἰτίας ἀπο-

δόσθαι αὐτὴν καπήλῳ, παρ' οὗ πρίασθαί τις οὐδ' εὐπρεπῆ οὖσαν, ἀλλ' ἐρῶν οὗτος καὶ χρηματιστὴς ἱκανὸς ὢν γυναῖκά τε ἀνειπεῖν καὶ παῖδας ἐξ αὐτῆς ἐγγράψαι. οἱ δ' ἐν Λίνδῳ τελευτῆσαι αὐτὸν παρελθόντα ἐς τὸ ἱερὸν τῆς Ἀθηνᾶς καὶ ἔσω ἀφανισθέντα, οἱ δ' ἐν Κρήτῃ φασὶ θαυμασιώτερον ἢ οἱ ἐν Λίνδῳ· διατρίβειν μὲν γὰρ ἐν τῇ Κρήτῃ τὸν Ἀπολλώνιον μᾶλλον ἢ πρὸ τούτου θαυμαζόμενον, ἀφικέσθαι δ' ἐς τὸ ἱερὸν τῆς Δικτύννης ἀωρί, φυλακὴ δὲ τῷ ἱερῷ κυνῶν ἐπιτέτακται φρουροὶ τοῦ 370 ἐν αὐτῷ πλούτου, καὶ ἀξιοῦσιν αὐτοὺς οἱ Κρῆτες μήτε τῶν ἄρκτων μήτε τῶν ὧδε ἀγρίων λείπεσθαι, οἱ δ' οὔθ' ὑλακτεῖν ἥκοντα σαίνειν τε αὐτὸν προσιόντες, ὡς μηδὲ τοὺς ἄγαν ἐθάδας. οἱ μὲν δὴ τοῦ ἱεροῦ προϊστάμενοι ξυλλαβόντες αὐτὸν ὡς γόητα καὶ λῃστὴν δῆσαι μείλιγμα τοῖς κυσὶ προβεβλῆσθαί τι ὑπ' αὐτοῦ φάσκοντες, ὁ δ' ἀμφὶ μέσας νύκτας ἑαυτὸν λῦσαι, καλέσας δὲ τοὺς δήσαντας, ὡς μὴ λάθοι, δραμεῖν ἐπὶ τὰς τοῦ ἱεροῦ θύρας, αἱ δ' ἀνεπετάσθησαν, παρελθόντος δὲ ἔσω τὰς μὲν θύρας ξυνελθεῖν, ὥσπερ ἐκέκλειντο, βοὴν δὲ ᾀδουσῶν παρθένων ἐκπεσεῖν. τὸ δὲ ᾆσμα ἦν· „στεῖχε γᾶς, στεῖχε ἐς οὐρανόν, στεῖχε.“ οἷον· ἴθι ἐκ τῆς γῆς ἄνω.

XXXI Περὶ ψυχῆς δέ, ὡς ἀθάνατος εἴη, ἐφιλοσόφει ἔτι, διδάσκων μέν, ὅτι ἀληθὴς ὁ ὑπὲρ αὐτῆς λόγος, πολυπραγμονεῖν δὲ μὴ ξυγχωρῶν τὰ ὧδε μεγάλα· ἀφίκετο μὲν γὰρ ἐς τὰ Τύανα μειράκιον θρασὺ περὶ τὰς ἔριδας καὶ μὴ ξυντιθέμενον ἀληθεῖ λόγῳ, τοῦ δὲ Ἀπολλωνίου ἐξ ἀνθρώπων μὲν ἤδη ὄντος, θαυμαζομένου δ' ἐπὶ τῇ μεταβολῇ καὶ μηδ' ἀντιλέξαι θαρροῦντος μηδενός, ὡς οὐκ ἀθάνατος εἴη,

λόγοι μὲν οἱ πλείους ὑπὲρ ψυχῆς ἐγίγνοντο, καὶ γὰρ νεότης τις ἦν αὐτόθι σοφίας ἐρῶντες, τὸ δὲ μειράκιον οὐδαμῶς τῇ τῆς ψυχῆς ἀθανασίᾳ ξυντιθέμενον „ἐγώ,“ ἔφη „ὦ παρόντες, τουτονὶ μῆνα δέκατον Ἀπολλωνίῳ διατελῶ εὐχόμενος ἀναφῆναί μοι τὸν ὑπὲρ ψυχῆς λόγον, ὁ δ' οὕτω τέθνηκεν, ὡς μηδ' ἐφίστασθαι δεομένῳ, μηδ', ὡς ἀθάνατος εἴη, πείθειν.“ τοιαῦτα μὲν τὸ μειράκιον τότε, πέμπτῃ δὲ ἀπ' ἐκείνης ἡμέρᾳ περὶ τῶν αὐτῶν σπουδάσαν κατέδαρθε μὲν οὗ διελέγετο, τῶν δὲ ξυσπουδαζόντων νέων οἱ μὲν πρὸς βιβλίοις ἦσαν, οἱ δ'
371 ἐσπούδαζον γεωμετρικοὺς ἐπιχαράττοντες τύπους τῇ γῇ, τὸ δ', ὥσπερ ἐμμανές, ἀναπηδῆσαν ὠμόυπνον ἱδρῶτί τε πολλῷ ἐρρεῖτο καὶ ἐβόα „πείθομαί σοι.“ ἐρομένων δ' αὐτὸ τῶν παρόντων, ὅ τι πέπονθεν, „οὐχ ὁρᾶτε“ ἔφη „ὑμεῖς Ἀπολλώνιον τὸν σοφόν, ὡς παρατυγχάνει τε ἡμῖν ἐπακροώμενος τοῦ λόγου καὶ περὶ ψυχῆς ῥαψῳδεῖ θαυμάσια;“ „ποῦ δ' οὗτος;“ ἔφασαν „ὡς ἡμῖν γε οὐδαμοῦ φαίνεται καίτοι βουλομένοις ἂν τοῦτο μᾶλλον ἢ τὰ πάντων ἀνθρώπων ἀγαθὰ ἔχειν.“ καὶ τὸ μειράκιον „ἔοικεν ἐμοὶ μόνῳ διαλεξόμενος ἥκειν ὑπὲρ ὧν μὴ ἐπίστευον· ἀκούετ' οὖν, οἷα τῷ λόγῳ ἐπιθειάζει·

ἀθάνατος ψυχὴ κοὐ χρῆμα σόν, ἀλλὰ προνοίας,
ἣ μετὰ σῶμα μαρανθέν, ἅτ' ἐκ δεσμῶν θοὸς ἵππος,
ῥηιδίως προθοροῦσα κεράννυται ἠέρι κούφῳ
δεινὴν καὶ πολύτλητον ἀποστέρξασα λατρείην·
σοι δὲ τί τῶνδ' ὄφελος, ὃ ποτ' οὐκέτ' ἐὼν τότε δόξεις; 173
ἢ τί μετὰ ζῳοῖσιν ἐὼν περὶ τῶνδε ματεύεις;

καὶ σαφὴς οὗτος Ἀπολλωνίου τρίπους ἕστηκεν ὑπὲρ τῶν τῆς ψυχῆς ἀπορρήτων, ἵν' εὔθυμοί τε καὶ τὴν αὑτῶν φύσιν εἰδότες, οἷ τάττουσι Μοῖραι, πορευοί-

μεθα. τάφῳ μὲν οὖν ἢ ψευδοταφίῳ τοῦ ἀνδρὸς οὐδαμοῦ προστυχὼν οἶδα καίτοι τῆς γῆς, ὁπόση ἐστίν, ἐπελθὼν πλείστην, λόγοις δὲ πανταχοῦ δαιμονίοις, καὶ ἱερὰ Τυανάδε βασιλείοις ἐκπεποιημένα 372
τέλεσιν· οὐδὲ γὰρ βασιλεῖς ἀπηξίουν αὐτὸν ὧν αὐτοὶ ἠξιοῦντο.

ΑΠΟΛΛΩΝΙΟΥ
ΤΟΥ ΤΥΑΝΕΩΣ ΕΠΙΣΤΟΛΑΙ.

385 α΄. *Εὐφράτῃ.* Ἐμοὶ πρὸς φιλοσόφους ἐστὶ φιλία, πρὸς μέντοι σοφιστὰς ἢ γραμματιστὰς ἤ τι τοιοῦτο γένος ἕτερον ἀνθρώπων κακοδαιμόνων οὔτε νῦν ἐστι φιλία, μήτε ὕστερόν ποτε γένοιτο. τάδε μὲν οὖν οὐ πρὸς σέ, πλὴν εἰ μὴ καὶ σὺ τούτων εἷς, ἐκεῖνα δὲ καὶ πάνυ πρὸς σέ· θεράπευέ σου τὰ πάθη καὶ πειρῶ φιλόσοφος εἶναι καὶ μὴ φθονεῖν τοῖς ὄντως φιλοσοφοῦσιν, ἐπεί σοι καὶ γῆρας ἤδη πλησίον καὶ θάνατος.

β΄. *τῷ αὐτῷ.* Ἡ ἀρετὴ φύσει [μαθήσει] κτήσει χρήσει, δι' ἣν ἕκαστον ἂν εἴη τῶν προειρημένων ἀποδοχῆς ἄξιον. σκεπτέον, εἴ τί σοι τούτων ἐστὶν ἢ σοφιστείας παυστέον λοιπὸν ἢ προῖκά γε χρηστέον αὐτῇ πρὸς τοὺς ἐντυγχάνοντας, ἐπείπερ ἤδη σοι καὶ τὰ Μεγαβύζου.

γ΄. *τῷ αὐτῷ.* Ἐπῆλθες ἔθνη τὰ μεταξὺ τῆς Ἰταλίας ἀπὸ Συρίας ἀρξάμενος, ἐπιδεικνὺς σεαυτὸν
386 ἐν ταῖς τοῦ βασιλέως λεγομέναις. διπλῆ δέ σοι τότε καὶ πώγων λευκὸς καὶ μέγας, πλέον δὲ οὐδέν. εἶτα πῶς διὰ θαλάττης νῦν ὑποστρέφεις ἄγων φορτίδα μεστὴν ἀργυρίου χρυσίου σκευῶν παντοδαπῶν ἐσθήτων ποικίλων κόσμου τοῦ λοιποῦ, τύφου καὶ ἀλα-

ζονείας καὶ κακοδαιμονίας; τίς ὁ φόρτος καὶ ὁ τρόπος τῆς καινῆς ἐμπορίας; Ζήνων τραγημάτων ἦν ἔμπορος.

δ'. τῷ αὐτῷ. Ὀλίγων δεῖ σου τοῖς παισίν, εἰ φιλοσόφου παῖδες εἴησαν. ἔδει μὲν οὖν μηδὲ φροντίσαι πλείω σοι γενέσθαι τῶν ἱκανῶν ἄλλως τε καὶ μετὰ ἀδοξίας τινός. ἐπεὶ δὲ ἅπαξ ἐγένετο,, δεύτερον ἂν εἴη μεγάλῃ σπουδῇ νεῖμαί σε τισὶ ἔνια τῶν ὄντων· ἔχεις δὲ καὶ πατρίδα καὶ φίλους.

ε'. τῷ αὐτῷ. Τῶν Ἐπικούρου λόγων ὁ περὶ ἡδονῆς οὐδενὸς ἔτι συνηγόρου δεῖται τῶν ἐκ τοῦ κήπου καὶ τῆς ἐκείνου διατριβῆς, πέφηνε γὰρ ὢν
46 καὶ κατὰ τὴν στοὰν ἀληθέστατος. εἰ δὲ ἀντιλέγων προκομιεῖς τὰς Χρυσίππου σχολὰς καὶ δόγματα, γέγραπταί τι καὶ ἐν τοῖς βασιλικοῖς γράμμασιν· Εὐφράτης ἔλαβε καὶ πάλιν ἔλαβεν· Ἐπίκουρος δὲ οὐκ ἂν ἔλαβεν.

ς'. τῷ αὐτῷ. Ἠρόμην πλουσίους τινάς, εἰ πικραίνονται. τί δ' οὐ μέλλομεν; ἔφασαν. ἠρόμην οὖν καὶ τὴν αἰτίαν τῆς ἀνάγκης. καὶ ᾐτιῶντο τὸν 387
πλοῦτον. σὺ δ', ὦ τάλαν, νεόπλουτος.

ζ'. τῷ αὐτῷ. Ἐὰν ὅτι τάχος εἰς Αἰγὰς ἀφίκῃ καὶ κενώσῃς ἐκεῖ τὴν ναῦν, ἰτέον ἐστί σοι πάλιν ὅτι τάχος εἰς τὴν Ἰταλίαν καὶ κολακευτέον ὁμοίως νοσοῦντας γέροντας γραῦς ὀρφανοὺς πλουσίους θρυπτομένους Μίδας Γέτας. πάντα φασὶ δεῖν τὸν ἔμπορον κάλων σείειν. ἐμοὶ δὲ εἴη τὴν ἁλιὰν τρυπᾶν ἐν Θέμιδος οἴκῳ.

η'. τῷ αὐτῷ. Ἆρά τι καὶ σὺ γράψαιο ἄν; εἰ γὰρ οὕτω γένοιο γενναῖος. καὶ ἔχοις δ' ἂν εἰπεῖν τὰ συνήθη ταῦτα καὶ πρόχειρα· „λουτρὸν ἅπαν Ἀπολλώνιος παραιτεῖται.“ καὶ τῆς οἰκίας οὐδέποτε

προέισι καὶ σιωζομένους ἔχει τοὺς πόδας. „οὐδὲν ὁρᾶται τῶν τοῦ σώματος κινῶν.“ δι' ὅλου γὰρ τὴν ψυχὴν κινεῖ. „κομᾷ τὴν κεφαλήν.“ καὶ γὰρ ὁ Ἕλλην, ὅτι Ἕλλην καὶ οὐ βάρβαρος. „ἐσθῆτα φορεῖ λινῆν.“ καὶ τῶν ἱερέων τὰ καθαρώτατα. „μαντικῇ χρῆται.“ πλείω γὰρ τὰ ἄδηλα, καὶ ἄλλως ἀμήχανον προαισθέσθαι τι τῶν ἐσομένων. „ἀλλ' οὐ πρέπον φιλοσόφῳ τὸ τοιοῦτον·“ ὃ πρέπει καὶ θεῷ; „καὶ σωμάτων δὲ ὀδύνας ἀφαιρεῖ καὶ πάθη παύει·“ τοῦτό που καὶ πρὸς τὸν Ἀσκληπιὸν κοινὸν τὸ ἔγκλημα.
388 „σιτεῖται μόνος.“ οἱ δὲ λοιποὶ ἐσθίουσι. „βραχέα λέγει καὶ ἐπὶ βραχύ.“ σιγῆσαι γάρ ἐστιν (οὐκ) ἀδύνατος. „σαρκῶν ἀπέχεται πασῶν καὶ θηρίων πάντων.“ διὰ τοῦτο ἄνθρωπός ἐστι. εἰ ταῦτα ἐρεῖς, Εὐφρᾶτα, γεγράφθαι, ἴσως ἐκεῖνο προσθήσεις „εἴ τι ἦν, ἔλαβεν ἂν ἀργύριον, ὡς ἐγώ, δωρεὰς πολιτείας.“ εἴ τι ἦν, οὐκ ἂν ἔλαβεν. „ἀλλὰ τῇ πατρίδι μὲν ἔλαβεν ἄν.“ οὐ πατρὶς δέ, ἣ μὴ οἶδεν, ὃ ἔχει.

θʹ. *Δίωνι.* Αὐλοῖς καὶ λύρᾳ κρεῖττόν ἐστι τέρπειν ἢ λόγῳ, τὰ μὲν γὰρ ἡδονῆς ὄργανα καὶ μουσικὴ τοὔνομα τῇ τέχνῃ, λόγος δὲ τἀληθὲς εὑρίσκει. τοῦτό σοι πρακτέον, τοῦτό σοι ῥητέον, ἣν καὶ περὶ τούτου φιλοσοφῇς.

ιʹ. *τῷ αὐτῷ.* Ζητοῦσί τινες τὴν αἰτίαν, δι' ἣν πέπαυμαι διαλεγόμενος ἐν πολλοῖς· εἰδέτωσαν οὖν, οἷς ἂν εἰδέναι μέλῃ τὸ τοιοῦτον· ἀδύνατος ὠφελῆσαι λόγος ἅπας, ὃς ἂν εἷς ὢν μὴ καὶ πρὸς ἕνα λέγηται. ὁ τοίνυν ἄλλως διαλεγόμενος δόξης ἥττων ὢν διαλέγοιτ' ἄν.

ιαʹ. *Καισαρέων προβούλοις.* Πρῶτον εἰς πάντα θεῶν ἄνθρωποι δέονται καὶ περὶ παντός, ἔπειτα πόλεων, τιμητέον γὰρ δεύτερον πόλεις μετὰ

θεοὺς καὶ τὰ πόλεως προκριτέον παντὶ νοῦν ἔχοντι·
εἰ δὲ μὴ πόλις μόνον εἴη, ἀλλὰ καὶ μεγίστη τῆς Πα- 389
λαιστίνης ἀρίστη τε τῶν αὐτόθι μεγέθει καὶ νόμοις
καὶ ἐπιτηδεύμασι καὶ προγόνων κατὰ πόλεμον ἀρε-
ταῖς ἔτι τε ἤθεσι κατ' εἰρήνην, καθάπερ ἡ ὑμετέρα
πόλις, μάλιστα πασῶν τῶν ἄλλων ἐμοί τε θαυμα-
στέα τιμητέα τε καὶ ἄλλῳ δὲ ὁμοίως παντὶ νοῦν
ἔχοντι· τοῦτο μὲν οὖν ἐκ λόγου κοινοῦ τὸ προκριτι-
κὸν ἂν εἴη τὸ κατὰ σύγκρισιν τῶν πολλῶν. ὅταν
δὲ καὶ ἄρχῃ πόλις ποτὲ τῆς πρὸς ἕνα τιμῆς ἄνδρα
πόλις οὖσα καὶ τοῦτον ἑαυτῆς ξένον καὶ ἄποθεν, τί
ἢ τούτου τοῦ ἀνδρὸς πρὸς ἀμοιβὴν ἢ ὑμῶν ἂν πρὸς
47 τίσιν ἄξιον εἴη; τοῦτο μόνον ἴσως, εἰ θεοφιλής τις
ὢν τύχοι διά τινα φύσεως ἐπιτηδειότητα, τὸ εὔχε-
σθαι τῇ πόλει τὰ ἀγαθὰ τυγχάνειν τε τῆς εὐχῆς,
ὅπερ ἂν διατελέσαιμι κἀγὼ πράττων ὑπὲρ ὑμῶν,
ἐπείπερ ἥσθην ἤθεσιν Ἑλληνικοῖς φαίνουσι τὸ ἴδιον
ἀγαθὸν καὶ διὰ γραμμάτων κοινῶν. Ἀπολλωνίδην
δὲ τὸν Ἀφροδισίου νεανίαν ἐρρωμενεστάτης φύσεως
ἀξίας τε τοῦ ὑμετέρου ὀνόματος πειράσομαι χρήσι-
μον ὑμῖν παρασκευάζειν εἰς ἕκαστα μετὰ καὶ τύχης
τινὸς ἀγαθῆς.

ιβ'. *Σελευκέων τοῖς προβούλοις.* Πόλις,
ἥτις ἂν οὕτω πρός τε θεοὺς ἔχῃ καὶ ἀνθρώπων πρὸς
τοὺς ἀξίους ἀποδοχῆς, αὐτή τε εὐδαίμων καὶ εἰς
ἀρετὴν ὠφέλησε τοὺς μαρτυρηθέντας. ἄρξασθαι μὲν
οὖν χάριτος οὐ δυσχερές, ἀλλὰ καὶ τῶν ἐν ἀνθρώ-
ποις τὸ κάλλιστον, ἀμοιβὴν δ' οὐ μόνον οὐ ῥᾴδιον,
ἀλλὰ καὶ παντελῶς ὁμοίαν εὑρεῖν ἀδύνατον, τὸ γάρ
που τῇ τάξει δεύτερον οὐδέποτε τῇ φύσει πρῶτον.
ὥστε θεὸν ἀνάγκη παρακαλεῖν ὑπὲρ ὑμῶν ἀμείψα-
σθαι τοὺς οὐ τῇ δυνάμει μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις

κρείττους γενομένους, ἀνθρώπων γὰρ οὐδεὶς τά γε τηλικαῦτα δυνατός. καὶ τὸ ἐθελῆσαι δ᾽ ἄν με παρ᾽ ὑμῖν γενέσθαι τῆς ὑμῶν ἂν εἴη χάριτος καὶ αὐτὸ εἰς ἡμᾶς, ὡς ἔγωγ᾽ ἂν εὐξαίμην παρ᾽ ὑμῖν καὶ γεγεννῆσθαι. οἱ πρέσβεις ὑμῶν τιμιώτεροι, διότι καὶ φίλοι, Ἱερώνυμος καὶ Ζήνων.

390 *ιγ΄. τοῖς αὐτοῖς. Στράτων μὲν ἐξ ἀνθρώπων οἴχεται πᾶν ὅσον ἦν αὐτῷ θνητὸν ἐπὶ γῆς καταλιπών. χρὴ δὲ τοὺς ἔτι κολαζομένους ἡμᾶς ἐνθάδε ζῆν ἄλλως λεγομένους ἔχειν τινὰ τῶν ἐκείνου πραγμάτων ἐπιμέλειαν. ἄλλοις μὲν οὖν ἄλλο τι ἔργον δικαίως γένοιτο νῦν ἢ καὶ ὕστερον, οἷς μὲν ὡς οἰκείοις, οἷς δ᾽ ὡς αὐτὸ μόνον ἀνδράσι φίλοις οὐκ ἐν ἑτέρῳ γνωσθησομένοις χρόνῳ, τούτων εἴπερ ἦν τῶν ὀνομάτων ἀληθές τι καὶ πρόσθεν. ἐγὼ μέντοι καὶ ταύτῃ βουλόμενος ἐξαιρέτως ὑμέτερος εἶναι, τὸν ἐκ Σελευκίδος υἱὸν αὐτῷ γενόμενον Ἀλέξανδρον αὐτὸς ἀναθρέψω καὶ μεταδώσω παιδείας τῆς ἐμῆς. πάντως δ᾽ ἂν μετέδωκα καὶ χρημάτων ὁ τὰ μείζονα δούς, εἴπερ ἔχειν ἦν ἄξιον.*

ιδ΄. Εὐφράτῃ. Πυνθάνονταί μου πολλοὶ πολλάκις, τίνος ἕνεκεν οὐ μετεπέμφθην εἰς Ἰταλίαν, ἢ οὐ μεταπεμφθεὶς ἀφικόμην, ὥσπερ σὺ καὶ εἴ τις ἕτερος. ἐγὼ δὲ περὶ τοῦ προτέρου μὲν οὐκ ἀποκρινοῦμαι, μὴ καὶ δόξω τισὶν εἰδέναι τὴν αἰτίαν, οὐδ᾽ εἰδέναι μοι μέλον, περὶ δὲ τοῦ δευτέρου τί ἂν καὶ δεοίμην ἕτερον λέγειν, ἢ ὅτι μᾶλλον ἂν μετεπέμφθην ἢ ἀφικόμην; ἔρρωσο.

ιε΄. τῷ αὐτῷ. Τὴν ἀρετὴν ἀδέσποτον εἶναι Πλάτων ἔφησεν. εἰ δὲ μὴ τιμᾷ τοῦτό τις καὶ γέγηθεν ἐπ᾽ αὐτῷ, ἀλλὰ καὶ ὤνιος γίνεται χρημάτων, πολλοὺς δεσπότας ἑαυτοῦ ποιεῖ.

ιϛʹ. τῷ αὐτῷ. Μάγους οἴει δεῖν ὀνομάζειν τοὺς ἀπὸ Πυθαγόρου φιλοσόφους, ὧδέ που καὶ τοὺς ἀπὸ Ὀρφέως. ἐγὼ δὲ καὶ τοὺς ἀπὸ τοῦ δεῖνος οἶμαι δεῖν ὀνομάζεσθαι μάγους, εἰ μέλλουσιν εἶναι θεῖοί τε καὶ δίκαιοι.

ιζʹ. τῷ αὐτῷ. Μάγους ὀνομάζουσι τοὺς θείους 391 οἱ Πέρσαι. μάγος οὖν ὁ θεραπευτὴς τῶν θεῶν ἢ ὁ τὴν φύσιν θεῖος, σὺ δ' οὐ μάγος, ἀλλ' ἄθεος.

ιηʹ. τῷ αὐτῷ. Ἡράκλειτος ὁ φυσικὸς ἄλογον εἶναι κατὰ φύσιν ἔφησε τὸν ἄνθρωπον. εἰ δὲ τοῦτο ἀληθές, ὥσπερ ἐστὶν ἀληθές, ἐγκαλυπτέος ἕκαστος ὁ ματαίως ἐν δόξῃ γενόμενος.

48 ιθʹ. Σκοπελιανῷ σοφιστῇ. Πέντε εἰσὶ σύμπαντες οἱ τοῦ λόγου χαρακτῆρες, ὁ φιλόσοφος ὁ ἱστορικὸς ὁ δικανικὸς ὁ ἐπιστολικὸς ὁ ὑπομνηματικός. ἐγκειμένων δὴ τῶν γενικῶν χαρακτήρων τῇ τάξει πάλιν γίνεται πρῶτος μὲν ὁ κατὰ τὴν ἑκάστου δύναμιν ἢ φύσιν ἴδιος ὤν, δεύτερος δὲ ὁ ἐν μιμήσει τοῦ ἀρίστου, τῶν ἐκ φύσεως εἴ τις ἐνδεὴς εἴη. τὸ δὲ ἄριστον δυσεύρετόν τε καὶ δυσεπίκριτον, ὥστε οἰκειότερος ἑκάστῳ χαρακτὴρ ὁ ἴδιος, ἐπείπερ καὶ βεβαιότερος.

κʹ. Δομετιανῷ. Εἴ σοι δύναμίς ἐστιν, ὥσπερ ἐστίν, καὶ φρόνησιν ἂν εἴη σοι κτητέον· καὶ γὰρ εἰ φρόνησις ἦν, δύναμις δὲ ἀπῆν, ὁμοίως ἔδει σοι δυνάμεως. δεῖται γὰρ ἀεὶ τὸ ἕτερον τοῦ ἑτέρου, ὥσπερ ὄψις φωτὸς καὶ φῶς ὄψεως.

καʹ. τῷ αὐτῷ. Βαρβάρων ἀφεκτέον καὶ οὐκ ἀρκτέον αὐτῶν. οὐ γὰρ θέμις αὐτοὺς βαρβάρους ὄντας εὖ πάσχειν.

κβʹ. Λεσβώνακτι. Δεῖ πένεσθαι μὲν ὡς ἄνδρα, πλουτεῖν δὲ ὡς ἄνθρωπον.

κγ΄. Κρίτωνι. Τὸ θειότατον Πυθαγόρας ἰατρικὴν ἔφασκεν. εἰ δὲ ἰατρικὴ τὸ θειότατον, καὶ ψυχῆς ἐπιμελητέον μετὰ σώματος, ἢ τὸ ζῷον οὐκ ἂν ὑγιαίνοι τῷ κρείττονι νοσοῦν.

392 κδ΄. Ἑλλανοδίκαις καὶ Ἠλείοις. Ἀξιοῦτέ με τῷ ἀγῶνι τῶν Ὀλυμπίων παραγενέσθαι καὶ διὰ τοῦτο ἐπέμψατε πρέσβεις. ἐγὼ δὲ παρεγενόμην ἂν ἐπὶ σωμάτων θέαν καὶ ἅμιλλαν, εἰ μὴ τὸν μείζονα τῆς ἀρετῆς ἀγῶνα καταλείψειν ἔμελλον.

κε΄. Πελοποννησίοις. Ὀλύμπια τὸ δεύτερον, καὶ τὸ μὲν πρῶτον ἐγένεσθε πολέμιοι, τὸ δεύτερον δὲ οὐ φίλοι.

κς΄. τοῖς ἐν Ὀλυμπίᾳ θεηκόροις. Θεοὶ θυσιῶν οὐ δέονται. τί οὖν ἄν τις πράττων χαρίζοιτο αὐτοῖς; φρόνησιν, ὡς ἐμοὶ δοκεῖ, κτώμενος ἀνθρώπων τε τοὺς ἀξίους εἰς δύναμιν εὖ ποιῶν. ταῦτα φίλα θεοῖς, ἐκεῖνα δὲ ἀθέων.

κζ΄. τοῖς ἐν Δελφοῖς ἱερεῦσιν. Αἵματι βωμοὺς μιαίνουσιν ἱερεῖς, εἶτα θαυμάζουσί τινες, πόθεν αἱ πόλεις ἀτυχοῦσιν, ὅταν μεγάλα δυσθετήσωσιν. ὢ τῆς ἀμαθίας. Ἡράκλειτος ἦν σοφός, ἀλλ' οὐδὲ ἐκεῖνος Ἐφεσίους ἔπεισε μὴ πηλῷ πηλὸν καθαίρεσθαι.

κη΄. βασιλεῖ Σκυθῶν. Ζάμολξις ἀνὴρ ἀγαθὸς ἦν καὶ φιλόσοφος, εἴ γε μαθητὴς Πυθαγόρου ἐγένετο, καὶ εἰ κατ' ἐκεῖνον τὸν χρόνον τοιοῦτος ἦν ὁ Ῥωμαῖος, ἑκὼν ἂν ἐγένετο φίλος. εἰ δὲ ὑπὲρ ἐλευθερίας οἴει δεῖν ἀγῶνα καὶ πόνον ἔχειν, ἄκουε φιλόσοφος, τουτέστιν ἐλεύθερος.

393 κθ΄. νομοθέτῃ. Αἱ ἑορταὶ νόσων αἰτίαι, τοὺς μὲν γὰρ πόνους ἀνιᾶσι, τὸ ἐμπίπλασθαι δὲ αὔξουσιν.

λ΄. ταμίαις Ῥωμαίων. Ἀρχὴν ἄρχετε πρώ-

την. εἰ μὲν οὖν ἄρχειν ἐπίστασθε, διὰ τί τὸ παρ' ὑμᾶς χεῖρον ἑαυτῶν αἱ πόλεις ἔχουσιν; εἰ δὲ οὐκ ἐπίστασθε, μαθεῖν ἔδει πρῶτον, εἶτα ἄρχειν.

λα'. διοικηταῖς Ἀσίας. Τί ὄφελος ἀγρίων δένδρων φυομένων ἐπὶ βλάβῃ τοὺς κλάδους κόπτειν, ἐᾶν δὲ τὰς ῥίζας;

49 λβ'. Ἐφεσίων γραμματεῦσιν. Λίθων ἐν πόλει καὶ γραφῶν ποικίλων καὶ περιπάτων καὶ θεάτρων οὐδὲν ὄφελος, εἰ μὴ νοῦς ἐνείη καὶ νόμος. νοῦς δὲ καὶ νόμος περὶ τούτων ἐστίν, οὐ ταῦτα.

λγ'. Μιλησίοις. Οἱ παῖδες ὑμῶν πατέρων δέονται, οἱ νέοι γερόντων, αἱ γυναῖκες ἀνδρῶν, οἱ ἄνδρες ἀρχόντων, οἱ ἄρχοντες νόμων, οἱ νόμοι φιλοσόφων, οἱ φιλόσοφοι θεῶν, οἱ θεοὶ πίστεως. προγόνων ἀγαθῶν ἐστε, τὰ παρόντα μισεῖτε.

λδ'. τοῖς ἐν Μουσείῳ σοφοῖς. Ἐγενόμην ἐν Ἄργει καὶ Φωκίδι καὶ Λοκρίδι καὶ ἐν Σικυῶνι καὶ ἐν Μεγάροις καὶ διαλεγόμενος τοῖς ἔμπροσθεν χρόνοις ἐπαυσάμην ἐκεῖ. τί οὖν, εἴ τις ἔροιτο, τὸ αἴτιον; ἐγὼ φράσαιμ' ἂν ὑμῖν τε καὶ Μούσαις· ἐβαρβαρώθην οὐ χρόνιος ὢν ἀφ' Ἑλλάδος, ἀλλὰ χρόνιος ὢν ἐν Ἑλλάδι.

λε'. Ἑστιαίῳ. Ἀρετὴ καὶ χρήματα παρ' ἡμῖν 394
ἀλλήλοις ἐναντιώτατα, μειούμενον γὰρ τὸ ἕτερον αὔξει τὸ ἕτερον, αὐξανόμενον δὲ μειοῖ. πῶς οὖν δυνατὸν ἀμφότερα περὶ τὸν αὐτὸν γενέσθαι; πλὴν εἰ μὴ τῷ τῶν ἀνοήτων λόγῳ, παρ' οἷς καὶ ὁ πλοῦτος ἀρετή. μὴ δὴ τοσοῦτον ἡμῶν ἀναισθητεῖν ἐπίτρεπε τοῖς αὐτόθι, μηδὲ ἔα πλουσίους ἡμᾶς ὑπολαμβάνειν μᾶλλον ἢ φιλοσόφους. καὶ γὰρ αἴσχιστον ἀποδημεῖν ἡμᾶς διὰ χρήματα δοκεῖν, ἐνίων, ἵνα μνήμην ἑαυτῶν καταλείπωσι, μηδὲ ἀρετὴν ἀσπασαμένων.

λϛ΄. *Κορινθίῳ Βάσσῳ.* Ἦν Πραξιτέλης Χαλκιδεὺς μαινόμενος ἄνθρωπος. οὗτος ἦλθέ ποτε ξιφήρης ἐπὶ θύρας τὰς ἐμὰς ὑπὸ σοῦ σταλεὶς τοῦ φιλοσόφου καὶ ἀγωνοθέτου τῶν Ἰσθμίων. τοῦ φόνου δ' ἦν μισθὸς δεδομένος ἡ τῆς γυναικός σου κοινωνία, καί, μιαρὲ Βάσσε, πολλάκις εὐεργέτης ἐγενόμην σου.

λζ΄. *τῷ αὐτῷ.* Εἰ πυνθάνοιτο Κορινθίων τις, πῶς ὁ Βάσσου πατὴρ ἀπέθανεν, ἐροῦσιν ἅπαντες οἱ ἀστικοὶ καὶ οἱ μέτοικοι· φαρμάκῳ. τίνος δόντος; ἐροῦσι καὶ οἱ ὅμοροι· τοῦ φιλοσόφου. καὶ ὁ μιαρὸς τῷ πτώματι τοῦ πατρὸς ἑπόμενος ἔκλαιεν.

λη΄. *τοῖς ἐν Σάρδεσιν.* Ἀρετῆς μὲν ὑμῖν πρωτεῖον οὐκ ἔστι, ποίας γὰρ ἀρετῆς; εἰ δὲ κακίας φέρεσθε τὰ πρῶτα, πάντες ὑφ' ἓν φέρεσθε. τίνες τοῦτο φήσουσι περὶ τῶν ἐν Σάρδεσιν; οἱ ἐν Σάρδεσιν. οὐδεὶς γὰρ οὐδενὶ τῶν αὐτόθι φίλος, ὥστ' ἀρνεῖσθαί τι τῶν ἀτόπων δι' εὔνοιαν.

λθ΄. *τοῖς αὐτοῖς.* Αἰσχρὰ καὶ τὰ ὀνόματα τῶν ταγμάτων ὑμῶν· Κόδδαροι, Ξυρισίταυροι. ταῦτα τοῖς τέκνοις τίθεσθε τὰ πρῶτα, καὶ εὐτυχεῖτε γίνεσθαι τούτων ἄξιοι.

395 μ΄. *τοῖς αὐτοῖς.* Κόδδαροι, καὶ Ξυρισίταυροι. Τὰς δὲ θυγατέρας ὑμῶν καὶ τὰς γυναῖκας πῶς ἂν προσαγορεύοιτε; τῶν γὰρ αὐτῶν ταγμάτων εἰσὶ καὶ αὗται καὶ θρασύτεραι.

μα΄. *τοῖς αὐτοῖς.* Οὐδὲ τοὺς οἰκέτας ὑμῖν εὐνοεῖν εἰκός, πρῶτον μὲν ὅτι οἰκέται, εἶθ', ὅτι τῶν ἐναντίων ταγμάτων οἱ πλεῖστοι. κἀκεῖνοι γὰρ ὁμοίως ὑμῖν ἀπὸ γένους.

μβ΄. *Πλατωνικοῖς.* Ἐάν τις Ἀπολλωνίῳ χρή- 50
ματα διδῷ, καὶ ὁ διδοὺς ἄξιος νομίζηται, λήψεται

δεόμενος. φιλοσοφίας δὲ μισθὸν οὐ λήψεται, κἂν δέηται.

μγ΄. τοῖς οἰησισόφοις. Εἰ λέγει τις εἶναι γνώριμος ἐμός, λεγέτω καὶ μένειν ἔνδον, ἀπέχεσθαι λουτροῦ παντός, ζῷα μὴ κτείνειν, μηδὲ ἔδειν σάρκας, ἀπαθὴς εἶναι φθόνου κακοηθείας μίσους διαβολῆς ἔχθρας, τοῦ τῶν ἐλευθέρων ὀνομάζεσθαι γένους, ἢ φυλακτέος πλάσματα φέρων τρόπου τε καὶ ἤθους καὶ λόγων ψευδῶν ἀλλοτρίου βίου πίστιν. ἔρρωσθε.

μδ΄. Ἑστιαίῳ τῷ ἀδελφῷ. Τί θαυμαστόν, εἴ με τῶν ἄλλων ἀνθρώπων ἰσόθεον ἡγουμένων, τινῶν δὲ καὶ θεόν, μόνη μέχρι νῦν ἡ πατρὶς ἀγνοεῖ, δι᾽ ἣν ἐξαιρέτως ἐσπούδασα λαμπρὸς εἶναι; τουτὶ γὰρ οὐδ᾽ ὑμῖν τοῖς ἀδελφοῖς, ὡς ὁρῶ, γέγονε φανερόν, ὥς εἰμι ἀμείνων πολλῶν λόγους τε καὶ ἦθος. ἐπεὶ πῶς ἄν μου κατεγινώσκετε χαλεπὴν κατάγνωσιν (ὡς) ὑπομνήσεως τὴν ἀρχὴν δεομένων, περὶ ὧν μόνων οὐδὲ τῶν ἀμαθεστάτων ἄν τις περιμείνειε διδαχθῆναι; λέγω δὲ πατρίδος τε καὶ ἀδελφῶν. καίτοι οὐ λέληθεν ὑμᾶς, ὡς καλῶς ἔχον ἐστὶ πᾶσάν τε γῆν πατρίδα νομίζειν καὶ πάντας ἀνθρώπους ἀδελφοὺς καὶ φίλους, ὡς ἂν γένος μὲν ὄντας θεοῦ, μιᾶς δὲ φύσεως, κοινωνίας δ᾽ οὔσης λόγου τε παντὶ καὶ πᾶσι (καὶ) παθῶν τῆς αὐτῆς, ὅπη γε καὶ ὅπως ἄν τις τύχῃ γενόμενος, εἴτε βάρβαρος, εἴτε καὶ Ἕλλην ἄλλως τε καὶ ἄνθρωπος. ἀλλ᾽ ἔστι γάρ πως τὸ συγγενὲς ἀκατασόφιστον καὶ πᾶν ἀνακλητικὸν αὐτοῦ τὸ οἰκεῖον. οὕτως ὁ Ὁμηρικὸς Ὀδυσσεύς, ὥς φασιν, 396
οὐδὲ ἀθανασίαν ὑπὸ θεᾶς διδομένην Ἰθάκης προυτίμησεν. ὁρῶ δ᾽ ἔγωγε τὸν νόμον τόνδε καὶ διὰ τῶν ἀλόγων ζῴων πεφοιτηκότα. οὐ γάρ, ὁπόσον πτηνόν, καλιῶν ἀπόκοιτον ἰδίων, πᾶν τε βύθιον παρα-

σύρεται μὲν ὑπὸ τοῦ φέροντος, ἐπάνεισι δὲ μὴ νικηθέν, θηρία μὲν γὰρ οὔτε λιμὸς οὔτε κόρος ἔπεισεν ἔξω φωλεῶν μεῖναι. ἕνα τούτων ἡ φύσις ἤνεγκεν ἄνθρωπον καὶ ταῦτα σοφὸν λεγόμενον, ᾧ κἂν πάντα τὰ λοιπὰ γῆ πᾶσα παρέχῃ, μνήματα οὐκ ἔχει δεῖξαι τὰ πατέρων.

με΄. τῷ αὐτῷ. Εἰ τῶν ὄντων τὸ τιμιώτατον φιλοσοφία, πεπιστεύμεθα δ' ἡμεῖς φιλοσοφεῖν, οὐκ ἂν ὀρθῶς ὑπολαμβανοίμεθα μισάδελφοι, καὶ ταῦτα δι' αἰτίαν ἀγεννῆ τε ἅμα καὶ ἀνελεύθερον. χρημάτων γὰρ δήπου χάριν ἡ ὑποψία, τούτων δὲ καὶ πρὶν ἢ φιλοσοφεῖν ἐπειρώμεθα καταφρονεῖν, ὥστε τοῦ μὴ γράφειν εὐλογώτερον ἂν εἴη πρόφασιν ἑτέραν ὑπονοεῖν. ἐφυλαττόμην γὰρ ἀληθῆ μὲν γράφων ἀλαζὼν δοκεῖν, ψευδῆ δὲ ταπεινός, ὧν ἑκάτερον ἐπίσης ἀνιαρὸν ἀδελφοῖς τε καὶ φίλοις ἂν εἴη· νυνὶ μέντοι καὶ τοῦτο δηλῶ — συγχωροίη γὰρ ἂν ἴσως τὸ δαιμόνιον — ὅτι συμβαλὼν τοῖς ἐν Ῥόδῳ φίλοις μετ' ὀλίγον ἐκεῖθεν ἐπάνειμι πρὸς ὑμᾶς λήγοντος ἔαρος.

μϛ΄. Γορδίῳ. Ἠδικῆσθαί φασιν Ἑστιαῖον ὑπὸ σοῦ καὶ ταῦτα φίλου γεγονότος, εἴ γε σύ τινος φίλος. ὅρα δή, Γόρδιε, μὴ πεῖραν λάβῃς ἀνδρὸς οὐ δοκοῦντος, ἀλλὰ ὄντος. ἄσπασαι τὸν υἱὸν Ἀριστοκλείδην, ὃν εὔχομαι μὴ παραπλησίον σοι γενέσθαι. καὶ σὺ δ' ἦσθα νέος ἄμεμπτος.

μζ΄. Τυανέων τῇ βουλῇ καὶ τῷ δήμῳ. Προστάττουσιν ὑμῖν ἐπανιέναι πείθομαι. τοῦτο γὰρ δὴ πρὸς ἕνα πόλει πρεπωδέστερον (ἂν) εἴη, εἰ ἕνεκα τιμῆς μεταπέμποιτο πολίτην ἑαυτῆς. καὶ ὃν ἀπεδήμησα δὲ χρόνον, ἀπεδήμησα περιποιῶν ὑμῖν, εἰ καὶ ἐπαχθὲς εἰπεῖν, εὔκλειάν τε καὶ ὄνομα καὶ εὔνοιαν καὶ φιλίαν πόλεων ἐπιφανῶν, ὁμοίως δὲ καὶ ἀνδρῶν.

51 εἰ δὲ καὶ μείζονος ἔτι καὶ κρείτονος ὑμεῖς ὑπολήψεως 397
ἄξιοι, τό γε ἐμὸν καὶ τὸ παρὰ τῆς ἐμῆς φύσεως ἐπὶ τοσοῦτον ἐξήρκει μόνον δυνάμεώς τε καὶ σπουδῆς. ἔρρωσθε.

μη΄. Διοτίμῳ. Ἐπλανήθης οἰηθεὶς δεῖσθαί μέ τινος ἢ παρ᾽ αὐτοῦ σοῦ, πρὸς ὃν οὐδὲν ἦν μοί ποτε κοινόν τι γεγονός, ἢ παρ᾽ ἄλλου τινὸς ὁμοίου τε καὶ ὁμοίως. ἦν δὲ οὐδὲ τὸ ἀναλωθὲν εἴς τι τῶν σοι σωτηρίων πολύ τι. χαριεῖ δή μοι παθὼν εὖ δίχ᾽ ἀναλώματος, τηρήσω γάρ μου τὸ ἔθος μόνως οὕτως. ὅτι δὲ τοῦτον ἔχω τὸν τρόπον καὶ ταύτην τὴν διάθεσιν πρὸς ἅπαντάς μου τοὺς πολίτας, ἐῶ γὰρ λέγειν ὡς καὶ πρὸς πάντας ἀνθρώπους, ἔξεστι μαθεῖν παρὰ τῶν ἄλλων πολιτῶν εὖ παθόντων μέν, ὁσάκις ἐδεήθησάν τινος, ἀμοιβὴν δὲ αἰτηθέντων μηδεμίαν. μὴ δὴ δυσχεράνῃς, εἰ δεόντως ἐπιτιμηθεὶς ὁ ἐμὸς (οἰκέτης) ὑπὲρ τοῦ προσέσθαι τι τὴν ἀρχὴν ἀπέδωκεν εὐθὺς ὃ ἔλαβε Λυσίᾳ τῷ φίλῳ σου, φίλῳ δὲ καὶ ἐμοῦ, ἐπεὶ μηδένα ἠπίστατο τῶν καταλελειμμένων σου παίδων. εἰ δὲ δύο λόγοι περὶ ἐμοῦ λέγονται, λεχθήσονται δὲ καὶ ἐσύστερον, τί θαυμαστόν; ἀνάγκη γὰρ περὶ παντὸς ἄκρου δοκοῦντος καθ᾽ ὁτιοῦν ἐναντίους λέγεσθαι λόγους. οὕτως περὶ Πυθαγόρου περὶ Ὀρφέως περὶ Πλάτωνος περὶ Σωκράτους οὐκ ἐλέχθη μόνον, ἀλλὰ καὶ ἐγράφη τὰ ἐναντία, ὅπου γε μὴ τὰ ὅμοια καὶ περὶ αὐτοῦ τοῦ θεοῦ. ἀλλ᾽ οἱ μὲν ἀγαθοὶ δέχονται τὸν ἀληθῆ λόγον, ὥς ἂν ἔχοντές τι συγγενές, οἱ δὲ φαῦλοι τὸν ἐναντίον, καὶ ἔστι τοῦ τοιούτου γένους καταγελᾶν, λέγω δὲ τοῦ χείρονος. τοσοῦτο μόνον δίκαιον ὑπομνῆσαι περὶ ἐμαυτοῦ τὸ νῦν, ὅτι περὶ ἐμοῦ καὶ θεοῖς εἴρηται ὡς περὶ θείου ἀνδρὸς οὐ μόνον ἰδίᾳ τισὶ πολλάκις, ἀλλὰ καὶ δη-

μοσίᾳ. ἐπαχθὲς λέγειν τι περὶ αὐτοῦ πλεῖον ἢ μεῖζον. ὑγιαίνειν εὔχομαι.

398 μθ'. Φερουκιανῷ. Πάνυ τοῖς πεμφθεῖσιν ὑπὸ σοῦ γράμμασιν ἥσθην, πολλὴν γὰρ οἰκειότητα καὶ γένους ἀνάμνησιν εἶχε, καὶ πέπεισμαι δι' ἐπιθυμίας εἶναί σοι θεάσασθαί με καὶ ὑπ' ἐμοῦ θεαθῆναι. αὐτὸς οὖν ἀφίξομαι πρὸς ὑμᾶς ὅτι τάχιστα, ὅθεν ἔχου τῶν αὐτόθι. συμμίξεις δέ μοι πλησίον γενομένῳ πρὸ τῶν ἄλλων οἰκείων τε καὶ φίλων, ἐπεὶ καὶ προσήκει σοι τοῦτο.

ν'. Εὐφράτῃ. Ἐν γένει δαιμόνων καὶ ὁ σοφώτατος Πυθαγόρας ἦν. σὺ δ' ἔτι μοι δοκεῖς πορρωτάτω φιλοσοφίας εἶναι καὶ ἀληθινῆς ἐπιστήμης, ἢ οὐκ ἂν οὔτε κἀκεῖνον κακῶς ἔλεγες, οὔτε τινὰς τῶν ζηλούντων αὐτὸν διετέλεις μισῶν. ἄλλο τί σοι νῦν πρακτέον ἂν εἴη· φιλοσοφίας γὰρ ἥμβροτες, οὐδ' ἔτυχες (οὐ) μᾶλλον ἢ Μενελάου Πάνδαρος ἐν τῇ τῶν ὅρκων συγχύσει.

να'. τῷ αὐτῷ. Ἐπιτιμῶσί σοί τινες, ὡς εἰληφότι χρήματα παρὰ τοῦ βασιλέως, ὅπερ οὐκ ἄτοπον, εἰ μὴ φαίνοιο φιλοσοφίας εἰληφέναι μισθὸν καὶ τοσαυτάκις καὶ ἐπὶ τοσοῦτον καὶ παρὰ τοσούτων καὶ περὶ σοῦ πεπιστευκότων εἶναί σε φιλόσοφον.

νβ'. τῷ αὐτῷ. Ἐάν τις ἀνδρὶ Πυθαγορείῳ συγγένηται, τίνα παρ' αὐτοῦ λήψεται καὶ ὁπόσα, φαίην ἂν ἔγωγε· νομοθετικὴν γεωμετρίαν ἀστρονομίαν ἀριθμητικὴν ἁρμονικὴν μουσικὴν ἰατρικήν, πᾶσαν θείαν μαντικήν, τὰ δὲ καλλίω μεγαλοφροσύνην μεγαλοψυχίαν μεγαλοπρέπειαν εὐστάθειαν εὐφημίαν γνῶσιν θεῶν, οὐ δόξαν, εἴδησιν δαιμόνων, οὐχὶ πίστιν, φιλίαν ἑκατέρων, αὐτάρκειαν ἐκτένειαν λιτότητα
399 βραχύτητα τῶν ἀναγκαίων εὐαισθησίαν εὐκινησίαν

εὔπνοιαν εὔχροιαν ὑγείαν εὐψυχίαν ἀθανασίαν. παρὰ σοῦ δέ, Εὐφρᾶτα, τί λαβόντες ἔχουσιν οἱ συνόντες; ἢ δηλονότι τὴν ἀρετήν, ἣν ἔχεις;

52 νγ΄. Κλαύδιος Τυανέων τῇ βουλῇ. Ἀπολλώνιον τὸν ὑμέτερον πολίτην Πυθαγόρειον φιλόσοφον καλῶς ἐπιδημήσαντα τῇ Ἑλλάδι καὶ τοὺς νέους ἡμῶν ὠφελήσαντα τιμήσαντες ἀξίαις τιμαῖς, αἷς πρέπει τοὺς ἀγαθοὺς ἄνδρας καὶ ἀληθῶς προϊσταμένους φιλοσοφίας, τὴν εὔνοιαν ἡμῶν ἠθελήσαμεν ὑμῖν δι' ἐπιστολῆς φανερὰν γενέσθαι. ἔρρωσθε.

νδ΄. Ἀπολλώνιος δικαιωταῖς Ῥωμαίων. Λιμένων καὶ οἰκοδομημάτων καὶ περιβόλων καὶ περιπάτων ἐνίοις ὑμῶν πρόνοια, παίδων δὲ τῶν ἐν ταῖς πόλεσιν ἢ νέων ἢ γυναικῶν οὔθ' ὑμῖν οὔτε τοῖς νόμοις φροντίς. ἦ καλὸν ἂν εἴη τὸ ἄρχεσθαι;

νε΄. τῷ ἀδελφῷ Ἀπολλώνιος. Φύσιν ἔχει τῶν τελειωθέντων ἕκαστον ἀπιέναι καὶ τοῦτο παντὶ γῆράς ἐστι, μεθ' ὃ μηκέτι μένει. μὴ δὴ σε λυπείτω τῆς γυναικὸς ἡ ἐν ἀκμῇ τῆς ἡλικίας ἀποβολή, μηδέ, ἐπεὶ θάνατός τι λέγεται, κρεῖττον αὐτοῦ τὸ ζῆν ὑπολάμβανε χεῖρον ὂν τῷ παντὶ τοῖς νοῦν ἔχουσι. γενοῦ δὴ ἀδελφὸς τὸ μὲν κοινότατον φιλοσόφου, τὸ δ' ἐξαίρετον Πυθαγορείου καὶ Ἀπολλωνίου, καί σου τὴν οἰκίαν τὴν αὐτὴν ποίησον. εἰ μὲν γὰρ ἐνεκαλοῦμέν τι τῇ προτέρᾳ, κἂν εἰκότως ἐδοκοῦμεν ἀποδειλιᾶν, εἰ δ' ἡ μὲν σεμνή τε διετέλεσεν οὖσα καὶ φίλανδρος καὶ διὰ τοῦτο ἐπιζητήσεως ἀξία, τί καὶ διανοηθέντες οὐκ ἂν ὅμοια καὶ περὶ τῆς μελλούσης προσδοκοίημεν; ἣν εἰκὸς ἂν ἐθελῆσαι καὶ ἀμείνονα γενέσθαι μηδαμοῦ τῆς προτέρας ἀμελείᾳ κακωθείσης.
δυσωπείτω δέ σε καὶ τὰ τῶν ἀδελφῶν οὕτω μέχρι 400
νῦν ἔχοντα· τῷ πρεσβυτάτῳ μὲν γὰρ (σοὶ) οὐδὲ γόνος

οὐδέπω, τῷ νεωτάτῳ δὲ ἐλπὶς μὲν ἔτι παιδοποιίας, ἐν προκοπῇ δέ γε τοῦ χρόνου, καὶ ἡμεῖς μὲν ἑνὶ τρεῖς γεγόναμεν, τρισὶ δ' ἡμῖν οὐδὲ εἷς. ἴσος δὲ καὶ ὁ κίνδυνος τῇ πατρίδι καὶ τῷ βίῳ τῷ μεθ' ἡμᾶς. εἰ γὰρ ἡμεῖς ἀμείνους τοῦ πατρός — ἄλλως δέ, καθ' ὃ πατήρ, χείρους — πῶς οὐκ ἂν βελτίους ἐξ ἡμῶν εἰκὸς ἂν ὑπάρξαι; γενέσθωσαν οὖν τινες, οἷς παραθησόμεθα γοῦν ὀνόματα, ὡς ἡμῶν οἱ πρόγονοι συνύφηναν. ὑπὸ δακρύων οὐχ οἷός τε ἐγενόμην πλείονα γράψαι, καὶ οὐδὲ εἶχον ἀναγκαιότερα τούτων.

νϛ'. Σαρδιανοῖς. Κροῖσος ἀπέβαλε τὴν Λυδῶν ἀρχὴν Ἅλυν διαβάς, ἐλήφθη ζῶν, ἐδέθη πέδαις, ἐπὶ πυρὰν ἀνεβιβάσθη, τὸ πῦρ εἶδεν ἡμμένον αἰρόμενον εἰς ὕψος· ἔζησεν, ἐδόκει γὰρ τῷ θεῷ τετιμημένος. τί οὖν ὕστερον; οὗτος ὁ πρόγονος ὑμῶν ἅμα καὶ βασιλεὺς ὁ τοσαῦτα παθὼν παρὰ τὴν ἀξίαν τραπέζης ἐκοινώνησε τῷ πολεμίῳ, σύμβουλος ἦν εὔνους, πιστὸς φίλος. ὑμῖν δὲ ἄσπονδα καὶ ἀκήρυκτα καὶ ἀμείλικτα ἔτι τε ἀνίερα καὶ ἄθεα τὰ πρὸς γονεῖς πρὸς τέκνα, τὰ πρὸς φίλους συγγενεῖς φυλέτας. ἐχθροὶ γεγόνατε μήτε Ἅλυν διαβάντες, μήτε δεξάμενοί τινα ἄνθρωπον ἔξωθεν, καὶ ἡ γῆ φέρει καρπὸν ὑμῖν. ἄδικος ἡ γῆ.

νζ'. συγγραφεῦσι λογίοις. Φῶς παρουσία πυρός, ἣ οὐκ ἂν ἄλλως γένοιτο. πῦρ μὲν οὖν αὐτὸ τὸ πάθος, καὶ ᾧ γίνεται, καίεται γοῦν, φῶς δὲ ταῖς ὄψεσι μόνον αὐγὴν ἑαυτοῦ παρέχεται μὴ βιαζόμενον αὐτάς, ἀλλὰ πεῖθον. τοίνυν καὶ λόγος ὁ μὲν ὥσπερ πῦρ καὶ πάθος, ὁ δὲ ὥσπερ αὐγὴ καὶ φῶς ἐστιν· ὃ κρεῖττον ὄν, εἰ μὴ μεῖζον εὐχῆς τὸ ῥηθησόμενον, εἴη μοι.

401 νη'. Οὐαλερίῳ. Θάνατος οὐδεὶς οὐδενὸς ἢ

μόνον ἐμφάσει, καθάπερ οὐδὲ γένεσις οὐδενὸς ἢ μό-
νον ἐμφάσει. τὸ μὲν γὰρ ἐξ οὐσίας τραπὲν εἰς φύ-
σιν ἔδοξε γένεσις, τὸ δὲ ἐκ φύσεως εἰς οὐσίαν κατὰ
ταὐτὰ θάνατος οὔτε γιγνομένου κατ' ἀλήθειάν τινος,
οὔτε φθειρομένου ποτέ, μόνον δὲ ἐμφανοῦς ὄντος
ἀοράτου τε ὕστερον τοῦ μὲν διὰ παχύτητα τῆς ὕλης,
τοῦ δὲ διὰ λεπτότητα τῆς οὐσίας, οὔσης μὲν αἰεὶ
τῆς αὐτῆς, κινήσει δὲ διαφερούσης καὶ στάσει. τοῦτο
53 γάρ που τὸ ἴδιον ἀνάγκη τῆς μεταβολῆς οὐκ ἔξωθεν
γινομένης ποθέν, ἀλλὰ τοῦ μὲν ὅλου μεταβάλλοντος
εἰς τὰ μέρη, τῶν μερῶν δὲ εἰς τὸ ὅλον τρεπομένων
ἑνότητι τοῦ παντός. εἰ δὲ ἐρήσεταί τις· τί τοῦτό
ἐστι τὸ ποτὲ μὲν ὁρατόν, ποτὲ δὲ ἀόρατον, ἢ τοῖς
αὐτοῖς γινόμενον ἢ ἄλλοις; φαίη τις ἄν, ὡς ἔθος
ἑκάστου ἐστὶ τῶν ἐνθάδε γενῶν, ὃ πληρωθὲν μὲν
ἐφάνη διὰ τὴν τῆς παχύτητος ἀντιτυπίαν, ἀόρατον
δέ ἐστιν, εἰ κενωθείη διὰ λεπτότητα τῆς ὕλης βίᾳ
περιχυθείσης ἐκρυείσης τε τοῦ περιέχοντος αὐτὴν
αἰωνίου μέτρου, γεννητοῦ δ' οὐδαμῶς, οὐδὲ φθαρ-
τοῦ. τί δὲ καὶ τὸ τῆς πλάνης ἐπὶ τοσοῦτον ἀνέ-
λεγκτον; οἴονται γάρ τινες, ὃ πεπόνθασιν, αὐτοὶ
τοῦτο πεποιηκέναι, μὴ εἰδότες, ὡς ὁ γεννηθεὶς διὰ
γονέων γεγέννηται, οὐχ ὑπὸ γονέων, καθάπερ τὸ 402
διὰ γῆς φυὲν οὐκ ἐκ γῆς φύεται, πάθος τε οὐδὲν
τῶν φαινομένων περὶ ἕκαστον, ἀλλὰ μᾶλλον περὶ ἓν
ἑκάστου. τοῦτο δὲ τί ἂν ἄλλο τις εἰπὼν ἢ τὴν πρώ-
την οὐσίαν ὀρθῶς ἂν ὀνομάσειεν; ἣ δὴ μόνη ποιεῖ
τε καὶ πάσχει πᾶσι γινομένη πάντα διὰ πάντων
θεὸς ἀίδιος, ὀνόμασι καὶ προσώποις ἀφαιρουμένη
τὸ ἴδιον ἀδικουμένη τε. καὶ τοῦτο μὲν ἔλαττον. τὸ
δὲ (μεῖζον)· κλαίεταί τις, ὅταν θεὸς ἐξ ἀνθρώπου γέ-
νηται τόπου μεταβάσει καὶ οὐχὶ φύσεως. ὡς δὲ ἔχει

τὸ ἀληθές, οὐ πενθητέον σοι θάνατον, ἀλλὰ τιμητέον καὶ σεβαστέον. τιμὴ δὲ ἡ ἀρίστη τε καὶ πρέπουσα, εἰ ἀφεὶς θεῷ τὸν ἐκεῖ γενόμενον ἀνθρώπων τῶν πεπιστευμένων τὰ νῦν ἄρχοις, ᾗ πρότερον ἦρχες. αἰσχρόν, εἰ χρόνῳ μὴ λογισμῷ γένοιο βελτίων, εἰ χρόνος καὶ τοὺς κακοὺς λύπης ἔπαυσε. μέγιστον ἀρχὴ ἱκανή, καὶ μεγίστων ἄρχων ἄριστος, ὃς ἂν αὑτοῦ πρότερον ἄρχῃ. ποῦ δὲ καὶ ὅσιον ἀπεύχεσθαι τὸ βουλήσει θεοῦ γενόμενον; εἰ τάξις ἐστὶ τῶν ὄντων, ἔστι δέ, καὶ θεὸς ἐπιστατεῖ ταύτης, ὁ δίκαιος οὐ βουλήσεται (ἀπεύχεσθαι) τὰ ἀγαθά, πλεονεκτικὸν γὰρ καὶ παρὰ τάξιν τὸ τοιοῦτον, ἡγήσεται δὲ τὰ γινόμενα συμφέρειν. πρόελθε καὶ θεράπευσαι, δίκασον καὶ παρηγόρησον τοὺς ἀθλίους, τῶν δὲ δακρύων οὕτως ἀποτρέψεις. οὐ τὰ ἴδια τῶν κοινῶν, ἀλλὰ τὰ κοινὰ τῶν ἰδίων προτιμητέον. οἷον δέ σοι καὶ τὸ τῆς παραμυθίας εἶδος· σὺν ὅλῳ τὸν υἱὸν ἔθνει πεπένθηκας.
403 θηκας. ἄμειψαι τοὺς μετὰ σοῦ λελυπημένους, ἀμείψῃ δέ, ἐὰν λυπούμενος παύσῃ, τάχιον (ἢ) ἐὰν μὴ προέλθῃς. φίλους οὐκ ἔχεις; υἱὸν δὲ ἔχεις. καὶ νῦν τὸν τεθνηκότα; φήσει τις τῶν νοῦν ἐχόντων. τὸ γὰρ ὂν οὐκ ἀπόλλυται, διὰ τοῦτο ὄν, ὅτι ἔσται διὰ παντός, ἢ καὶ τὸ μὴ ὂν γίνεται, πῶς δ' ἂν γένοιτο μὴ ἀπολλυμένου τοῦ ὄντος; εἴποι ἂν ἕτερός τις, ὡς ἀσεβεῖς τε καὶ ἀδικεῖς. ἀσεβεῖς μὲν τὸν θεόν, ἀδικεῖς δὲ τὸν υἱόν, μᾶλλον δὲ κἀκεῖνον ἀσεβεῖς· βούλει δὲ μαθεῖν οἷόν ἐστι θάνατος; ἄνελέ με πέμψας μετὰ ταύτην τὴν φωνήν, ἣν ἐὰν μὴ μεταμφιέσῃ, παραχρῆμα κρείττονά με σεαυτοῦ πεποίηκας. ἔχεις χρόνον, ἔχεις γυναῖκα ἔμφρονα φίλανδρον, ὁλόκληρος εἶ, παρὰ σεαυτοῦ λαβὲ τὸ λεῖπον. Ῥωμαῖός τις τῶν πάλαι γεγονότων, ἵνα σώσῃ τὸν τῆς ἀρχῆς νόμον τε

καὶ κόσμον, υἱὸν ἴδιον ἀπέκτεινε καὶ στεφανώσας ἀπέκτεινε. πόλεων ἄρχεις πεντακοσίων Ῥωμαίων ὁ εὐγενέστατος. ταῦτα σαυτὸν διατίθῃς, ἐξ ὧν οὐδ' οἰκίας τις εὐσταθῶς ἄρξει, μήτι γε πόλεών τε καὶ ἐθνῶν. Ἀπολλώνιος εἰ παρῆν, Φαβοῦλλαν ἂν μὴ πενθεῖν ἔπεισεν.

νθʹ. Βασιλεὺς Βαβυλωνίων Γάρμος Νεογύνδῃ Ἰνδῶν βασιλεῖ. Εἰ μὴ περίεργος ἦς, οὐκ ἂν ἦς ἐν τοῖς ἀλλοτρίοις πράγμασι δίκαιος, οὐδὲ ἂν ἄρχων ἐν Ἰνδοῖς ἐδίκαζες Βαβυλωνίοις. πόθεν γάρ σοι γνώριμος ἦν ὁ ἡμέτερος δῆμος; νῦν δὲ ἐπείρασας ἀρχὴν τὴν ἐμὴν ὑποκοριζόμενος ἐπιστολαῖς καὶ τοιαύτας ἀρχὰς καθιεὶς καὶ πρόσχημα ποιούμε- 404
νος τῆς πλεονεξίας τὴν φιλανθρωπίαν. περανεῖς δὲ οὐδέν, οὔτε γὰρ λαθεῖν (ἂν) δύναιο.

ξʹ. Εὐφράτῃ. Ἦν Πραξιτέλης Χαλκιδεὺς μαινόμενος ἄνθρωπος. οὗτος ὤφθη παρὰ ταῖς θύραις ταῖς ἐμαῖς ξίφος ἔχων ἐν Κορίνθῳ μετὰ σοῦ γνωρίμου. τίς οὖν ἡ τῆς ἐπιβουλῆς αἰτία; οὐ γὰρ πώποτε σὰς βοῦς ἤλασα,

54 ἐπειὴ μάλα πολλὰ μεταξὺ
οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα

τῆς τε ἐμῆς φιλοσοφίας καὶ τῆς σῆς.

ξαʹ. Λεσβώνακτι. Ἀνάχαρσις ὁ Σκύθης ἦν σοφός, εἰ δὲ Σκύθης, ὅτι καὶ Σκύθης.

ξβʹ. Λακεδαιμόνιοι Ἀπολλωνίῳ. Τᾶν δεδομενᾶν τιμᾶν σοι ἀπεστάλκαμεν τόδε ἀντίγραφον σαμανάμενοι τᾷ δαμοσίᾳ σφραγῖδι, ἵνα ἴδῃς·

Ψήφισμα Λακεδαιμονίων, καθὼς οἱ γέροντες ἐπέκριναν Τυνδάρεω εἰσηγησαμένω· ταῖν ἀρχαῖν ἔδοξε τέλεσί τε καὶ τῷ δήμῳ Ἀπολλώνιον Πυθαγόρειον ἦμεν πολίταν ἔχειν τε καὶ γᾶς καὶ οἴκων

ἔγκτασιν. ἑστάκαμεν δὲ καὶ ἐπίσαμον εἰκόνα γραπτὰν καὶ χαλκᾶν ἀρετῆς χάριν. ὧδε γὰρ οἱ πατέρες ἁμῶν ἐτίμων ἄνδρας ἀγαθούς. ἐνόμιζον γὰρ ἦμεν Λυκούργῳ παῖδας, ὅσοι σύμφωνον θεοῖς τὸν βίον αἱρέοντο.

ξγ΄. Ἀπολλώνιος ἐφόροις καὶ Λακεδαιμονίοις. Ἄνδρας ὑμῶν ἐθεασάμην ὑπήνην μὴ ἔχοντας, τοὺς μηροὺς καὶ τὰ σκέλη λείους τε καὶ λευκούς, μαλακὰς χλανίδας ἠμφιεσμένους (καὶ) λεπτάς, δακτυλίους πολλοὺς καὶ καλοὺς περικειμένους, ὑποδεδεμένους ὑπόδημα τὸ Ἰωνικόν. οὐκ ἐπέγνων οὖν τοὺς λεγομένους πρέσβεις, ἡ δὲ ἐπιστολὴ Λακεδαιμονίους ἔφασκεν.

ξδ΄. τοῖς αὐτοῖς. Καλεῖτέ με πολλάκις βοηθὸν ὑμῖν τῶν νόμων καὶ τῶν νέων ἐσόμενον. ἡ Σόλωνος δὲ πόλις οὐ καλεῖ με. Λυκοῦργον αἰδεῖσθε.

405 ξε΄. Ἐφεσίων τοῖς ἐν Ἀρτέμιδι. Ἔθος ὑμῖν ἅπαν ἁγιστείας, ἔθος δὲ βασιλικῆς τιμῆς. τἄλλ' ὑμεῖς ἑστιάτορες μὲν καὶ δαιτυμόνες οὐ μεμπτοί, μεμπτοὶ δὲ σύνοικοι τῇ θεῷ νύκτας τε καὶ ἡμέρας, ἢ οὐκ ἂν ὁ κλέπτης τε καὶ λῃστὴς καὶ ἀνδραποδιστὴς καὶ πᾶς, εἴ τις ἄδικος ἢ ἱερόσυλος, ἦν ὁρμώμενος αὐτόθεν· τὸ γὰρ (ἱερὸν) τῶν ἀποστερούντων μυχός ἐστιν.

ξϛ΄. τοῖς αὐτοῖς. Ἦλθεν ἐκ τῆς Ἑλλάδος ἀνὴρ Ἕλλην τὴν φύσιν, οὐκ Ἀθηναῖος, οὐδὲ Μεγαρεύς γε, λῷον δ' ὄνομα παροικήσων ὑμῶν τῇ θεῷ. δότε μοι τόπον, ἔνθα μὴ καθαρσίων δεήσει μοι καίπερ ἔνδον ἀεὶ μένοντι.

ξζ΄. τοῖς αὐτοῖς. Ἀνεῖται θύουσι τὸ ἱερὸν εὐχομένοις ὑμνοῦσιν ἱκέταις Ἕλλησι βαρβάροις ἐλευθέροις δούλοις. ὑπερφυῶς θεῖος ὁ νόμος. ἐπιγι-

νώσκω τὰ σύμβολα τὰ Διός τε καὶ Λητοῦς, ἐὰν ᾖ μόνα ταῦτα.

ξη΄. *Μιλησίοις. Σεισμὸς ὑμῶν τὴν γῆν ἔσεισεν, καὶ γὰρ ἄλλων πολλῶν πολλάκις. ἀλλ' ἔπασχον μὲν ἃ ἠτύχουν ἐξ ἀνάγκης, ἐλεοῦντες δέ, οὐ μισοῦντες ἀλλήλους ἐφαίνοντο. μόνοι δὲ ὑμεῖς καὶ θεοῖς ὅπλα καὶ πῦρ ἐπηνέγκατε καὶ θεοῖς τοιούτοις, ὧν καὶ οἱ ἑτέρωθεν δέονται καὶ μετὰ κινδύνους καὶ πρὸ κινδύνων. ἀλλὰ καὶ φιλόσοφον ἄνδρα πρόκριτον ὑμεῖς Ἑλλήνων* [*δύο*] *δημοσίᾳ τὸ πάθημα φήναντα πολλάκις καὶ προαγορεύσαντα γενομένους τοὺς σεισμούς, αὐτόν, ὅτε ἔσεισεν ὁ θεός, ποιεῖν ἐλέγετε καθ' ἑκάστην ἡμέραν. ὢ τῆς δημοσίας ἀμαθίας. καὶ* 406 *πατὴρ ὑμῶν λέγεται Θαλῆς.*

ξθ΄. *Τραλλιανοῖς. Πολλοὶ πολλαχόθεν ἄλλοι* 55 *κατ' ἄλλας αἰτίας νεώτεροί τε καὶ πρεσβύτεροι φοιτῶσι παρ' ἐμέ. τὰς φύσεις οὖν ἑνὸς ἑκάστου σκέπτομαι καὶ τοὺς τρόπους, ὡς ἔνι μάλιστα συνετώτατα, τό τε πρὸς τὴν ἑαυτοῦ πόλιν ἑκάστου δίκαιον ἦθος ἢ τοὐναντίον. εἰς τήνδε τὴν ἡμέραν οὐκ ἂν ἔχοιμι προκρῖναι Τραλλιανῶν ὑμῶν οὐ Λυδούς, οὐκ Ἀχαιούς, οὐκ Ἴωνας, ἀλλ' οὐδὲ τοὺς τῆς ἀρχαίας Ἑλλάδος Θουρίους Κροτωνιάτας Ταραντίνους, ἤ τινας ἄλλους τῶν ἐκεῖ λεγομένων εὐδαιμόνων Ἰταλιωτῶν ἢ ἑτέρων τινῶν. τίς οὖν ἡ αἰτία, δι' ἣν ἀποδέχομαι μὲν ὑμᾶς, οὐ γίνομαι δὲ τοιούτοις ἀνδράσι σύνοικος, καίπερ ὢν γένος ὑμέτερον; ἄλλοτέ ποτ' ἂν εἴποιμι. νῦν δὲ μόνον ὑμᾶς ἐπαινεῖν καιρὸς ἄνδρας τε τοὺς ἡγουμένους ὑμῶν, ὡς πολὺ κρείττους τῶν παρ' ἑτέροις ἀρετῇ καὶ λόγῳ, καὶ μᾶλλον* (*τῶν*) *παρ' οἷς γεγένηνται.*

ο΄. *Σαΐταις. Ἀθηναίων ἀπόγονοί ἐστε, καθ-*

ἅπερ ἐν Τιμαίῳ Πλάτων φησίν, οἱ δὲ τὴν κοινὴν ὑμῶν θεὸν ἐξορίζουσι τῆς Ἀττικῆς Νηΐθ μὲν τὴν ὑφ' ὑμῶν, Ἀθηνᾶν δὲ τὴν ὑπ' αὐτῶν ὀνομαζομένην οὐ μένοντες Ἕλληνες. ὅπως δ' οὐ μένοντες, ἐγὼ φράσω· γέρων σοφὸς οὐδεὶς Ἀθηναῖος, οὐ γὰρ ἔφυ
407 γένυς πᾶσα παντός, ὅτι μηδεμία μηδενός. ὁ κόλαξ παρὰ ταῖς πύλαις, ὁ συκοφάντης πρὸ τῶν πυλῶν, ὁ μαστροπὸς καὶ πρὸ τῶν μακρῶν τειχῶν, ὁ παράσιτος πρὸ τῆς Μουνυχίας καὶ πρὸ τοῦ Πειραιῶς, ἡ θεὸς δὲ οὐδὲ Σούνιον ἔχει.

οα'. Ἴωσιν. Ἕλληνες οἴεσθε δεῖν ὀνομάζεσθαι διὰ τὰ γένη καὶ τὴν ἔμπροσθεν ἀποικίαν, Ἕλλησι δ' ὥσπερ ἔθη καὶ νόμοι καὶ γλῶττα καὶ βίος ἴδιος, οὕτω καὶ σχῆμα καὶ εἶδος ἀνθρώπων. ἀλλ' ὑμῶν γε οὐδὲ τὰ ὀνόματα μένει τοῖς πολλοῖς, ἀλλ' ὑπὸ τῆς νέας ταύτης εὐδαιμονίας ἀπολωλέκατε τὰ τῶν προγόνων σύμβολα. καλῶς οὐδὲ τοῖς τάφοις ἐκεῖνοι δέχοιντ' ἂν ἅτε ἀγνῶτας αὐτοῖς γενομένους, εἴ γε πρότερον ἡρώων ἦν ὀνόματα καὶ ναυμάχων καὶ νομοθετῶν, νυνὶ δὲ Λουκούλλων τε καὶ Φαβρικίων καὶ Λευκανίων τῶν μακαρίων. ἐμοὶ μὲν εἴη μᾶλλον ὄνομα Μίμνερμος.

οβ'. Ἑστιαίῳ. Ὁ πατὴρ ἡμῶν Ἀπολλώνιος ἦν τρὶς τοῦ Μηνοδότου, σὺ δὲ ἅπαξ ἐθέλεις ὀνομάζεσθαι Λουκρίτιος ἢ Λουπερκός. τίνος σὺ τούτων ἀπόγονος; αἰσχρόν, εἰ ὄνομα μὲν ἔχοις τινός, τὸ δὲ εἶδος αὐτοῦ μὴ ἔχοις.

ογ'. τῷ αὐτῷ. Πατρίδος ἐσμὲν πορρωτέρω σὺν δαίμονι, ἤδη δὲ τὰ τῆς πόλεως πράγματα ἐν νῷ ἐβαλόμαν. ὁδεύει μοῖρα πρὸς τέλος ἀνδρῶν, οἱ τὰν πρώταν λελόγχασι τιμάν. ἄρξει δὲ τὸ λοιπὸν παιδάρια καὶ μικρὸν ἐπάνω τούτων μείρακες. ἐν–

ταῦθά που δέος, μὴ σφαλῇ τὰ ὑπὸ νέων κυβερνώμενα. σοὶ δ' οὐ δέος, ἐπεὶ βεβιώκαμεν.

οδ'. τοῖς Στωικοῖς. Ὥρα καὶ λιμὸς ἦν Βάσσῳ 408
καίπερ ὄντων τῷ πατρὶ συχνῶν χρημάτων. πρῶτον μὲν οὖν ἔφυγε Μεγαράδε σὺν ἑνὶ τῶν λεγομένων ἐραστῶν, ἅμα δὲ καὶ μαστροπῶν — τροφῆς γὰρ ἀμφοτέροις ἔδει καὶ ἐφοδίων — ἔπειτα ἐκεῖθεν εἰς Συρίαν. ὑπεδέχετο δὲ τὸν ὡραῖον Εὐφράτης, καὶ εἴ τις ὁμοίως ἐδεῖτο τοῦ τότε καλοῦ, ὥστε ἂν αἱρεῖσθαί τι τῶν ἀτόπων δι' εὔνοιαν.

οε'. τοῖς ἐν Σάρδεσιν. Ὁ παῖς Ἀλυάττεω σῶσαι τὴν ἑαυτοῦ πόλιν ἀδύνατος ἐγένετο καὶ ἀμήχανος καίπερ ὢν βασιλεύς τε καὶ Κροῖσος, ὑμεῖς δὲ ποίῳ πεποιθότες ἄρα λέοντι πόλεμον ἄσπονδον ἤρασθε παῖδες νέοι πάντες ἄνδρες γέροντες, ἀλλὰ καὶ παρθένοι καὶ γυναῖκες; Ἐρινύων νομίσαι ἄν τις τὴν πόλιν εἶναι, καὶ οὐχὶ Δήμητρος. ἡ δὲ θεὰ φιλάνθρωπος· ὑμῖν δὲ τίς οὗτος ὁ χόλος;

ος'. τοῖς αὐτοῖς. Εἰκὸς εἰς πόλιν ἀρχαίαν τε
56 καὶ μεγάλην ἐθελῆσαι φιλόσοφον ἀρχαῖον παραγενέσθαι, καὶ παρεγενόμην ἂν αὐτὸς ἑκὼν κληθῆναι μὴ περιμείνας, ὡς ὑφ' ἑτέρων πολλῶν, εἰ ποιήσειν μίαν ὑμῶν τὴν πόλιν ἔμελλον ἤθει καὶ φύσει καὶ νόμῳ καὶ θεῷ. καὶ τὸ ὅσον ἐπ' ἐμοὶ πάντως ἂν ἐποίησα, στάσις δέ, ὡς ἔφη τις, πολέμου χαλεπώτερον.

οζ'. Φοιτηταῖς. Διὰ φιλοσοφίαν εἴρηται τῶν εἰρημένων ἕκαστον, οὐ δι' Εὐφράτην. μὴ τὸ Πραξιτέλους ξίφος ἢ τὸ Λυσίου φάρμακον πεφοβῆσθαί μέ τις δόξῃ. καὶ τοῦτο γάρ ἐστιν Εὐφράτου.

οη'. Ἰάρχᾳ καὶ τοῖς περὶ αὐτὸν σοφοῖς. — οὐ μὰ τὸ Ταντάλιον ὕδωρ, οὔ με ἐμυήσατε.

409 οθʹ. *Εὐφράτῃ.* *Οὐκ ἐπιλογιζομένη ἡ ψυχὴ τὸ τοῦ σώματος αὔταρκες οὐ δύναται ἑαυτὴν αὐτάρκη ποιῆσαι.* (X, 64.)

πʹ. *τῷ αὐτῷ.* *Οἱ κράτιστοι τῶν ἀνθρώπων βραχυλογώτατοι. οἱ οὖν ἀδολέσχαι εἰ ἠνιῶντο, ὡς ἀνιῶσι, οὐκ ἂν ἐμακρηγόρουν.* (XXXVI, 29.)

παʹ. *τοῖς γνωρίμοις.* *Σιμωνίδης ἔλεγε μηδέποτε αὐτῷ μεταμελῆσαι σιγήσαντι, φθεγξαμένῳ δὲ πολλάκις.* (XXXIII, 12.)

πβʹ. *τοῖς αὐτοῖς.* *Πολυλογία πολλὰ σφάλματα ἔχει, τὸ δὲ σιγᾶν ἀσφαλές.* (XXXVI, 28.)

πγʹ. *Δηλίῳ.* *Ψεύδεσθαι ἀνελεύθερον, ἀλήθεια γενναῖον.* (XI, 20.)

πδʹ. *τοῖς γνωρίμοις.* *Μηδέν με δόξητε ῥᾳδίως ἄλλοις παραινεῖν, αὐτὸς γὰρ ἐπὶ τῆς μάζης καὶ τῆς ἄλλης τῆς ἀκολούθου ταύτῃ διαίτης ὢν τοιαῦτα ὑμῖν παρεγγυῶ.* (XVII, 15.)

πεʹ. *Εἰδομένῃ.* *Ἐζηλώσαμεν τὴν αὐτάρκειαν, οὐχ ὅπως τοῖς εὐτελέσι καὶ λιτοῖς πάντως χρώμεθα, ἀλλ' ὅπως θαρρῶμεν πρὸς αὐτά.* (XVII, 14.)

πϛʹ. *Μακεδόνι.* *Τῆς ὀξυθυμίας τὸ ἄνθος μανία.* (XX, 49.)

πζʹ. *Ἀριστοκλεῖ.* *Τὸ τῆς ὀργῆς πάθος μὴ καθομιλούμενον, μηδὲ θεραπευόμενον φυσικὴ νόσος γίνεται.* (XX, 50.)

πηʹ. *Σατύρῳ.* *Οἱ πολλοὶ τῶν ἀνθρώπων τῶν μὲν ἰδίων ἁμαρτημάτων συνήγοροι γίνονται, τῶν δὲ ἀλλοτρίων κατήγοροι.* (XXIII, 15.)

410 πθʹ. *Δαναῷ.* *Οὐ κάμνει τὰ πράγματα πρασσόμενα.* (XXIX, 83.)

ϟʹ. *Δίωνι.* *Τὸ μὴ γενέσθαι οὐδέν, τὸ δὲ γενέσθαι πόνος.* (XXIX, 82.)

ϛα΄. τοῖς ἀδελφοῖς. Οὐδενὶ φθονητέον· ἀγαθοὶ μὲν γὰρ ἄξιοι, κακοὶ δ' ἂν εὐτυχῶσι, κακῶς ζῶσι. (XXXVIII, 58.)

ϛβ΄. Διονυσίῳ. Καλόν, πρὶν παθεῖν, διδαχθῆναι, πηλίκον ἐστὶν ἡσυχία. (LVIII, 12.)

ϛγ΄. Νουμηνίῳ. Οὐ θρηνητέον οἵων φίλων ἐστερήθημεν, ἀλλὰ μνημονευτέον, ὅτι μετὰ τῶν φίλων τὴν καλλίστην βιοτὴν ἐβιοτεύσαμεν. (CXXIV, 35.)

ϛδ΄. Θεαιτήτῳ. Τὸ λυπούμενον ἀλλοτρίοις κακοῖς παραμυθοῦ. (CXXIV, 37.)

ϛε΄. Κορνηλιανῷ. Βραχὺς ὁ βίος ἀνθρώπῳ εὖ πράττοντι, δυστυχοῦντι δὲ μακρός. (CXXI, 34.)

ϛϛ΄. Δημοκράτει. Ὁ ὑπὲρ μικρῶν ἁμαρτημάτων ἀνυπερβλήτως ὀργιζόμενος οὐκ ἐᾷ διαγνῶναι τὸν ἁμαρτάνοντα, πότε ἔλαττον καὶ πότε μεῖζον ἠδίκησεν. (XX, 51.)

ϛζ΄. Λύκῳ. Οὐ τὸ πένεσθαι κατὰ φύσιν αἰσχρόν, ἀλλὰ τὸ δι' αἰσχρὰν αἰτίαν πένεσθαι ὄνειδος. (XCV, 9.)

ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ

ΠΡΟΣ ΤΑ

ΥΠΟ ΦΙΛΟΣΤΡΑΤΟΥ ΕΙΣ ΑΠΟΛΛΩΝΙΟΝ ΤΟΝ ΤΥΑΝΕΑ

ΔΙΑ ΤΗΝ ΙΕΡΟΚΛΕΙ ΠΑΡΑΛΗΦΘΕΙΣΑΝ ΑΥΤΟΥ ΤΕ ΚΑΙ ΤΟΥ ΧΡΙΣΤΟΥ ΣΥΓΚΡΙΣΙΝ.

428 Ἆρ᾽ οὖν, ὦ φιλότης, κἀκεῖνά σε τοῦ συγγρα-
1 φέως ἄξιον ἀποθαυμάζειν, ἃ τῷ ἡμετέρῳ σωτῆρί τε
καὶ διδασκάλῳ τὸν Τυανέα συγκρίνων παρεδοξολό-
γει; πρὸς μὲν γὰρ τὰ λοιπὰ τῶν ἐν τῷ Φιλαλήθει,
οὕτω γὰρ εὖ ἔχειν αὐτῷ τὸν καθ᾽ ἡμῶν ἐπιγράφειν
ἐδόκει λόγον, οὐδὲν ἂν εἴη σπουδαῖον ἐπὶ τοῦ παρ-
όντος ἵστασθαι μὴ αὐτοῦ ἴδια τυγχάνοντα, σφόδρα
δὲ ἀναιδῶς ἐξ ἑτέρων οὐκ αὐτοῖς μονονουχὶ νοήμα-
σιν, ἀλλὰ καὶ ῥήμασι καὶ συλλαβαῖς ἀποσεσυλημένα,
(ἃ) τύχοι μὲν ἂν καὶ αὐτὰ τῆς προσηκούσης κατὰ
καιρὸν ἀπελέγξεως, δυνάμει δ᾽ ἤδη καὶ πρὸ τῆς ἰδίας
κατ᾽ αὐτῶν γραφῆς ἀνατέτραπται καὶ προαπελή-
λεγκται ἐν ὅλοις ὀκτὼ συγγράμμασι τοῖς Ὠριγένει
γραφεῖσι πρὸς τὸν ἀλαζονικώτερον τοῦ Φιλαλήθους
429 ἐπιγεγραμμένον Κέλσου Ἀληθῆ λόγον, ᾧ τὰς εὐθύ-
νας ἀπαραλείπτως, ἐν ὅσοις εἰρήκαμεν, ὁ δεδηλω-
μένος παραγαγὼν συλλήβδην ὅσα εἰς τὴν αὐτὴν

ὑπόθεσιν παντί τῳ εἴρηταί τε καὶ εἰρήσεται, προλαβὼν διελύσατο, ἐφ' ἃ τοὺς ἐπ' ἀκριβὲς τὰ καθ' ἡμᾶς διαγνῶναι ἔχοντας φιλαλήθως ἀναπέμψαντες φέρε μόνην ἐπὶ τοῦ παρόντος τὴν κατὰ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τοῦ Φιλαλήθους τουτουὶ λόγου παράθεσιν ἐπισκεψώμεθα μηδέν τι σπουδαῖον ἡγούμενοι πρὸς τὰ λοιπὰ τῶν ἑτέρωθεν ὑποσεσυλημένων αὐτῷ διαμάχεσθαι. μόνα δὲ εἰκότως νυνὶ τὰ περὶ τὸν Ἀπολλώνιον ἐποψόμεθα, ἐπεὶ καὶ μόνῳ παρὰ τοὺς πώποτε καθ' ἡμῶν γεγραφότας ἐξαίρετος νῦν τούτῳ γέγονεν ἡ τοῦδε πρὸς τὸν ἡμέτερον σωτῆρα παράθεσίς τε καὶ σύγκρισις.

2 *Θαυμάζει γοῦν καὶ ἀποδέχεται θείᾳ τινὶ καὶ ἀρρήτῳ σοφίᾳ, οὐχὶ δὲ γοητείας σοφίσμασι τεθαυματουργηκέναι φάσκων αὐτὸν καὶ ταῦτα ἀληθῶς οὕτως ἔχειν ὡς ἔτυχε, πιστεύων καὶ ἀναποδείκτως ἀπισχυριζόμενος. ἄκουε δ' οὖν, ἅ φησιν αὐταῖς συλλαβαῖς· „ἄνω δὲ καὶ κάτω θρυλοῦσι σεμνύνοντες τὸν Ἰησοῦν ὡς τυφλοῖς ἀναβλέψαι παρασχόντα καί τινα τοιαῦτα*
60 *δράσαντα θαυμάσια.“ εἶτά τινα μεταξὺ εἰπὼν ἐπιλέγει· „ἐπισκεψώμεθά γε μήν, ὅσῳ βέλτιον καὶ συνετώτερον ἡμεῖς ἐκδεχόμεθα τὰ τοιαῦτα καὶ ἣν περὶ τῶν ἐναρέτων ἀνδρῶν ἔχομεν γνώμην.“ καὶ ἐπὶ τούτοις τὸν Προκοννήσιον Ἀριστέαν καὶ Πυθαγόραν ὡς ἂν ἀρχαιοτέρους παρελθὼν ἐπιφέρει λέγων· ἀλλ' ἐπὶ τῶν προγόνων ἡμῶν κατὰ τὴν Νέρωνος βασιλείαν Ἀπολλώνιος ἤκμασεν ὁ Τυανεύς, ὃς ἐκ παιδὸς κομιδῇ νέου καὶ ἀφ' οὗπερ ἐν Αἰγαῖς τῆς Κιλικίας ἱεράσατο τῷ φιλανθρώπῳ Ἀσκληπιῷ, πολλὰ καὶ* 430
θαυμαστὰ διεπράξατο, ὧν τὰ πλείω παρεὶς ὀλίγων ποιήσομαι μνήμην.“ εἶτα καταλέγει *ἀπὸ πρώτου ἀρξάμενος τὰ παράδοξα,* μεθ' ἃ καὶ ἐπιλέγει ταῦτα

κατὰ λέξιν· „τίνος οὖν ἕνεκα τούτων ἐμνήσθην; ἵν᾽ ἐξῇ συγκρῖναι τὴν ἡμετέραν ἀκριβῆ καὶ βεβαίαν ἐφ᾽ ἑκάστῳ κρίσιν καὶ τὴν τῶν Χριστιανῶν κουφότητα, εἴπερ ἡμεῖς μὲν τὸν τὰ τοιαῦτα πεποιηκότα οὐ θεόν, ἀλλὰ θεοῖς κεχαρισμένον ἄνδρα ἡγούμεθα, οἱ δὲ δι᾽ ὀλίγας τερατείας τινὰς τὸν Ἰησοῦν θεὸν ἀναγορεύουσι.“ τούτοις ἐπιφέρει μεθ᾽ ἕτερα φάσκων· „κἀκεῖνο λογίσασθαι ἄξιον, ὅτι τὰ μὲν τοῦ Ἰησοῦ Πέτρος καὶ Παῦλος καί τινες τούτοιν παραπλήσιοι κεκομπάκασιν ἄνθρωποι ψεῦσται καὶ ἀπαίδευτοι καὶ γόητες, τὰ δὲ Ἀπολλωνίου Μάξιμος ὁ Αἰγιεὺς καὶ Δάμις ὁ φιλόσοφος ὁ συνδιατρίψας αὐτῷ καὶ Φιλόστρατος ὁ Ἀθηναῖος παιδεύσεως μὲν ἐπὶ πλεῖστον ἥκοντες, τὸ δ᾽ ἀληθὲς τιμῶντες διὰ φιλανθρωπίαν ἀνδρὸς γενναίου καὶ θεοῖς φίλου πράξεις μὴ βουλόμενοι λαθεῖν.“ ταῦτα ῥήμασιν αὐτοῖς Ἱεροκλεῖ τῷ τὸν καθ᾽ ἡμῶν ἐπιγεγραφότι Φιλαλήθη λόγον εἴρηται.

3 *Δάμις μὲν οὖν ὁ τὰ πολλὰ ξυνδιατρίψας τῷ Ἀπολλωνίῳ ἀπὸ τῆς Ἀσσυρίων γῆς ὁρμώμενος αὐτόθι τε πρῶτον ἐπὶ τῆς ἰδίας χώρας αὐτῷ συμμίξας τὴν ἐξ ἐκείνου μετὰ τοῦ ἀνδρὸς αὐτῷ γενομένην συνουσίαν ἱστόρησεν, ὁ δὲ Μάξιμος κομιδῇ βραχέα τῶν κατὰ μέρος αὐτῷ πεπραγμένων ἀνεγράψατο, ὅ γε μὴν Ἀθηναῖος Φιλόστρατος τὰ φερόμενα πάντα ὁμοῦ ἀπό τε τῶν Μαξίμου καὶ αὐτοῦ Δάμιδος καὶ ἄλλων συναγαγεῖν ἑαυτὸν φήσας πάντων μάλιστα ἐντελῆ τὴν ἀπὸ γενέσεως καὶ μέχρι τελευτῆς ἱστορίαν τοῦ κατὰ τὸν ἄνδρα βίου πεποίηται.*

4 *Εἰ δὴ οὖν ἐξὸν τὴν ἐπικατηγορουμένην ἡμῶν εὐχέρειάν τε καὶ κουφότητα καὶ τὴν τοῦ Φιλαλήθους*
431 *ἀκριβῆ καὶ βεβαίαν ἐφ᾽ ἑκάστῳ παραθεῖναι κρίσιν,*
φέρε διαπυθώμεθα, οὐχ ὅστις θειότερος γεγόνει.

οὐδ᾽ ὁποῖος θαυμασιώτερά τε καὶ πλείω διεπράξατο παράδοξα, οὐδ᾽ ὡς μόνος παρὰ τοῖς ἀνέκαθεν πρὸ μυρίων ὅσων (ἐτῶν) γενομένοις Ἑβραίων σοφοῖς ὁ σωτὴρ ἡμῶν καὶ κύριος Ἰησοῦς Χριστὸς ἥξειν εἰς ἀνθρώπους κατὰ θείαν ἐπίπνοιαν προπεφήτευτο, οὐδ᾽ ὡς πλείους ἐπὶ τὸν τῆς θείας διδασκαλίας αὐτοῦ λόγον προὐτρέψατο, οὐδ᾽ ὡς γνησίους καὶ ὄντως ἀληθεῖς ἐκτήσατο φοιτητὰς μονονουχὶ καὶ ὑπεραποθνήσκειν ἑτοίμως τῶν λόγων αὐτοῦ παρεσκευασμένους, οὐδ᾽ ὡς μόνος σώφρονος βίου διδασκαλεῖον καὶ ἐς τὸν μετέπειτα χρόνον συνεστήσατο, οὐδ᾽ ὡς τῇ ἰδίᾳ θεότητί τε καὶ ἀρετῇ πᾶσαν ἔσωσε τὴν οἰκουμένην [καὶ] εἰσέτι καὶ νῦν μυρία πλήθη πανταχόθεν ἐπὶ τὴν θείαν ἑαυτοῦ διδασκαλίαν ἐπαγόμενος, οὐδ᾽ ὡς τῶν πώποτε μόνος πρὸς ἁπάντων σχεδὸν εἰπεῖν ἀνθρώπων ἀρχόντων τε καὶ ἀρχομένων πλείστοις ἔτεσιν ἤδη πολεμούμενος κρείττων καὶ πολὺ δυνατώτερος τῶν πικρῶς ἐλαυνόντων ἀπίστων ἀποδέδεικται θείᾳ καὶ ἀρρήτῳ δυνάμει τοὺς μὲν κατὰ καιρὸν ἐπανισταμένους αὐτοῦ τῇ θείᾳ διδασκαλίᾳ ῥᾳδίως μετιών, τὸν δὲ παγέντα πρὸς αὐτοῦ καὶ παραδοθέντα θεῖον λόγον εἰς ἄπειρον αἰῶνα καθ᾽ ὅλης κρατύνων τῆς οἰκουμένης, οὐδ᾽ ὡς εἰσέτι καὶ νῦν τῆς ἐνθέου δυνάμεως τὴν ἀρετὴν ἐπιδείκνυται μοχθηρούς τινας καὶ φαύλους δαίμονας ψυχαῖς ἀν-
61 θρώπων καὶ σώμασιν ἐφεδρεύοντας ἀπελαύνων διὰ μόνης τῆς ἀρρήτου προσηγορίας αὐτοῦ, ὡς αὐτῇ πείρᾳ κατειλήφαμεν, ταῦτα γὰρ περὶ τὸν Ἀπολλώνιον ζητεῖν μὴ καὶ τὸ ἐρωτᾶν ἀνόητον· μόνην δὲ ἐπισκεψώμεθα τὴν τοῦ Φιλοστράτου γραφήν, δι᾽ ἧς εὐθυνοῦμεν, ὡς οὐχ ὅτι γε ἐν φιλοσόφοις, ἀλλ᾽ οὐδὲ ἐν ἐπιεικέσι καὶ μετρίοις ἀνδράσιν ἄξιον ἐγκρί-

νειν, οὐχ ὅπως τῷ σωτῆρι ἡμῶν Χριστῷ παρατιθέναι τὸν Ἀπολλώνιον ὅσον ἐπὶ τῇ γραφῇ τοῦ παρὰ τῷ Φιλαλήθει παιδεύσεως μὲν ἐπὶ πλεῖστον ἥκοντος, τὸ
432 δ' ἀληθὲς μὴ τιμῶντος συγγραφέως. τοιοῦτος γὰρ ἦν αὐτῷ μετὰ τῶν ἄλλων καὶ ὁ Ἀθηναῖος Φιλόστρατος, ἐξ οὗ ῥᾳδίως ἂν καταμάθοιμεν καὶ τῶν λοιπῶν τῶν κατ' αὐτὸν παιδεύσεως μὲν ἐπὶ πλεῖστον ἡκόντων, αὐτὸ δὲ τὸ ἐξητασμένως μὴ ἀπηκριβωμένων τῆς κατὰ τὸν Ἀπολλώνιον ἱστορίας. τούτων γὰρ ἡμῖν διευκρινηθέντων ὁμοῦ τοῦ τε Φιλαλήθους τὰ ἀνωτάτω τε καὶ καθ' ὅλων δικαστήρια διειληφότος ἡ κατὰ Χριστιανῶν βεβαία καί, ὡς αὐτὸς ἑαυτῷ δοκεῖ, ἀκριβὴς ἐφ' ἑκάστῳ κρίσις φανερὰ καταστήσεται ἡμῶν τε αὖ, οἳ μωροὶ καὶ βεβουκολημένοι νενομίσμεθα παρ' αὐτοῖς, ἡ πρὸς αὐτῶν ἐπικαλουμένη εὐχέρειά τε καὶ κουφότης.

5 Ἄλλος μὲν οὖν ὁμόσε χωρῶν αὐτόθεν διέβαλλεν ἂν βλασφημῶν ὡς ἐχθρὸν αὐτῷ καὶ πολέμιον τὸν καθ' οὗ τὸν λόγον ἐποιεῖτο, ἐγὼ δέ, ἑταῖρε, σοφόν τινα τὰ ἀνθρώπινα τὸν Τυανέα γεγονέναι ἡγούμην καὶ ἔτι γε (τῆς) αὐτῆς ἔχεσθαι διανοίας ἑκὼν εἶναι βουλοίμην καί σοι τὴν αὐτὸς ἐμαυτοῦ περὶ αὐτοῦ δόξαν ἐκθείην ἂν ἐρωτῶντι· φιλοσόφων μὲν ὅτῳ τις βούλοιτο (συγ)καταλέγειν τὸν ἄνδρα πέρα μηδὲν διενοχλῶν ταῖς περὶ αὐτοῦ μυθολογίαις, μὴ φθονεῖν, εἰ δ' ὑπερπηδᾶν τοὺς ὅρους καὶ φιλοσοφίας ὑπέρτερα φρονεῖν εἴτε τις Δάμις Ἀσσύριος, εἴτε Φιλόστρατος, εἴτε τις συγγραφεὺς ἢ λογογράφος θρασύνοιτο λόγῳ μὲν ἐκτρεπόμενος γοητείαν, ἔργοις δὲ πλέον ἢ ῥήμασιν ἐπιφορτίζων τὸν ἄνδρα προσωπείου δίκην τὴν Πυθαγόρειον ἐπιμορφαζόμενος ἀγωγήν, οἰχήσεται μὲν ἡμῖν ὁ φιλόσοφος, ὄνος δ' ἀντὶ τοῦ

λέοντος ἐπικρυπτόμενος δέρρει σοφιστής τις ὡς ἀληθῶς ἀγείρων κατὰ τὰς πόλεις αὐτό τε τοῦτο γόης ἀτεχνῶς ἀντὶ φιλοσόφου φωραθήσεται. πῶς δὲ 433
τοῦτό φημι καὶ πόθεν ὁρμώμενος, ἐρωτᾷς; μάνθανε· 6
ὅροι φύσεως ἀρχὰς καὶ μέσα καὶ τέλη τῆς τῶν ὅλων οὐσίας περιειληφότες μέτρα καὶ θεσμοὶ ἅπασι, δι' ὧν τόδε τὸ πᾶν μηχάνημά τε καὶ ἀρχιτεκτόνημα τοῦ παντὸς κόσμου τελεσιουργεῖται, διατέθεινται νόμοις ἀλύτοις καὶ δεσμοῖς ἀρρήκτοις τῆς τὰ πάντα οἰκονομούσης προνοίας τὸ πάνσοφον βούλημα διαφυλάττοντες. οὔκουν κινήσειέ τι καὶ μεταθείη (τις ἂν) τῆς τάξεως τῶν ἅπαξ διατεθειμένων. κεκράτηται δ' οὖν θεσμῷ φύσεως τὸν θεῖον ὑπεραναβαίνειν νόμον πᾶς, ὅτῳ τις θρασύτερος τῶν ἐπέκεινα (ἐπι)βαίνειν ἔνεστι πόθος. οὔτ' οὖν παρὰ φύσιν ὁ ἔνυδρος ἐπὶ τὴν χέρσον μεταβὰς βιῶναι δυνήσεται ἰχθύς, οὔτε τὸ ἐν χέρσῳ τραφὲν τοῖς ὕδασιν ἐγκαταδύσεται τὴν ἐκεῖσε διηνεκῆ μονὴν ἀσπαζόμενον, οὔτε μέγα πηδήσας μετέωρός τις τῶν ἐπὶ γῆς ἀρθήσεται πρὸς ἀέρα συμπεριπολεῖν ἀετοῖς ἐπιθυμῶν· καὶ μὴν ἐκεῖνοί γε κἂν ἐπὶ γῆς ἔλθοιεν βρίσαντες ἐπὶ τὸ κάτω τὴν δύναμιν καὶ τοῦ πτεροῦ χαλάσαντες καὶ ἀνέντες τὴν φύσιν, ἐπεὶ καὶ τοῦτο θείοις ὥρισται νόμοις, (ἐκ) τοῦ ὕψους τὸ μετέωρον ὑποκαταβαίνειν δύνασθαι, οὐ μὴν καὶ ἔμπαλιν τὸ ταπεινὸν καὶ γεῶδες ἐπὶ τὸ μετέωρον αἴρεσθαι. ταύτῃ δὴ καὶ τὸ θνητὸν ἀνθρώπων γένος ψυχῆς μετέχον καὶ σώματος ὅροις περιγέγραπται θείοις. οὔτ' οὖν τῷ σώματι δι' ἀέρος ἔλθοι ποτὲ τῶν ἐπὶ γῆς τις καταφρονήσας διατριβῶν μὴ οὐχὶ τοὐπιτίμιον αὐτίκα τῆς ἀνοίας παρασχών, οὔτε τὴν ψυχὴν ἀρθεὶς φρονήματι καθίξεται τῶν ἀνεφίκτων, ἢ μελαγχολίας νοσήματι ἂν περιπέσοι.

σωφρονοῖ δ' ἂν ἀρτίοις μὲν τὸ σῶμα ποσὶν ἐπὶ γῆς
φερόμενος, τὴν δὲ ψυχὴν παιδείᾳ καὶ φιλοσοφίᾳ
σκηρίπτων, εὔξαιτο δὲ καί τινα συνεργὸν ἄνωθέν
ποθεν ἐκ τῶν κατ' οὐρανὸν διατριβῶν ἐλθεῖν καὶ 62
τῆς ἐκεῖσε διδάσκαλον αὐτῷ φανῆναι σωτηρίας. ἐρ-
434 ρωμένῳ γάρ τοι παραδείγματι νοσοῦντι μὲν τὸν
ἰατρὸν ἐπιφοιτᾶν θέμις, καὶ τὸν διδάσκαλον εἰσαγο-
μένῳ τοῖς μαθήμασι συμφέρεσθαι καὶ τὸν ἄνω που
καὶ ἐν ὕψει συγκατιέναι τοῖς ταπεινοῖς, οὐ μὴν καὶ
ἀνάπαλιν. ὅθεν δὴ θείαν μὲν φύσιν εὐεργέτιν οὖσαν
καὶ σώτειραν καὶ προνοητικὴν τῶν (ἐπι)όντων ἀν-
θρώποις ποτὲ εἰς ὁμιλίαν ἐλθεῖν οὐδεὶς ἂν ἀπείργοι
λόγος ὅρῳ θείας προνοίας καὶ τούτου συγκεχωρη-
μένου, ἀγαθὸς γὰρ ἦν κατὰ τὸν Πλάτωνα, ἀγαθῷ
δὲ οὐδεὶς περὶ οὐδενὸς ἐγγίνεται φθόνος· οὔκουν
σωμάτων μόνων ἀγαθὸς ὢν ὁ τόδε τὸ πᾶν διακυ-
βερνῶν ἐπιμελήσεται, πολὺ πλέον δὲ ψυχῶν, αἷς τὸ
ἀθάνατόν τε καὶ αὐτοκρατορικὸν κεχάρισται γέρας.
ταύταις δῆτα οἷα τῆς οἰκονομίας ἁπάσης κύριος ὢν
καὶ χαρίτων, ὧν ἂν δωρούμενος αὐτὰς εὐεργετῇ τὴν
φύσιν οὔσαις ἀντιληπτικαῖς ἀκτῖνας ὥσπερ τοῦ παρ'
ἑαυτοῦ φωτὸς δωρήσεται ἀφθόνως τῶν ἀμφ' αὐτόν,
ἔστιν ὅτε τοὺς μάλιστα προσεχεῖς εἰς τὴν τῶν ἐπί-
τάδε σωτηρίαν τε καὶ ἀντίληψιν ἐκπέμπων, ὧν εἴ
τῳ εὐτυχῆσαι γένοιτο, τὴν διάνοιαν οὗτος ἀποκα-
θαρθεὶς καὶ τὴν τῆς θνητότητος ἀποσκεδάσας ἀχλὺν
θεῖος ἀληθῶς ἀναγραφήσεται μέγαν τινὰ θεὸν ἀγαλ-
ματοφορῶν (ἐν) τῇ ψυχῇ. κινήσειε δῆτ' ἂν οἷα
τηλικοῦτος τὸ πάντων ἀνθρώπων γένος καὶ μᾶλ-
λον ἡλίου τὴν οἰκουμένην καταλάμψειε τοὔργον τῆς
αἰδίου θεότητος καὶ εἰς τὸν ἐπιόντα συνορᾶσθαι
καταλείπων χρόνον οὐ μεῖον τῶν ἐξ ἀψύχου ὕλης

*δημιουργημάτων τὸ τῆς ἐνθέου παράδειγμα φύσεως
παρεσχημένος. καὶ ταύτῃ μὲν ἀνθρωπεία φύσις τῆς* 435
*ὑπὲρ ἄνθρωπον κοινωνῆσαι ἄν, ἄλλως δ' οὐ θέμις
τοὺς ὅρους ὑπερβαίνειν, οὐδ' ἄπτερον ἔχοντα τὸ
σῶμα τὰ τῶν πτηνῶν ἐπιτηδεύειν, οὐδ' ἄνθρωπον
ὄντα τὰ τῶν δαιμόνων πολυπραγμονεῖν.*

Τίνα δῆτα ἡμῖν ἐπὶ τούτοις τὸν Ἀπολλώνιον 7
*εἰσάγεις, ὦ συγγραφεῦ; εἰ μὲν δὴ θεῖον καὶ φιλο-
σόφου κρείττονα τήν τε φύσιν ἁπλῶς εἰπεῖν ὑπὲρ
ἄνθρωπον, τήρει μοι δι' ὅλης τῆς ἱστορίας τὴν ὑπό-
θεσιν καὶ τοὖργον εἰσέτι νῦν ἐπιδείκνυθι τῆς θειό-
τητος. ἦ γὰρ οὐκ ἀτοπώτατον τεκτόνων μὲν καὶ
οἰκοδόμων καὶ μετὰ τὴν τῶν δημιουργῶν τελευτὴν
ἐπὶ μήκιστον τοὖργον διαρκεῖν ἀθάνατόν που σχε-
δὸν τῶν συστησαμένων τὴν μνήμην στηλιτεῦον, θείαν
δὲ ἄρα φύσιν ἀνθρώποις ἐπιλάμψασαν σκότιόν που
καὶ μινυνθάδιον ἀποτελεῖν, οὐχὶ δὲ εἰς αἰῶνα τὴν
ἀρετὴν ἐπιδείκνυσθαι, μὴ εἰς ἕνα τινὰ Δάμιν ἢ καὶ
ἄλλους βραχεῖς πτωχεύουσαν τῶν ἀνθρώπων, ἀλλ'
εἰς μυρίων ὅσων ὠφελείας οὐ τῶν καθ' ὃν (χρόνον)
ἐγνωρίζετο μόνων, ἀλλὰ καὶ τῶν μετὰ ταῦτα γενησο-
μένων τὴν πάροδον ποιουμένην; ταύτῃ τοι καὶ τοὺς
πάλαι σοφοὺς ζηλωτάς τε καὶ διαδόχους ποιήσασθαι
τῆς ἀρετῆς ἀθάνατον ὡς ἀληθῶς ἀνθρώποις παρε-
σχημένους τὸ κατόρθωμα. * εἰ δὲ θνητὴν ὑπογρά-
φεις τἀνδρὸς τὴν φύσιν, ὅρα μὴ πλέον, ἢ προσῆκε,
ταύτῃ χαριζόμενος δίκην ἀποίσεις παραλογίας. ἀλλὰ* 8
*μὴν εἰσῆκται αὐτῷ θεῖος ἄνθρωπος καὶ θαλαττίου
δαίμονος σχῆμά τε καὶ προσωπεῖον ἀπὸ γενέσεως
ἀναλαμβάνων. „κυούσῃ γάρ,“ ὥς φησι, τῇ αὐτοῦ
μητρὶ φάσμα ἦλθε θαλαττίου δαίμονος, Πρωτεὺς ὁ
παρὰ τῷ Ὁμήρῳ ἐξαλλάττων. ἡ δὲ οὐδὲν δείσασα* 436

ἤρετο αὐτόν, τί ἀποκυήσοι, ὁ δὲ „ἐμὲ“ εἶπε· „σὺ δὲ τίς“ εἰπούσης „Πρωτεὺς“ ἔφη „ὁ Αἰγύπτιος.“ εἶτα δὲ λειμῶνά τινα, καὶ κύκνους τὴν γυναῖκα μαιεύεσθαι γράφει, ὁπόθεν αὐτὸ τοῦτ᾽ εἴη ληφθέν, μὴ εἰπών· οὐ γὰρ δὴ καὶ τούτου ὑφηγητὴν Δάμιν τὸν Ἀσσύριον ὑπογράψεται. ἀλλὰ καὶ οὐκ ἐς μακρὸν τῆς αὐτῆς ἱστορίας αὐτῷ Δάμιδι οἷα δὴ θείας ὄντα φύσεως τὸν Ἀπολλώνιον εἰσάγει αὐτὰ δὴ ταῦτα λέγοντα· „ἐγώ, ὦ ἑταῖρε, πασῶν τῶν φωνῶν ξυνίημι μαθὼν οὐδεμίαν·“ καὶ „μὴ θαυμάσῃς, οἶδα γὰρ καὶ ἃ σιωπῶσιν οἱ ἄνθρωποι.“ καὶ πάλιν ἐν Ἀσκληπιοῦ τιμώμενον πρὸς τοῦ δαίμονος καὶ πρόγνωσιν φυσικήν τινα καὶ ἀδίδακτον ἔχειν ἐκ παιδὸς κρείττονά τε ἀτεχνῶς ἀνθρώπου φῦναι αὐτὸν ἐξ αὐτῆς γενέσεως καὶ δι᾽ ὅλης ἡμῖν τῆς ἱστορίας ὑπογράφει. 63
λύσαντος γοῦν ἑαυτόν ποτε ἀπὸ δεσμῶν ἐπιφέρει λέγων· „τότε πρῶτον ὁ Δάμις φησὶν ἀκριβῶς ξυνεῖναι τῆς Ἀπολλωνίου φύσεως, ὅτι θεία τε εἴη καὶ κρείττων ἀνθρώπου. μὴ γὰρ θύσαντά τι, πῶς γὰρ ἐν δεσμωτηρίῳ; μηδὲ εὐξάμενον, μηδὲ εἰπόντα τι καταγελάσαι τοῦ δεσμοῦ.“ ἐπὶ τελευτῇ δὲ τάφον μὲν αὐτοῦ μηδόλως ποι γῆς εὑρίσκεσθαι, χωρῆσαι δὲ εἰς οὐρανὸν αὐτῷ σώματι μεθ᾽ ὕμνων καὶ χορείας λέγει. εἰκότως δὴ οὖν οἷα ὄντα τοσοῦτον „θειότερον ἢ Πυθαγόρας Ἐμπεδοκλῆς τε καὶ Πλάτων φιλοσοφίᾳ
9 τὸν ἄνδρα προσεληλυθέναι φησίν. οὐκοῦν ἐν θεοῖς ἡμῖν διὰ τούτων ἀναγεγράφθω ὁ ἄνθρωπος καὶ ὁ φθόνος ἀπέστω τῆς τῶν φωνῶν ἁπασῶν αὐτοφυοῦς καὶ αὐτοδιδάκτου συνέσεως. τί δῆτα οὖν ἐς διδασκάλου ἄγει αὐτὸν καὶ τὸν μηδεμίαν φωνὴν μεμαθηκότα διαβάλλει ὡς ἂν ἐξ ἀσκήσεως καὶ μελέτης, ἀλλ᾽ οὐκ ἐκ φύσεως Ἀττικὸν γενόμενον τὴν γλῶτταν;

φησὶ γάρ τοι, ὡς προϊὼν ἐς ἡλικίαν γράμματά τε 437 καὶ μνήμης ἰσχὺν ἐδήλου καὶ μελέτης κράτος καὶ ἡ γλῶττα αὐτῷ ἀττικῶς εἶχε.“ καὶ „γεγονότα δὲ αὐτὸν ἔτη τεσσαρεσκαίδεκα ἄγει ἐς Ταρσοὺς ὁ πατὴρ παρ᾽ Εὐθύδημον τὸν ἐκ Φοινίκης, ὃς ῥήτωρ τε ἀγαθὸς ἦν καὶ ἐπαίδευε τοῦτον, ὁ δὲ τοῦ διδασκάλου εἴχετο.“ εἶτα „ξυνεφιλοσόφουν αὐτῷ Πλατώνειοί τε καὶ Χρυσίππειοι καὶ οἱ ἀπὸ τοῦ περιπάτου. διήκουε δὲ καὶ τῶν Ἐπικούρου λόγων, οὐδὲ γὰρ τούτους ἀπεσπούδαξε, τοὺς δὲ Πυθαγορείους ἀρρήτῳ τινὶ σοφίᾳ ξυνελάμβανε.“ τοσαῦτα ὁ μηδεμίαν μαθὼν φωνὴν θείᾳ τε δυνάμει „ἃ καὶ σιωπῶσιν ἄνθρωποι“ προλαβὼν ἐξεπαιδεύετο. ὁ δὲ διαλιπὼν αὖθις αὐτὸν θαυμάζει, ἐς ὅσον συνέσεως τῆς τῶν ζῴων φωνῆς ἦλθε καὶ ἐπιφέρει λέγων „καὶ ἐς ξύνεσιν δὲ τῆς τῶν ζῴων φωνῆς ἦλθε, καὶ ἔμαθε δὲ τοῦτο διὰ τῶν Ἀραβίων πορευόμενος ἄριστα γιγνωσκόντων τε καὶ πραττόντων αὐτό. ἔστι γὰρ τῶν Ἀραβίων κύκνων ἤδη καὶ ὀρνίθων μαντευομένων ἀκούειν, ὁπόσα οἱ χρησμοί. ξυμβάλλονται δὲ τῶν ἀλόγων σιτούμενοι τῶν δρακόντων οἱ μὲν καρδίαν φασίν, οἱ δὲ ἧπαρ.“ ἐνταῦθα πάντως που δρακόντων καρδίας δήπου καὶ ἥπατος τὸν Πυθαγόρειον ἐμψύχων τε τροφῆς ἀπεχόμενον καὶ μηδὲ θύειν δαίμοσιν ἐπιτολμῶντα εἰκὸς ἦν ἀπογεύσασθαι, ὡς ἂν καὶ τῆς παρὰ τούτοις κοινωνήσοι σοφίας. πρὸς γὰρ τοιῷνδε διδασκομένῳ πῶς ἂν ἄλλως μὴ οὐχὶ τὰ ὅμοια τοῖς διδασκάλοις ζηλώσαντι κατωρθοῦτο τὸ ἐπιτήδευμα; ἔχομεν δὴ οὖν πρὸς τοῖς καταλελεγμένοις καὶ τοὺς Ἀραβίων σοφοὺς διδασκάλους τῆς κατὰ τὴν οἰωνιστικὴν τἀνδρὸς ἐπιστήμης, ἀφ᾽ ἧς εἰκότως ὁρμώμενος ὕστερόν ποτε τὸν στρουθόν, ὅ τι καὶ

*βούλοιτο συγκαλῶν τοὺς ἑτέρους ἐπὶ τροφήν, προ-
ειπὼν θαῦμα μέγιστον παρέχειν ἔδοξε τοῖς παροῦσι.
438 ταύτῃ δὴ καὶ τὴν ἀπεσφαγμένην ὅσον οὔπω λέαιναν
ἅμα τοῖς ὀκτὼ σκύμνοις κατὰ τὴν εἰς Ἀσσυρίους
ὁδὸν θεασάμενος αὐτίκα τῷ θεάματι συμβαλὼν τῆς
ἐσομένης αὐτῷ παρὰ Πέρσαις διατριβῆς τὸν χρόνον
11 ἐμαντεύσατο. ἀκόλουθα δὲ τῇ παρὰ τοῖς Ἀραβίοις
φοιτήσει ἐγχειρεῖν αὐτὸν καὶ παρὰ Πέρσαις ὁ αὐτὸς
συγγραφεὺς ἱστορεῖ· τῷ γάρ τοι Δάμιδι, ὃς μόνος
φοιτητὴς ἦν αὐτῷ καὶ ἑταῖρος, ἀπαγορεύσας παρὰ
τοὺς μάγους ἰέναι μόνος αὐτός, ὡς ἂν μὴ μετ' ἀγνώ-
μονος δηλαδὴ τὰ τῆς μαγείας μανθάνοι, μεσημβρίας
τε καὶ ἀμφὶ μέσας νύκτας τὰς μετ' αὐτῶν ἐποιεῖτο
σχολάς. ἔτι δὲ Οὐαρδάνῃ Βαβυλωνίῳ εἰς λόγους
ἐλθόντα βασιλεῖ ὧδέ πως λέγειν αὐτὸν παρατίθεται·
„σοφία δέ μοι Πυθαγόρου Σαμίου ἀνδρός, ὃς θεούς
τε θεραπεύειν ὧδέ με ἐδιδάξατο καὶ ξυνιέναι σφῶν
ὁρωμένων τε καὶ οὐχ ὁρωμένων φοιτᾶν τε ἐς δια-
λέξεις θεῶν.“ τίς δ' αὐτῷ ταῦτα συγχωρήσειεν, ὅτε
Πυθαγόρᾳ μὲν οὐδεμία τις τοιαύτη καταλέλειπται
γραφή, οὐδ' ἀπόρρητά τινα συγγράμματα, ὡς κἂν
ὑπονοῆσαι αὐτὸν ἐξ ἐκείνων ὁρμᾶσθαι, ὁ δέ γε δι-
δάσκαλος αὐτῷ τῆς κατὰ Πυθαγόραν φιλοσοφίας
οὐδέν τι διαφέρειν τῶν Ἐπικουρείων πρὸς αὐτοῦ
μεμαρτύρηται τοῦ Φιλοστράτου ὧδέ πως εἰρηκότος
„διδάσκαλος μὲν ἦν αὐτῷ τῶν Πυθαγόρου λόγων
οὐ πάνυ σπουδαῖος, οὐδ' ἐνεργῷ τῇ φιλοσοφίᾳ χρώ- 64
μενος, γαστρός τε ἥττων καὶ ἀφροδισίων καὶ κατὰ
τὸν Ἐπίκουρον ἐσχημάτιστο. ἦν δὲ οὗτος Εὔξενος
ὁ ἐξ Ἡρακλείας τοῦ Πόντου. τὰς δὲ Πυθαγόρου
γνώμας ἐγίγνωσκεν, ὥσπερ οἱ ὄρνιθες ἃ μανθάνουσι
παρὰ τῶν ἀνθρώπων. „φεῦ τῆς ἀτοπίας, εἰ παρὰ*

τούτου λέγοι τις τῆς πρὸς τοὺς θεοὺς διαλέξεως τὴν
σύνεσιν αὐτὸν εἰληφέναι. ἀλλὰ δὴ συγκεχωρήσθω
καὶ ἑτέρων ὑφηγητῶν αὐτὸν ἀκηκοέναι καίτοι γε τοῦ
συγγραφέως τοῦτο μηδαμῶς ἐπισημηναμένου· τίς 439
δὴ οὖν τούτων σύνεσίν τε καὶ φοίτησιν (εἰς δια-
λέξεις) θεῶν ὁρωμένων καὶ οὐχ ὁρωμένων αὐτός τε
ὡς ἀπὸ Πυθαγόρου (μαθὼν) εἰδέναι διδάσκεσθαί τε
ἑτέρους ἐπηγγέλλετο; καὶ μὴν οὐδ᾽ ὁ περιβόητος
Πλάτων πάντων γε μᾶλλον τῆς Πυθαγόρου κεκοι-
νωνηκὼς φιλοσοφίας, οὔτ᾽ Ἀρχύτας, οὔτ᾽ αὐτὸς ἐκεῖ-
νος ὁ τὰς Πυθαγόρου γραφῇ παραδοὺς ὁμιλίας Φι-
λόλαος, οὐδ᾽ εἴ τινες ἄλλοι γνώριμοι τἀνδρὸς γεγο-
νότες, οἳ δόξας τε αὐτοῦ καὶ γνώμας γραφῇ τοῖς
μετ᾽ αὐτὸν παραδεδώκασιν, ἐπὶ τοιαύτῃ τινὶ ἐσεμνύ-
ναντο σοφίᾳ. οὐκοῦν ἑτέρωθεν, ἀλλ᾽ οὐκ ἀπὸ Πυ-
θαγόρου τὰ τοιαδὶ μαθὼν προσχήματι σεμνολογῶν
ἐπιγράφεται τὴν τοῦ φιλοσόφου πρόσρησιν, ἵνα δὲ
καὶ παραλογώτατα τὸ ψεῦδος ὡς ἀληθές τις γεγονέ-
ναι συγχωρήσειεν, οὐκ οἶδ᾽ ὅπως ἐξ αὐτοῦ λέγων
ἐκείνου τοῦ Σαμίου πρὸ μυρίων ὅσων ἐτῶν ἐξ ἀν-
θρώπων γενομένου τὰ περὶ τούτων αὐτὸν μεμαθη-
κέναι. οὐκοῦν πρὸς τοῖς Ἀραβίοις καὶ τοῦτον διδά-
σκαλον αὐτοῦ τῆς δὴ νομιζομένης ἀπορρήτου περὶ
θεῶν ἐπιστήμης ἐπιγραπτέον. εἰ δὴ οὖν θείας ἦν
φύσεως, κατέψευσται αὐτοῦ τοὺς διδασκάλους ὁ λό-
γος, εἰ δ᾽ ἀληθὴς ἦν οὗτος, ψευδὴς ἦν ὁ μῦθος καὶ
οὐκ ἀληθὴς ἡ περὶ τοῦ θεῖον γεγονέναι αὐτὸν γραφή.
οὔπω μοι τοῦ Πρωτέως τὸ φάσμα πολυπραγμονεῖν 12
ἔπεισι καὶ τὴν περὶ τούτου πίστιν αἰτεῖν, οὐδὲ τῶν
παρ᾽ αὐτῷ κύκνων τὰς ἀποδείξεις, οὓς γελοίως τὴν
μητέρα τίκτουσαν αὐτὸν μαιοῦσθαι ἱστορεῖ, ἀλλ᾽
οὐδὲ τῆς περὶ τοῦ σκηπτοῦ μυθολογίας τὸν μάρτυρα

παρέχειν ἀξιῶ, οὐ γὰρ δὴ καὶ τούτων, ὥς ἔφην, Δάμις ἡμῖν συνίστωρ ἀφίξεται, μακρῷ ὕστερον ἐν Νίνῳ τῆς Ἀσσυρίας τἀνδρὶ συνάψας. ἐγὼ μὲν οὖν εὖ
440 μάλα προθύμως τοῖς εἰκόσι τε καὶ ἀληθείας ἐχομένοις πειθόμενος, εἰ καὶ μείζονά τινα καθ' ὑπερβολὴν ἐς ἔπαινον ἀνδρὸς ἀγαθοῦ λέγοιτ' ἄν, πιστὰ καὶ παραδεκτέα εἶναί μοι δοκῶ, ὅτι μὴ μόνα τὰ τερατώδη καὶ λήρου πλέα. οὔκουν φθονοίην, εἴ φησιν ὁ συγγραφεὺς γένος τε ἀρχαῖον καὶ τῶν οἰκιστῶν ἀνημμένον τῷ ἀνδρὶ γεγονέναι καὶ πλουτῶν εἰ οὕτως ἔτυχεν ὑπὲρ τοὺς ἐγχωρίους ἅπαντας διδασκάλων τε νέον ὄντα οὐ μόνον τῶν δεδηλωμένων τυχεῖν, ἀλλ', εἰ δοκεῖ, καὶ τούτων αὐτὸν διδάσκαλον καὶ καθηγητὴν γεγονέναι. ἔστω δ' ἐπὶ τούτοις ἐντρεχὴς καὶ τὰ κοινά, ὡς τὸν εἰς Ἀσκληπιοῦ θεραπείας χάριν ἀφιγμένον διὰ γνώμης ἀρίστης ἀπαλλάξαι τῆς ἀρρωστίας, νοσοῦντι γὰρ δὴ ὑδέρου πάθει κατάλληλον ἐγκρατείας ὑποθέσθαι δίαιταν τῷ κάμνοντι καὶ ταύτῃ αὐτὸν ὑγιᾶ καταστῆσαι καὶ τούτῳ γε τῆς φρονήσεως ἀποδεκτὸν τὸ μειράκιον, καὶ ὡς τὸν πολυτελῶς θύειν παρεσκευασμένον εἶρξεν οἷα εἰκὸς ἐπὶ κακίᾳ διαβεβοημένον, καὶ γὰρ δὴ τῶν ἐγχωρίων ἁπάντων πλουσιώτατόν τε καὶ περιφανέστατον αὐτὸν ὑποτίθεται. καὶ ἐν σώφροσι δ' αὐτὸν φθόνος οὐδεὶς ἐγγράφειν, ὅτι τε πρὸς τὸν ἐραστὴν πειρώμενον αὐτοῦ τῆς ὥρας διελοιδορήσατο καὶ γυναικείας ὅτι καθαρὸν ἑαυτὸν μίξεως διὰ τέλους, ὡς ὁ λόγος φησίν, ἤγαγε. πιστὰ δ' ἔστω καὶ τὰ τῆς πενταετοῦς κατὰ Πυθαγόραν σιωπῆς αὐτοῦ, καὶ τά, ὅπως ταύτην διήνυσεν, ἐπαίνου ἄξια. ταῦτα δὴ καὶ ὅσα τοιαῦτα ἀνθρώπινα καὶ ὡς ἀληθῶς φιλοσοφίας καὶ ἀληθείας οὐ πόρρω δεχοίμην ἂν περὶ πολλοῦ τὸ

εὔγνωμόν τε καὶ φιλάληθες τιμώμενος, τό γέ τοι
65 κρεῖττον ἀνθρώπου τὴν φύσιν ὑποτίθεσθαι καὶ παρὰ πόδας ἐναντιολογεῖν τῆς τε δοθείσης ἀμνημονεῖν ὑποθέσεως, ἔχειν ψόγον ἂν καὶ διαβολὴν αὐτῷ τε τῷ γράφοντι καὶ πολὺ πρότερον τῷ γραφομένῳ περιάψειν ἡγοῦμαι.

Καὶ ταῦτα μὲν ἀπὸ τοῦ πρώτου συγγράμματος. 13
ἐπίωμεν δὲ καὶ τὰ ἐκ τοῦ δευτέρου. τὴν ἀπὸ Περσίδος ἐπ' Ἰνδοὺς πορείαν ἄγει παραλαβὼν αὐτὸν ὁ λόγος. εἶτά τι πεπονθὼς ἀπειρόκαλον, [ὥσπερ τι 441
παράδοξον,] δαιμόνιόν τι, ὃ καὶ ἔμπουσαν ὀνομάζει, κατὰ τὴν ὁδὸν ἰδόντα λοιδορίαις ἅμα τοῖς ἀμφ' αὐτὸν ἀπελάσαι φησί, καὶ ζῴων δὲ εἰς τροφὴν αὐτοῖς προσαχθέντων εἰρηκέναι αὐτὸν τῷ Δάμιδι, ὡς ἄρα συγχωροίη αὐτῷ τε καὶ τοῖς ἑταίροις σιτεῖσθαι τῶν κρεῶν, τὸ γὰρ ἀπέχεσθαι αὐτῶν αὐτοῖς μὲν εἰς οὐδὲν ὁρᾶν προβαῖνον, ἑαυτῷ δὲ εἰς ἃ ὡμολόγηται πρὸς φιλοσοφίαν ἐκ παιδός. καίτοι τίς οὐκ ἂν ἀπορήσειεν, ὅτι μηδ' αὐτόν, ὃν μόνον ἐδόκει τοῦ βίου ζηλωτὴν κεκτῆσθαι καὶ προὔτρεπεν ἐπὶ φιλοσοφίαν, εἶργεν οἷα φίλτατον τῆς τῶν ἐμψύχων, ὡς ἂν οὐχ ὁσίας κατὰ Πυθαγόραν τροφῆς, ὁ δ' οὐκ' οἶδ' ὁποίῳ λόγῳ λέγων μὲν οὐ συνοίσειν ἑαυτῷ, κείνοις δ' οὐδὲν ὁρᾶν ἀπὸ τῆς ἀποχῆς προβαῖνον ὡμολόγει; ἐπὶ 14
τούτοις ὁ Φιλόστρατος ὁ τἀληθὲς τιμᾶν πρὸς τοῦ Φιλαλήθους μεμαρτυρημένος, ὅρα τῆς ἀληθείας ὁποῖα δείγματα παρίστησι· γενόμενον παρ' Ἰνδοῖς τὸν Ἀπολλώνιον παραστήσασθαί φησιν ἑρμηνέα καὶ δι' αὐτοῦ προσδιαλέγεσθαι Φραώτῃ, τοῦτο δ' εἶναι τῷ βασιλεῖ τῶν Ἰνδῶν ὄνομα, καὶ ὁ μικρῷ πρόσθεν κατ' αὐτὸν πασῶν γλωσσῶν συνεὶς νῦν αὖ κατὰ τὸν αὐτὸν ἑρμηνέως δεῖται. καὶ πάλιν ὁ (τὰ) κατὰ διάνοιαν

ἀνθρώπων εἰδὼς καὶ μόνον οὐχὶ κατὰ τὸν παρ' αὐτοῖς θεὸν

κωφοῦ τε ξυνιεὶς καὶ οὐ λαλέοντος ἀκούων

δι' ἑρμηνέως ἀνερωτᾷ, ὁποία τις εἴη τῷ βασιλεῖ δίαιτα, ἡγεμόνα τε ἀξιοῖ τῆς ἐς Βραχμᾶνας πορείας γενέσθαι τινὰ αὐτῷ. καὶ μεταξὺ ὁ μὲν τῶν Ἰνδῶν βασιλεὺς καὶ ταῦτα βάρβαρος ὢν τὴν φύσιν τὸν ἑρ-
442 *μηνέα ἐκποδὼν μεταστησάμενος Ἑλλάδι χρῆται πρὸς αὐτὸν τῇ ὁμιλίᾳ παιδείαν καὶ πολυμάθειαν ἐνδεικνύμενος, ὁ δὲ οὐδ' ὥς, ὅτι δὴ καὶ αὐτὸς τῆς παρ' αὐτοῖς οὐκ ἀμαθῶς ἔχοι φωνῆς δέον ἐπεφιλοτιμή-*
15 *σατο, ἀλλὰ καὶ λαλοῦντος Ἑλλάδι γλώσσῃ τοῦ Ἰνδοῦ ἐκπλήττεται, ᾗ φησιν ὁ Φιλόστρατος ἀκόλουθα, ὡς ἔοικεν, ἑαυτῷ γράφων. πῶς γὰρ ἂν ἐξεπλάγη μὴ οὐχὶ βάρβαρον οἰηθείς; καὶ τὸν τοιοῦτον θαυμάσας οὔποτ' ἂν ἑλληνίσαι προσεδόκησεν· εἶθ', ὥσπερ τι παραδόντα παράδοξον καταπλαγεὶς καὶ τὸ τούτου ἔτ' ἀγνοῶν αἴτιον „εἰπέ μοι“ ἔφη ὁ Ἀπολλώνιος „ὦ βασιλεῦ, πόθεν οὕτως ἔχεις φωνῆς Ἑλλάδος; φιλοσοφία τε ἡ περὶ σὲ πόθεν ἐνταῦθα; οὐδὲ γὰρ ἐς διδασκάλους γε, οἶμαι, ἀναφέρεις, ἐπεὶ μηδὲ εἶναι Ἰνδοῖς (εἰκὸς) διδασκάλους τούτου.“ αὗται αἱ παράδοξοι τοῦ πάντα προγνώσει διειληφότος φωναί, ἃς ὁ βασιλεὺς ἀμειβόμενος, ὅτι τε σχοίη διδασκάλους καὶ οἵτινες οὗτοι ἕκαστά τε πατρόθεν τῶν*
16 *περὶ αὐτὸν συμβεβηκότων φράζει. εἶτα καί τισι τοῦ Ἰνδοῦ δικάζοντος περὶ θησαυροῦ φωραθέντος ἐν ἀγρῷ, πότερα τῷ πριαμένῳ ἢ τῷ τὸ χωρίον ἀποδομένῳ δέοι νεῖμαι τοῦτον, ὁ πάντα φιλόσοφος καὶ θεοῖς κεχαρισμένος ἐρωτηθεὶς ἐπικρίνει τῷ πριαμένῳ, λογισμὸν δὴ αὐτοῖς ῥήμασιν ἐπειπὼν „ὡς οὐκ*
ἂν οἱ θεοὶ τὸν μὲν ἀφείλοντο καὶ τὴν γῆν, εἰ μὴ 66

φαῦλος ἦν, τῷ δ' αὖ καὶ τὰ ὑπὸ γῆν δοῦναι, εἰ μὴ βελτίων ἦν τοῦ ἀποδομένου." ὡς κατ' αὐτὸν δὴ συνάγεσθαι, τοὺς μὲν εὐπόρους καὶ πλούτῳ διαφέροντας, κἂν αἰσχρότατοι καὶ πανωλέστατοι τυγχάνοιεν, τρισευδαίμονας καὶ θεοφιλεῖς ἡγεῖσθαι, μόνους δ' ἄρα κακοδαίμονάς τε καὶ ἀθλίους τοὺς πενεστάτους, κἂν Σωκράτης, κἂν Διογένης, κἂν αὐτὸς ἐκεῖνος Πυθαγόρας τυγχάνῃ, κἂν ἄλλος, οἳ πάντων ἀνδρῶν σωφρονέστατοί τε καὶ ἐπιεικέστατοι. εἴποι γὰρ 443 ἄν τις ἑπόμενος τῷ λόγῳ μὴ ἂν κατ' αὐτὸν τοὺς θεοὺς τοὺς μὲν πένητας, τούτους δὴ αὐτούς, οἳ κατὰ φιλοσοφίαν διήνεγκαν, ἀφελέσθαι καὶ τὰ πρὸς τὴν ἀναγκαίαν τροφὴν μὴ οὐχὶ πάντως φαύλους ὄντας τὸν τρόπον, τοῖς δὲ τὸ ἦθος ἀκολαστοτέροις ἄφθονα καὶ τὰ μὴ ἀναγκαῖα παρασχεῖν, εἰ μὴ βελτίους ἐτύγχανον τῶν προτέρων, ἐξ ὧν παντί τῳ καταφανὴς ἡ τοῦ συμπεράσματος ἀτοπία.

Ταῦτα καὶ ἀπὸ τοῦ δευτέρου παραθέμενοι ἴωμεν 17 ἐπὶ τὸ τρίτον τὰ κατὰ τοὺς βεβοημένους ἐποψόμενοι Βραχμᾶνας· ἔνθα δὴ τὰ ὑπὲρ Θούλην ἄπιστα καὶ εἴ τί περ ἄλλο τερατῶδές ποτε μυθολόγοις τισὶν ἀναπέπλασται, εὖ μάλα πιστὰ καὶ ἀληθέστατα, ὡς ἐν παραθέσει τούτων, ἀναφανήσεται, οἷς καὶ τὸν νοῦν ἐπιστῆσαι ἄξιον τῆς τοῦ Φιλαλήθους ἕνεκεν αὐθαδείας ἡμῖν μὲν εὐχέρειαν καὶ κουφότητα τρόπου περιάπτοντος, αὑτῷ δὲ καὶ τοῖς αὑτῷ παραπλησίοις τὴν ἀκριβῆ καὶ βεβαίαν μετὰ συνέσεως κρίσιν. ὅρα γοῦν, ἐφ' οἷς σεμνύνεται παραδόξοις τῶν ἡμετέρων θείων εὐαγγελιστῶν προκρίνων τὸν Φιλόστρατον, ὡς μὴ μόνον παιδείας ἐπὶ πλεῖστον ἥκοντα, ἀλλὰ καὶ ἀληθείας ἐπιμεμελημένον. πρῶτα μὲν οὖν ἐν τῇ 18 πρὸς τοὺς Βραχμᾶνας πορείᾳ τοῦ Ἀπολλωνίου γυνὴ

τις αὐτῷ τὴν χροιὰν εἰσάγεται ἀπὸ τῆς κεφαλῆς ἐς
ὀσφὺν λευκοτάτη, τὸ δὲ ἕτερον μέρος τοῦ σώματος
μέλαινα, τὰ δὲ προϊόντων τῆς ἐπὶ τοὺς Βραχμᾶνας
ὁδοῦ ὄρη καταπεφυτευμένα τὸ πέπερι καὶ τούτου
πίθηκοι γεωργοὶ καὶ παράδοξοί τινες τὸ μέγεθος δρά-
κοντες, ὧν ἀπὸ κεφαλῆς λαμπάδες ἀπορριπτοῦνται
πυρός, οὓς εἴ τις ἀνέλοι, εὕροι ἄν, φησι, παραδόξους
λίθους ἐν ταῖς κεφαλαῖς τῷ τοῦ Γύγου τοῦ παρὰ
τῷ Πλάτωνι παραπλησίους. καὶ ταῦτα μὲν τὰ πρὸ
τοῦ τῶν Βραχμάνων λόφου. ὡς δὲ καὶ εἰς αὐτὸν
ἀφίκοντο, σανδαράκινον ἐνταῦθα φρέαρ ὕδατος ἰδεῖν
παραδόξου καὶ κρατῆρα πλησίον πυρός, οὗ φλόγα
ἀναπέμπεσθαι μολιβδώδη, δύο τε πίθους λίθου μέ-
λανος τὸν μὲν ὄμβρων, τὸν δὲ ἀνέμων, ἀφ' ὧν τοὺς
Βραχμᾶνας, οἷς ἂν εἶεν τῆς χώρας ἵλεῳ, χορηγεῖν.
444 ἀλλά γε καὶ ἀγάλματα παρ' αὐτοῖς Ἀθηνᾶς Πολιάδος
καὶ Ἀπόλλωνος Πυθίου καὶ Διονύσου Λιμναίου, καὶ
ἄλλων τινῶν Ἑλληνικῶν θεῶν, Ἰάρχαν δὲ τὸν ἐπὶ
πάντων διδάσκαλον καλεῖσθαι, ὃν καὶ ἰδεῖν καθεζό-
μενον πολλοῦ γε δεῖ φιλοσοφικῷ, σατραπικῷ δ' ἂν
μᾶλλον σχήματι ἐφ' ὑψηλοτάτου δίφρου, χαλκοῦ δὲ
μέλανος οὗτος ἦν καὶ πεποίκιλτο χρυσέοις ἀγάλμασιν,
οἷα δὴ εἰκὸς τεχνουργῶν βαναύσων τρόπον πυρὶ καὶ
σιδήρῳ μοχθοῦντας τοὺς φιλοσόφους τεχνουργεῖν, ἢ
καὶ θαυματοποιῶν δίκην αὐτόματον ἀποτελεῖν τὸ
δημιούργημα, οἱ δὲ τῶν ἄλλων τῶν μετ' αὐτὸν διδα-
σκάλων δίφροι χαλκοῖ μέν, φησιν, ἄσημοι δ' ἦσαν
καὶ ἧττον ὑψηλοί. ἔδει γάρ που πάντως τυράννου
σχήματι προνομίας τῆς ἐν ἀγάλμασι καὶ χρυσῷ τὸν
19 τῆς θείας φιλοσοφίας ἀξιοῦσθαι διδάσκαλον. πρῶ-
τον δὲ τὸν Ἰάρχαν ἰδόντα φησὶ τὸν Ἀπολλώνιον ἐξ
ὀνόματός τε προσειπεῖν Ἑλλάδι τῇ φωνῇ καὶ ἣν

αὐτῷ παρὰ Φραώτου κομίζοι, ἐπιστολήν αἰτῆσαι κατὰ πρόγνωσιν ἤδη τοῦτο προειληφότα ἐνδείξασθαί τε τὸ ἔνθεον τῆς προγνώσεως προειρηκότα, ὡς ἄρα ἑνὶ γράμματι τῷ δέλτα λείποι ἡ ἐπιστολὴ ἄρξασθαί τε ἀπειροκάλως εὐθὺς ἀπὸ πρώτης ὁμιλίας ἀπειροπλούτου δίκην ἐνεπιδείκνυσθαι τὸ τῆς προγνώσεως πλεονέκτημα πατέρα καὶ μητέρα καταλέγοντα τοῦ Ἀπολ-
67 λωνίου γένος τε καὶ τροφὴν καὶ παιδείαν καὶ τὰς κατὰ * χρόνους ἀποδημίας καὶ τὴν εἰς αὐτὸν πορείαν καὶ τὰ κατ' αὐτὴν πεπραγμένα τε αὐτῷ καὶ ὡμιλημένα. εἶτα δέ φησιν αὐτὸς οὗτος ὁ θαυμάσιος συγγραφεὺς τοὺς Βραχμᾶνας ἅμα τῷ Ἀπολλωνίῳ χρισαμένους ἠλεκτρίνῳ φαρμάκῳ λούσασθαι καὶ περιστάντας ὡς ἐν χορῷ τὴν γῆν τύψαι ταῖς ῥάβδοις, τὴν δὲ κυρτωθεῖσαν ἀναπέμψαι αὐτοὺς εἰς δίπηχυ τοῦ ἀέρος, ἑστάναι τε αὐτοὺς μετεώρους ἐν αὐτῷ ἀέρι ἐπί τι χρόνου διάστημα, ἕλκειν δὲ καὶ πῦρ ἀπὸ τοῦ ἡλίου, ὅτε βούλοιντο, αὐτομάτως. τούτοις δ' ἐπιφέρει παράδοξον ὁ θαυματολόγος, ὡς ἄρα τρίποδες Πυθικοὶ τέτταρες ἐξεκυκλήθησαν αὐτόματοι φοιτῶντες, καὶ εἰκάζει δὴ οὖν αὐτοὺς τοῖς Ὁμηρείοις 445
οἰνοχόους τε ἐπὶ τούτοις ἐκ χαλκοῦ διακόνους τὴν ὕλην ἵστησι τέτταρας, ἐπιλέγει δέ, ὡς ἄρα καὶ ἡ γῆ αὐτομάτως ὑπεστόρνυτο αὐτοῖς πόας. τῶν δὲ τριπόδων οἱ μὲν δύο, φησίν, οἴνου ἀπέρρεον, οἱ δὲ ἕτεροι δύο ὁ μὲν ὕδατος θερμοῦ κρᾶσιν παρεῖχεν, ὁ δ' αὖ ψυχροῦ. τοὺς δὲ οἰνοχόους τοὺς χαλκοῦς ἀρύεσθαι εὐμέτρως τοῦ τε οἴνου καὶ τοῦ ὕδατος, περιελαύνειν τε κύκλῳ τὰς κύλικας, ὥσπερ ἐν τοῖς πότοις. ταῦτα 20
Ἱεροκλεῖ τὰ ἀνωτάτω καὶ καθόλου δικαστήρια πεπιστευμένῳ μετὰ πολλῆς ἀνετάσεως ἀληθῆ καὶ πιστὰ εἶναι δοκεῖ καὶ ἡμῶν μὲν εὐχέρεια καὶ κουφότης

*πλείστη ὅση κατέγνωσται παρ᾽ αὐτῷ, αὐτὸς δὲ τοι-
αῦτα Φιλοστράτῳ πιστεύων αὐτοῖς δὴ ῥήμασι σεμνύ-
νεται λέγων „ἐπισκεψώμεθά γε μήν, ὅσῳ βέλτιον καὶ
συνετώτερον ἡμεῖς ἐκδεχόμεθα τὰ τοιαῦτα, καὶ ἣν
21 περὶ τῶν ἐναρέτων ἀνδρῶν ἔχομεν γνώμην.“ ἐπὶ
τοιούτῳ δὴ τῷ συμποσίῳ κατὰ τὸν αὐτὸν Φιλόστρα-
τον βασιλεὺς ἐγχωριάζων Ἰνδοῖς εἰσάγεται συμπίνων
τοῖς φιλοσόφοις, τοῦτον δὲ ἐνυβρίζειν καὶ ἐμπαρ-
οινεῖν φιλοσοφίᾳ μεθύσκεσθαί τε παρ᾽ αὐτοῖς καὶ
ἀντιπαρεξάγειν Ἡλίῳ καὶ ἀλαζονεύεσθαι ἱστορεῖ,
καὶ πάλιν τὸν Ἀπολλώνιον δι᾽ ἑρμηνέως τὰ παρὰ
τούτου μανθάνειν καὶ αὖ πάλιν πρὸς αὐτὸν διαλέ-
γεσθαι ὑφερμηνεύοντος τοῦ Ἰάρχα· καὶ πῶς οὐ θαυ-
μάζειν ἄξιον, ὅπως τὸν οὕτως ὑβριστὴν καὶ ἀτοπώ-
τατον παροινεῖν καὶ μεθύσκεσθαι παρὰ τηλικούτοις
εἰκὸς ἦν, ὃν οὐδὲ παρεῖναι ἄξιον ἐν φιλοσόφων μή
τί γε καὶ ἰσοθέων ἑστίᾳ; τί δέ μοι ἰσοθέους τούτους
καλεῖν καὶ τῆς ἀξίας * ἐνυβρίζειν τοὺς ἄνδρας; ὁπότε
πυθομένου τοῦ Ἀπολλωνίου, τίνας ἑαυτοὺς ἡγοῦν-
ται, θεοὺς ἔφη ὁ Ἰάρχας, ὃς καὶ τοῖς συμπόταις, οἷα
δὴ θεὸς φιλοσόφου μὲν ἥκιστα τρόπῳ, πολλοῦ γε
δεῖ, μή τί γε μᾶλλον, οὗ ἔφησε, θεοῦ ἀξίως, (ἐς) τὴν
φιάλην ἐπικύπτων ἐξῆρχεν, ἡ δέ, φησιν ὁ συγγρα-
φεύς, ὡς ἄρα ἐπότιζεν ἱκανῶς πάντας, (καὶ) ἐπεδίδου,
446 καθάπερ αἱ ἀπόρρητοι πηγαὶ τοῖς ἀνιμωμένοις. μετὰ
22 ταῦτα κοιναὶ λόγων ὁμιλίαι καὶ σπουδαιολογίαι τῶν
φιλοσόφων τοῦ μὲν Ἰάρχα διδάσκοντος, ὡς ἄρα ποτὲ
αὐτῷ ἡ ψυχὴ ἐν ἑτέρῳ ἀνθρώπου βασιλέως γένοιτο
σώματι καὶ τοιαδί τινα αὐτῷ πεπραγμένα εἴη, τοῦ
δὲ Ἀπολλωνίου, ὡς νηὸς Αἰγυπτίας ποτὲ γένοιτο
κυβερνήτης, καὶ τὰ τοιαῦτα διαπράξαιτο, πεύσεις τε
καὶ ἀποκρίσεις [ἑκάστου], ὧν καὶ τῆς σοφίας ἄξιον*

*μηδαμῶς παρεκθέσθαι τὴν μνήμην. ἐρέσθαι δέ φησι
τὸν Ἀπολλώνιον, εἰ ἔστι παρ' αὐτοῖς χρύσεον ὕδωρ
— ὢ τοῦ σοφοῦ καὶ παραδόξου πύσματος — καὶ
περὶ ἀνθρώπων δὲ ὑπὸ γῆν οἰκούντων καὶ Πυγμαίων
ἄλλων καὶ σκιαπόδων ἀνερωτᾶν, καὶ εἰ γίγνοιτο παρ'
αὐτοῖς ζῷον τετράπουν, ὃ λέγεται μαρτιχόρα, ὃ τὴν
κεφαλὴν ἀνθρώπῳ εἰκάσθαι, λέοντι δὲ ὡμοιῶσθαι
τὸ μέγεθος, τὴν δὲ οὐρὰν ἐκφέρειν πηχυαίας καὶ
ἀκανθώδεις τὰς τρίχας, ἃς βάλλειν ὥσπερ τοξεύματα
ἐς τοὺς θηρῶντας, καὶ τοιαῦτα μὲν τὸν Ἀπολλώνιον
ἀνερωτᾶν, τὸν δὲ Ἰάρχαν διδάσκειν αὐτὸν περὶ μὲν
τῶν Πυγμαίων, ὡς ἄρα εἶεν οἰκοῦντες μὲν ὑπόγειοι,
διατρίβοντες δὲ ὑπὲρ τὸν Γάγγην ποταμὸν ζῶντες,
περὶ δὲ τῶν ἄλλων, ὡς ἀνύπαρκτα εἴη. ἔριον ἐπὶ* 23
*τούτοις φυόμενον αὐτοῖς ἀπὸ γῆς ἐς ἐσθῆτος ὕλην
ὁ Φιλόστρατος ἀναγράφει, πάντως δήπου τῶν φιλο-
σόφων ἱστὸν ἐποιχομένων καὶ ταλασιουργίαις ἐς*
68 *ἐσθῆτος κατεργασίαν ἐκπονουμένων — οὐδὲ γὰρ
εἴσηκται παρ' αὐτοῖς γυναικεῖον φῦλον — εἰ μὴ καὶ
τοῦτο φήσειεν αὐτόματον αὐτοῖς παραδόξως δὴ ἱερὰν
ἐς ἐσθῆτα μεταφύεσθαι. φέρειν δ' ἕκαστον αὐτῶν* 447
*ῥάβδον καὶ δακτύλιον ἀπόρρητον ἔχοντα ἰσχύν. εἶτα
παραδοξοποιίαι τοῦ Βραχμᾶνος, ὡς δαιμονῶντα δι'
ἐπιστολῆς ἀνακαλέσαιτο, ὡς χωλεύοντα καταψήσας
τὸν γλουτὸν θεραπεύσειεν, ὡς τυφλῷ τὸ βλέπειν
καὶ ἀδρανεῖ τινι τὴν χεῖρα σφᾶν χαρίζοιτο. πολλὰ* 24
*κἀγαθὰ γένοιτο πραγμάτων ἡμᾶς ἀπολύσαντι τῷ
συγγραφεῖ· δῆλα γάρ, ὡς ἀληθῆ καὶ ταῦτα, ὅτε
βροντὰς καὶ ἀνέμους ἐν πίθοις τρίποδάς τε ἐκ λίθου
φοιτῶντας αὐτομάτως καὶ οἰνοχόους ἀπὸ χαλκοῦ
περιελαύνειν ἐν κύκλῳ τὰς κύλικας προιστορήσας
διὰ τῆς περὶ τούτων ὡς ἀληθῶν ἀφηγήσεως καὶ τῶν*

λοιπῶν ἁπάντων ἐξέφηνέ τε καὶ διήλεγξε τὴν μυθο-
25 λογίαν. εἰρηκέναι δέ φησιν ὁ Φιλόστρατος τὸν Δά-
μιν δίχα τῆς αὐτοῦ παρουσίας καὶ τῷ Ἰάρχᾳ συμφι-
λοσοφῆσαι τὸν Ἀπολλώνιον εἰληφέναι τε παρ' αὐτοῦ
δακτυλίους ἑπτὰ ἐπωνύμους ἀστέρων, οὓς καὶ φο-
ρεῖν αὐτὸν καθ' ἕνα πρὸς τὰ ὀνόματα τῶν ἡμερῶν.
ταῦτα δὲ νῦν εἰπὼν ὁ τἀληθὲς τιμᾶν παρὰ τῷ Φι-
λαλήθει νενομισμένος μεθ' ἕτερα τῆς γραφῆς, ὡς
ἂν δὴ γοητείαν τῶν Βραχμάνων καταγνοὺς καὶ ταύ-
της ἐλεύθερον καταστῆσαι τὸν Ἀπολλώνιον φροντί-
σας ἐπιφέρει φάσκων κατὰ λέξιν· „ἰδὼν δὲ παρὰ
τοῖς Ἰνδοῖς τοὺς τρίποδας καὶ τοὺς οἰνοχόους καὶ
ὅσα αὐτόματα ἐσφοιτᾶν εἶπον, οὔθ', ὅπως σοφίζοιντο
αὐτά, ἤρετο, οὔτε ἐδεήθη μαθεῖν, ἀλλ' ἐπῄνει μέν,
ζηλοῦν δὲ οὐκ ἠξίου.“ καὶ πῶς, ὦ οὗτος, οὐκ ἠξίου;
ὁ δίχα τοῦ Δάμιδος σπουδὴν ποιούμενος συμφιλο-
σοφεῖν αὐτοῖς καὶ τὸν μόνον ἑταῖρον, ὅ τι καὶ πράτ-
τοι, λανθάνειν δέον ἡγούμενος; πῶς δὲ οὐκ ἠξίου
ζηλοῦν ὁ τοὺς τῶν ἀστέρων ἐπωνύμους καταδεχόμε-
νος δακτυλίους καὶ τούτους ἀναγκαῖον τιθέμενος
διὰ παντὸς τοῦ βίου φέρειν πρὸς τὰ ὀνόματα τῶν
ἡμερῶν καίτοι γε ἀπόρρητον, ὡς φῂς αὐτός, ἔχον-
448 τας ἰσχύν; εἰ δὲ καὶ δοθείη τὸ μὴ ζηλοῦν ἠξιωκέναι
αὐτὸν ὡς μὴ εὖ πράττοντα, οὐκ ἐζήλου δηλονότι.
πῶς οὖν ἐπῄνει, ἐφ' οἷς μὴ ἠξίου ζηλοῦν; εἰ δ' ὡς
θείως ἐνεργοῦντας ἐπῄνει, πῶς οὐκ ἐζήλου τὰ ἐπαί-
νων ἄξια; ἀλλὰ γὰρ μετὰ τὴν παρὰ τούτοις διατρι-
βὴν παλινοστοῦντα αὐτὸν ἅμα τοῖς ἑταίροις ἐληλυ-
θέναι φησὶν ἐς τὴν τῶν Ὠρειτῶν χώραν, ἔνθα χαλκαῖ
μὲν αὐτοῖς αἱ πέτραι, χαλκῆ δὲ ἡ ψάμμος, χαλκοῦ δὲ
ψῆγμα οἱ ποταμοὶ ἄγουσι.

26 Καὶ τοσαῦτα μὲν τὰ κατὰ τὸ τρίτον σύγγραμμα,

ἐπίωμεν δ' ἤδη καὶ τὰ ἑξῆς. ἐπανελθόντα φησὶν
ἀπὸ τῆς Ἰνδῶν χώρας ἐπὶ τὴν Ἑλλάδα κοινωνὸν τῶν
θεῶν πρὸς αὐτῶν τῶν θεῶν ἀνακεκηρῦχθαι, οἳ καὶ
τοὺς κάμνοντας ὡς αὐτὸν ἐφ' ὑγείᾳ παρέπεμπον,
καὶ δῆτα ὡς ἐξ Ἀράβων καὶ μάγων καὶ Ἰνδῶν παρά-
δοξόν τινα καὶ θεῖον ἡμῖν αὐτὸν ἀγαγὼν παραδόξων
ἐντεῦθεν ἀφηγημάτων κατάρχεται. καίτοι ἄν τις
εἴποι εὐλόγως, ὅτι δὴ εἰ θειοτέρας ἢ κατ' ἄνθρωπον
φύσεως ἦν, πάλαι, ἀλλ' οὐ νῦν ἔδει, πρὸ τῆς δὲ
ἑτέρων μεταλήψεως τῶν θαυμασίων κατάρχεσθαι,
περιττὴ δ' ἂν καὶ ἡ ἐξ Ἀράβων αὐτῷ μάγων τε καὶ
Ἰνδῶν διὰ σπουδῆς ἐπεχειρεῖτο πολυμάθεια, εἰ δή
τις κατὰ τὴν δοθεῖσαν ὑπῆρξεν ὑπόθεσιν· ἀλλ' οὗ-
τός γε κατὰ τὸν φιλαλήθη συγγραφέα νῦν δὴ πάρεστι
μετὰ τοσούτους διδασκάλους τὴν σοφίαν ἐνεπιδει- 27
κνύμενος, καὶ πρῶτα μὲν οἷα ἐξ Ἀράβων καὶ τῆς
παρ' αὐτοῖς οἰωνιστικῆς ὁρμώμενος τὸν στρουθόν,
ὅ τι καὶ βούλοιτο τοὺς ἑτέρους ἐπὶ τροφὴν παρακα-
λῶν ἑφερμηνεύει τοῖς παροῦσιν, εἶτα δὲ λοιμοῦ (ἐν
Ἐφέσῳ) προαισθόμενος προμαντεύεται τοῖς πολίταις.
τὴν δ' αἰτίαν καὶ τούτου ἐν τῇ πρὸς Δομετιανὸν
ἀπολογίᾳ αὐτὸς παρατίθεται. ἐρομένου γάρ τοι αὐ-
τόν, ὁπόθεν ὁρμώμενος τοῦτο προείποι, „λεπτοτέρᾳ“
ἔφη „χρώμενος, ὦ βασιλεῦ, διαίτῃ πρῶτος τοῦ δει-
νοῦ ᾐσθόμην.“ καὶ τρίτον δ' αὐτοῦ θαῦμα γεγονὸς 449
69 ἱστορεῖ, ὡς δὴ ἀλεξήσαντος τὸν λοιμόν, ὅπερ εἰ καὶ
τὰ μάλιστα ἐν ταῖς ἐπὶ τέλει κατ' αὐτοῦ κατηγορίαις
οὐ τέθεικεν ὁ συγγραφεύς, ὅτι μὴ παρῆν, ὡς εἰκός,
αὐτῷ δι' ἀπολογίας ἀπολύσασθαι τὸ ἔγκλημα, φέρε
δ' οὖν ὅμως αὐτοὶ τὴν ἱστορίαν ἐς φανερὸν ὑπο-
θώμεθα, οὕτω δὴ καὶ ταύτην εὐθύνοντες. εἴ τινι
γὰρ οὐκ [ἂν] εἴη σαφές, ὅτι δὴ πολὺ τὸ πλάσμα καὶ

ἀπατηλὸν γοητείας τε ὡς ἀληθῶς ἔμπλεων, αὐτὸς ὁ τρόπος ἀπελέγχει τῆς ἱστορίας. τὸν γάρ τοι λοιμὸν ὑποτίθεται ἐν εἴδει πτωχεύοντος καὶ ῥάκεσιν ἠμφιεσμένου πρεσβύτου ἀνδρὸς ἑωρᾶσθαι, ὃν καταλεύειν ἐπικελευσαμένου τοῦ Ἀπολλωνίου πρότερον μὲν πῦρ βάλλειν τῶν ὀφθαλμῶν, εἶθ᾽ ὕστερον βληθέντα λίθοις κύνα συντετριμμένον καὶ παραπτύοντα ἀφρόν, ὡς οἱ λυττῶντες, φανῆναι, εἰρηκέναι δ᾽ αὐτὸν περὶ τούτου καὶ ἐν τῇ πρὸς τὸν αὐτοκράτορα Δομετιανὸν ἀπολογίᾳ ταῦτα γράφει· „τὸ γὰρ τοῦ λοιμοῦ εἶδος, πτωχῷ δὲ γέροντι εἴκαστο, καὶ εἶδον καὶ ἰδὼν εἷλον οὐ παύσας νόσον, ἀλλ᾽ ἐξελών.“ τίς δὴ οὖν ἐπὶ τούτοις οὐ μέγα τὴν τοῦ θαυματοποιοῦ γελάσεται παραδοξοποιίαν ζῷον ὀφθαλμοῖς καὶ λίθων ὑποπῖπτον βολαῖς συντριβόμενόν τε πρὸς ἀνθρώπων καὶ ἀφρὸν παραπτῦον τὴν τοῦ λοιμοῦ φύσιν ἀκούων, ὃς οὐδ᾽ ἄλλ᾽ ὁτιοῦν τυγχάνει ἢ φθορὰ καὶ κάκωσις ἀέρος ἐπὶ τὸ νοσῶδες τρεπομένου τοῦ περιέχοντος ἐκ πονηρῶν τε καὶ φαύλων ἀναθυμιάσεων, ᾗ λόγος ἰατρικὸς παραδίδωσι, συνισταμένου; καὶ ἄλλως δ᾽ ἂν τὸ φάσμα διευθυνθείη, ἐπείπερ μόνῃ τῇ τῶν Ἐφεσίων πόλει, ἀλλ᾽ οὐχὶ καὶ τοῖς ὁμόροις τὸν λοιμὸν ἐπισκῆψαί φησιν ὁ λόγος, ὅπερ πῶς οὐκ ἂν γεγόνει κάκωσιν τοῦ περιέχοντος πεπονθότος; οὐ γὰρ δὴ κατακλεισθὲν μόνῳ ἂν ἐφήδρευσε τῷ περὶ
28 τὴν Ἔφεσον ἀέρι τὸ νόσημα. τέταρτον αὐτῷ παρά-
δοξον Ἀχιλλέως ἦν ψυχὴ πρότερον μὲν ἐν χλαμύδι
450 πεντάπηχυς, εἶτα δωδεκάπηχυς τὸ μέγεθος παρὰ τῷ
ἰδίῳ αὐτοῦ μνήματι φαινομένη Θετταλούς τε καται-
τιωμένη, ὅτι δὴ τὰ ἐναγίσματα αὐτῷ, ὡς ἔθος ἦν,
οὐκ ἐπετέλουν, μηνιῶσά τε εἰσέτι Τρωσὶ τῶν ἐς
αὐτὸν πεπλημμελημένων καὶ προστάττουσα τῷ Ἀπολ-

λωνίῳ πέντε λόγους, οὓς ἂν αὐτός τε βούλοιτο καὶ αἱ Μοῖραι συγχωροῖεν, ἀνερέσθαι. εἶθ' ὁ πάντα εἰδὼς καὶ τῶν μελλόντων πρόγνωσιν αὐχῶν ἔτι ἀγνοεῖ, εἰ τάφου τύχοι Ἀχιλλεὺς καὶ εἰ Μουσῶν θρῆνοι καὶ Νηρηΐδων ἐπ' αὐτῷ γεγόνασι, καὶ περὶ τούτων αὐτὸν ἀνερωτᾷ καὶ διαπυνθάνεται, εἰ Πολυξένη ἐπισφαγείη αὐτῷ καὶ εἰ Ἑλένη ἐς Τροίαν ἐληλύθοι, ὡς σεμνά γε καὶ κατεπείγοντα εἰς τὸν φιλόσοφον βίον τοῦ ἥρωος καὶ σπουδῆς ἄξια ἐρωτήματα. θαυμάζει δ' ἐπὶ τούτοις, εἰ τοσοῦτοι ἥρωες παρὰ τοῖς Ἕλλησιν ἑνὶ χρόνῳ γεγόνασι καὶ εἰ ἀφίκετο ἐς Τροίαν Παλαμήδης. τὸν δὴ θεῶν ὁρωμένων τε καὶ οὐχ ὁρωμένων ὁμιλητὴν τοιαῦτα ἀγνοεῖν, καὶ περὶ τοιούτων ἀνερωτᾶν, ποίας οὐχὶ γένοιτ' ἂν αἰσχύνης; εἰ μὴ ἄρα, ἐπειδὴ νεκροῖς ὁμιλῶν εἰσῆκται, ἐπὶ τὸ ψυχρότερον μεταποιεῖ τὰς πεύσεις ὁ συγγραφεύς, ὡς ἂν ὑπεκλύσειε τὴν ὑπόνοιαν τοῦ πέρα τῶν προσηκόντων αὐτὸν περιειργάσθαι δοκεῖν, καὶ γὰρ δὴ καὶ ἀπολογούμενον αὐτὸν ὑπογράφει, ὅτι μὴ κατὰ νεκρομαντείαν ὁ τρόπος αὐτῷ τῆς φανείσης ὄψεως γένοιτο, „οὔτε γὰρ βόθρον" εἶπεν „Ὀδυσσέως ὀρυξάμενος, οὐδ' ἀρνῶν αἵμασι ψυχαγωγήσας, ἐς διάλεξιν τοῦ Ἀχιλλέως ἦλθον, ἀλλ' εὐξάμενος ὁπόσα τοῖς ἥρωσιν Ἰνδοί φασι δεῖν εὔξασθαι." καὶ ταῦτα νῦν πρὸς τὸν ἑταῖρον ἀποσεμνύνεται ὁ μηδὲν μαθεῖν παρ' Ἰνδῶν, μηδὲ ζηλῶσαι τὴν παρ' αὐτοῖς σοφίαν πρὸς τοῦ συγγραφέως μεμαρτυρημένος. τί δῆτα 29
οὖν, ὦ οὗτος, εἰ μή τις ἦν κακοήθης περιεργία, μηδὲ τὸν ἕνα σοι καὶ γνήσιον καὶ μόνον ἑταῖρον Δάμιν κοινωνὸν ἐποιοῦ τῆς θαυμαστῆς ταύτης ὄψεώς τε
70 καὶ ὁμιλίας; τί δ' οὐχὶ καὶ δι' ἡμέρας τοῦτο ποιεῖν 451
ἐξῆν, ἀλλὰ τῶν νυκτῶν ἀωρὶ καὶ μόνον; τί δὲ καὶ

ἤλαυνον τὴν τοῦ ἥρωος ψυχὴν ἀλεκτρυόνων βοαί; „ἀπῆλθε γὰρ“ φησι „ξὺν ἀστραπῇ μετρίᾳ, καὶ γὰρ δὴ καὶ ἀλεκτρυόνες ἤδη ᾠδῆς ἥπτοντο.“ δαίμοσι μὲν οὖν πονηροῖς γένοιτ' ἂν ἴσως ὁ τῆς ὥρας ἐπιτήδειος εἰς περιέργους ὁμιλίας καιρός, ἀλλ' οὐχὶ ἡρωίδι ψυχῇ, ἣν τῆς παχείας τοῦ σώματος ἐλευθερωθεῖσαν ὕλης ἀγαθὴν καὶ πανάρετον εἶναι χρεών. ὅ γε μὴν εἰσηγμένος ἐνταῦθα δαίμων βάσκανος καὶ φθονερὸς τὸν τρόπον ὀργίλος τε καὶ ταπεινὸς τὴν διάθεσιν ὑποτετύπωται. ἢ οὐχὶ τοιοῦτος ὁ τὸν Ἀντισθένην μειράκιόν τι σπουδαῖον ὡς ἂν δὴ φιλοσόφῳ συνέπεσθαι τῷ Ἀπολλωνίῳ πειρώμενον ἀπείργων; προστάττει γὰρ τὸ μὴ ποιεῖσθαι αὐτὸν συνέμπορον τῆς ἑαυτοῦ φιλοσοφίας ἐπιλέγων τὴν αἰτίαν· „Πριαμίδης τε γάρ“ φησιν „ἱκανῶς ἐστι καὶ τὸν Ἕκτορα ὑμνῶν οὐ παύεται.“ πῶς δὲ οὐκ ὀργίλος καὶ ταπεινὸς ὁ Θετταλοῖς, ὅτι μὴ θύοιεν αὐτῷ, θυμούμενος καὶ Τρωσίν, ὅτι δὴ πρὸ μυρίων ὅσων ἐτῶν εἰς αὐτὸν διημαρτήκασι, μὴ καταλλασσόμενος καὶ ταῦτα θύουσι καὶ συνεχῶς σπενδομένοις, ἀλλὰ καὶ τὸν Παλαμήδους τάφον αὐτῷ ἀγάλματι φαύλως ἐρριμ-
30 μένῳ ἀναλαβεῖν ἐγκελευόμενος; τὸ μέντοι πέμπτον καὶ ἕκτον θαῦμα οὐ πολλῆς (ἂν) δέοιτο τοῦ λόγου διατριβῆς εἰς ἔνδειξιν τῆς τοῦ γράφοντος εὐχερείας· δαίμονας γὰρ ἀπελαύνει ἄλλῳ ἄλλον, ᾗ φασι, δαίμονι, τὸν μὲν γὰρ ἐξ ἀκολάστου μειρακίου, τὸν δὲ ἐπιπλάστως εἰς γυναικείαν μορφὴν σχηματιζόμενον, τουτονὶ δὲ τὸν δαίμονα ἔμπουσαν καὶ λάμιαν αὐτοῖς ὀνόμασιν ὁ σοφώτατος ἀποκαλεῖ. τό γε μὴν ἐπὶ τῆς Ῥωμαίων πόλεως μετὰ ταῦτα κόριον, ὅ τι δὴ μετὰ θάνατον ἐπὶ δευτέραν ζωὴν ἤγαγεν, ἀπιστότατον καὶ αὐτῷ δόξαν τῷ Φιλοστράτῳ παραιτητέον. ἐν

δισταγμῷ μέντοι ἀμφιβάλλει, μὴ ἄρα σπινθήρ τις
ψυχῆς ἐνυπάρχων τῇ παιδὶ τοὺς θεραπεύοντας ἐλε-
λήθει. λέγεσθαι γάρ φησιν, „ὡς ψακάζοι μὲν ὁ 452
Ζεύς, ἡ δὲ ἀτμίζοι ἀπὸ τοῦ προσώπου.“ καὶ γὰρ δὴ
εἰ ἀληθῶς αὐτῷ τοιόνδε ἐπ᾽ αὐτῆς Ῥώμης ἐπέπρακτο,
οὐκ ἂν ἐλελήθει βασιλέα τε πρῶτον καὶ τοὺς μετ᾽
αὐτὸν ὑπάρχους ἅπαντας, μάλιστα δὲ τὸν φιλόσοφον
Εὐφράτην ἐγχωριάζοντα κατ᾽ ἐκεῖνο καιροῦ καὶ ἐπὶ
τῆς Ῥώμης διατρίβοντα, ὃς δὴ εἰς ὕστερον τὴν κατ᾽
αὐτοῦ κατηγορίαν, ὡς δὴ κατὰ γόητος, ὑποβάλλειν
ἱστόρηται. πάντως γὰρ ἂν καὶ τοῦτο, εἰ δὴ τοῦτο
γεγονὸς ἦν, ταῖς ἄλλαις κατ᾽ αὐτοῦ διαβολαῖς πρὸς
τοῦ κατηγόρου συγκατείλεκτο. καὶ τὰ μὲν ἐν μέρει
καὶ κατ᾽ εἶδος αὐτῷ πεπραγμένα τοσαῦτα, μυρία δὲ
καὶ ἄλλα κατὰ πρόγνωσιν αὐτὸν λέγων προμαντεύ-
σασθαί τε καὶ προειρηκέναι γράφει καὶ ὡς Ἀθήνησι
βουληθέντα μυηθῆναι τὰ Ἐλευσίνια ὁ τῇδε εἶρξεν
ἱερεὺς μὴ ἄν ποτε φήσας μυήσεσθαι γόητα, μηδὲ τὰ
Ἐλευσίνια ἀνοῖξαι ἀνθρώπῳ μὴ καθαρῷ τὰ δαιμό-
νια. ἀλλὰ καὶ τῷ ἀσελγῶς ἀγείροντι κατὰ τὴν Ῥώ-
μην καὶ τὰς Νέρωνος μετὰ κιθάρας ἐπὶ μισθῷ διεξ-
ιόντι ᾠδὰς μισθὸν ἐπιδοῦναι τοῖς ἑταίροις τῆς σοφῆς
ταύτης ἐπιτηδεύσεως ὁ φιλοσοφώτατος διὰ τὸν Νέ-
ρωνος φόβον προστάττει.

Ἐν τούτοις καὶ τοῦ τετάρτου περιγραφέντος ἐν 31
τῷ πέμπτῳ τῆς περὶ αὐτοῦ γραφῆς εἰπών τινα περὶ
προγνώσεως αὐτοῦ καὶ ἀποθαυμάσας ὁ συγγραφεὺς
ἐπιλέγει ταῦτα κατὰ λέξιν „ὅτι μὲν δὴ τὰ τοιαῦτα
δαιμονίᾳ κινήσει προέλεγε καὶ ὅτι τοῖς γόητα ἡγου-
μένοις τὸν ἄνδρα οὐχ ὑγιαίνει ὁ λόγος, δηλοῖ μὲν
καὶ τὰ εἰρημένα, σκεψώμεθα δὲ κἀκεῖνα· οἱ γόητες,
ἡγοῦμαι δὲ αὐτοὺς ἐγὼ κακοδαιμονεστάτους ἀνθρώ-

πων, οἱ μὲν ἐς βασάνους εἰδώλων χωροῦντες, οἱ δ'
ἐς θυσίας βαρβάρους, οἱ δὲ ἐς τὸ ἐπᾶσαί τι ἢ ἀλεῖψαι
μεταποιεῖν φασι τὰ εἱμαρμένα, ὁ δὲ εἵπετο μὲν τοῖς
ἐκ Μοιρῶν καὶ προέλεγεν, ὡς ἀνάγκη ἔσεσθαι αὐτά,
προέλεγε δὲ οὐ γοητεύων, ἀλλ' ἐξ ὧν οἱ θεοὶ ἔφαι-
453 νον, ἰδὼν δὲ παρὰ τοῖς Ἰνδοῖς τοὺς τρίποδας καὶ
τοὺς οἰνοχόους καὶ ὅσα αὐτόματα ἐσφοιτᾶν εἶπον,
οὔθ' ὅπως σοφίζοιντο αὐτὰ ἤρετο, οὔτε ἐδεήθη μα- 71
θεῖν, ἀλλ' ἐπῄνει μέν, ζηλοῦν δὲ οὐκ ἠξίου.“ ταῦτα
δὲ λέγων δῆλός ἐστι τοὺς περιβοήτους Ἰνδῶν φιλο-
σόφους γόητας ἀποφαίνων. περὶ γάρ τοι γοήτων
ποιούμενος τὸν λόγον μνημονεύει καὶ τούτων σοφί-
ζεσθαι δὴ τὰ παράδοξα λέγων αὐτοὺς καὶ τόν, περὶ
οὗ ὁ λόγος, τῆς τοιασδὶ αὐτῶν σοφιστείας ὡς ἂν μὴ
ἀστείας ἀλλότριον ὑποτιθέμενος. οὐκοῦν εἰ φαί-
νοιτο τούτους θεοὺς ἀποκαλῶν καὶ διδασκάλους ἐπι-
γραφόμενος αὐτοὺς ὁ Ἀπολλώνιος, ὥρα ταῖς κατὰ
τῶν διδασκάλων καὶ αὐτὸν ὑπάγειν διαβολαῖς. εἰσ-
ῆκται δὴ οὖν παρ' οἷς φησι γυμνοῖς Αἰγυπτίων, ῥή-
μασιν αὐτοῖς ταῦτα φάσκων· „οὐκ ἀπεικός τε πα-
θεῖν μοι δοκῶ φιλοσοφίας ἡττηθεὶς εὖ κεκοσμημένης,
ἣν ἐς τὸ πρόσφορον Ἰνδοὶ στείλαντες ἐφ' ὑψηλῆς τε
καὶ θείας μηχανῆς ἐκκυκλοῦσιν. ὡς δὴ ἐν δίκῃ μὲν
ἠγάσθην, ἐν δίκῃ δὲ ἡγοῦμαι σοφούς τε καὶ μακα-
ρίους, ὥρα μανθάνειν.“ καὶ μετὰ βραχέα φησίν·
„οὗτοι μὲν γὰρ θεοί τέ εἰσι καὶ κεκόσμηνται κατὰ
τὴν Πυθίαν.“ καὶ Δομετιανῷ δὲ εἰσῆκται λέγων
„καὶ τίς πρὸς Ἰάρχαν σοι πόλεμος ἢ πρὸς Φραώτην
τοὺς Ἰνδούς; οὓς ἐγὼ μόνους ἀνθρώπων θεούς τε
ἡγοῦμαι καὶ ἀξίους τῆς ἐπωνυμίας ταύτης;“ καὶ
ἐν ἄλλοις δὲ ὁμοίως θεούς τε καὶ διδασκάλους τἀν-
δρὸς ἐπιγράψας ὁ λόγος τοὺς δεδηλωμένους δακτυ-

λίους τε παρ' αὐτῶν εἰληφέναι ὁμολογήσας αὐτὸν
ἐπιλέλησται νῦν καὶ συνδιαβάλλων τοῖς διδασκάλοις
τὸν μαθητὴν οὐκ ἐπαίει. ὑποβὰς δ' ἐν τῇ γραφῇ 32
αὐλητὴν ὑποτίθεται καὶ τὸν Ἀπολλώνιον ὥσπερ τινὸς
οὔσης μεγίστης καὶ σοφωτάτης ἐπιστήμης τρόπους 454
αὐλήσεως μάλα σπουδαίως μακροῖς τοῖς διεξηγήμα-
σιν εἴροντα διεξέρχεται, καὶ αὐτοκράτορα Οὐεσπα-
σιανὸν οἷα δὴ θεῷ προσεύξασθαι αὐτῷ ἱστορεῖ, καὶ
τὸν μὲν ὡς εὐχῇ εἰρηκέναι τὸν Οὐεσπασιανόν·
„ποίησόν με βασιλέα,“ τὸν δὲ ἀποκρίνασθαι· „ἐποί-
ησα.“ καὶ τίς οὐκ ἂν μισήσειεν εὐλόγως τῆς ἀλα-
ζονείας τὴν φωνὴν μανίας τὸ μηθὲν ἀποδέουσαν,
ὅτε γε ἤδη αὐτὸς θεὸς καὶ βασιλέων ποιητὴς εἶναι
φρυάττεται ὁ τῆς Αἰγυπτίας κυβερνήτης νεώς; τοῦτο
γὰρ αὐτὸς ἑαυτὸν ὁ Ἀπολλώνιος γεγονέναι τὴν ψυ-
χὴν ἐν ταῖς πρὸς τὸν Ἰνδὸν ὁμιλίαις μικρῷ πρόσθεν
ἡμῖν δεδήλωκε. τῷ δ' αὐτῷ βασιλεῖ, οὓς ἂν αὐτὸς 33
δοκιμάζοι τῶν φιλοσόφων συμβούλους τῶν πρακτέων,
γνωρίσαι αὐτῷ ἀξιοῦντι κατὰ λέξιν φησίν· „ἀγαθοὶ
δὲ τούτων σύμβουλοι καὶ οἵδε οἱ ἄνδρες, τὸν Δίωνα
δείξας καὶ τὸν Εὐφράτην μήπω αὐτῷ ἐς διαφορὰν
ἥκοντα.“ καὶ αὖθις, „ὦ βασιλεῦ, εἶπεν, Εὐφράτης
καὶ Δίων πάλαι σοι γνώριμοι ὄντες πρὸς θύραις
εἰσὶν οὐκ ἀφρόντιδες τῶν σῶν. κάλει δὴ κἀκείνους
ἐς κοινὸν λόγον, σοφὼ γὰρ τὼ ἄνδρε.“ πρὸς ἃ
Οὐεσπασιανὸς „ἀκλείτους“ ἔφη „θύρας παρέχω σο-
φοῖς ἀνδράσιν.“ εὖγε τῆς προγνώσεως τοῦ ἥρωος·
Εὐφράτης νῦν ἀγαθός τε καὶ σοφός, ἐπεὶ μὴ ἐς δια-
φοράν πω αὐτῷ ἐληλύθει, εἰ δ' ἔλθοι — ὅσον οὔπω
δὲ τοῦτ' ἔσται — ὅρα οἷα περὶ αὐτοῦ ὁ αὐτὸς πρὸς
Δομετιανὸν γράφει· „καὶ μὴν ὁπόσα γίγνεται φιλο-
σόφῳ ἀνδρὶ κολακεύοντι τοὺς δυνατοὺς δηλοῖ τὰ

*Εὐφράτου· τούτῳ γὰρ ἐντεῦθεν, τί λέγω χρήματα;
πηγαὶ μὲν οὖν εἰσι πλούτου, κἀπὶ τῶν τραπεζῶν ἤδη
διαλέγεται κάπηλος ὑποκάπηλος τελώνης ὀβολοστά-
της πάντα γιγνόμενος τὰ πωλούμενά τε καὶ πω-
λοῦντα, ἐντετύπωται δὲ ἀεὶ ταῖς τῶν δυνατῶν θύ-
ραις καὶ προσέστηκεν αὐταῖς πλείω καιρὸν ἢ οἱ
θυρωροί, ἀπελήφθη δὲ καὶ ὑπὸ τῶν θυρωρῶν πολ-*
455 *λάκις, ὥσπερ τῶν κυνῶν οἱ λίχνοι, δραχμὴν δὲ
οὐδὲ φιλοσόφῳ ἀνδρί ποτε προέμενος ἐπιτειχίζει νῦν
τὸν ἑαυτοῦ πλοῦτον ἑτέροις τὸν Αἰγύπτιον τουτονὶ
βόσκων χρήμασι καὶ ὀξύνων ἐπ' ἐμὲ γλῶτταν ἀξίαν
ἐκτετμῆσθαι. Εὐφράτην μὲν δὴ καταλείπω σοί, σὺ* 72
*γάρ, ἢν μὴ κόλακας ἐπαινῇς, εὑρήσεις τὸν ἄνθρω-
πον κακίω ἢ ἑρμηνεύω." ὁ δὴ πρὸς τὸν πατέρα τὸν
Οὐεσπασιανὸν σοφὸν καὶ ἀγαθὸν τὸν Εὐφράτην
μαρτυρόμενος, πρὸς δὲ τὸν υἱὸν ταῦτα περὶ αὐτοῦ
διεξιὼν δῆλος ἂν εἴη τὸν αὐτὸν ἐπαινῶν τε καὶ ψέ-
γων. ἆρ' οὖν ὁ τὴν τῶν μελλόντων προειληφὼς
γνῶσιν ἠγνόει, ὃς ἦν τε καὶ ἔσται τὸν τρόπον ὁ Εὐ-
φράτης; καὶ γὰρ οὐ νῦν πρῶτον, ἀλλὰ καὶ ἐπ'
αὐτοῦ Οὐεσπασιανοῦ διαβάλλειν αὐτὸν ὡς δὴ τὸ
ἦθος μοχθηρότατον βούλεται. πῶς δὴ οὖν τὸν τοι-
όνδε συνίστη βασιλεῖ, ὡς καὶ ἀκλείτους αὐτῷ διὰ
τὰς παρ' αὐτοῦ συστάσεις τῶν βασιλείων ἀναπεπε-
τάσθαι τὰς πύλας; ἀλλὰ γὰρ καὶ τυφλῷ, φασί, δῆ-
λον, ὡς ἄρα πρόγνωσιν μὲν συκοφαντεῖται πρὸς τοῦ
συγγραφέως ὁ ἄνθρωπος, εἴη δ' ἂν ἄλλως γενναῖος,
πάλαι μὲν πρὸ πείρας ἀφθόνως ἑταίροις, ἀτὰρ καὶ
τῷ Εὐφράτῃ τῆς εἰς τὰ βασίλεια παρόδου κοινωνῶν,
ὕστερον δὲ τῆς διαφορᾶς ἕνεκα τοιαῦτα περὶ αὐτοῦ
λέγων. οὔπω μοι διαβάλλειν ὁ λόγος βούλεται τὸν
ἄνδρα, ὡς ἂν τὸν Εὐφράτην συκοφαντοῦντα φιλο-*

σόφων γενόμενον τῶν καθ' ἑαυτὸν ἐπιδοξότατον, ὡς καὶ ἐς δεῦρ', οἷς μέτεστι φιλοσοφίας, ᾄδεσθαι, ὃ καὶ μέγιστον λάβοι ἄν τις, εἰ βούλοιτο, παράδειγμα [τῆς] κατὰ τοῦ Ἀπολλωνίου διαβολῆς. εἰ γὰρ οὖν ὁ Εὐφράτης παρ' αὐτοῖς πάσῃ φιλοσοφίᾳ διαπρέψαι ὁμολογηθείη, ὥρα μισοπονηρίαν μὲν ἐκείνου κατηγορεῖν 456 ἐπεξιόντος τοῖς ἀτόπως ὑπὸ τοῦδε δρωμένοις, τουτονὶ δὲ πρὸς ἐκείνου κατηγορούμενον φαύλην περιβάλλεσθαι δόξαν, ὅτι δὴ μὴ τὸν ἀρέσκοντα τῷ φιλοσόφῳ μετήει βίον.

Πάλιν ἐν τῷ ἕκτῳ παραδοξολογῶν ὁ μυθολόγος 34 ἄγει μὲν αὐτὸν ἅμα τοῖς ἑταίροις καμήλῳ ὀχούμενον ἐφ' οὓς φησιν Αἰγυπτίων γυμνοὺς φιλοσόφους, ἔνθα δὴ προστάξαντος τοῦ γυμνοῦ πτελέα, φησί, τὸ δένδρον προσαγορεύει τὸν Ἀπολλώνιον ἐνάρθρῳ καὶ θήλει τῇ φωνῇ, καὶ τούτοις γε ἡμᾶς ὁ Φιλαλήθης πιστεύειν ἀξιοῖ. εἶτα Πυγμαίους ἄνδρας ὑπὲρ τὴν τούτων ἱστορεῖ χώραν καὶ Ἀνθρωποφάγους καὶ Σκιάποδας σάτυρόν τε πρὸς τοῦ Ἀπολλωνίου μεθυσκόμενον. ἐξ ἐκείνων δ' αὖθις ἐπάνεισιν ἐπὶ τὴν Ἑλλάδα, ὁμιλίαι τε πάλιν αὐτῷ καὶ προγνώσεις ἀνακοινοῦνται πρὸς Τίτον, καὶ δηχθέντα ἔφηβον ὑπὸ λυττῶντος κυνός, ὃν δὴ καὶ ἐμαντεύσατο, ὅς τις εἴη τὴν ψυχήν, ὅτι ὁ τῆς Αἰγύπτου ποτὲ βασιλεὺς Ἄμασις, τῆς συμφορᾶς ἀπαλλάττει, μέχρι καὶ τοῦ κυνὸς ἐπιτείνας τὸ φιλάνθρωπον. ταυτὶ μὲν οὖν τὰ πρὸ 35 τῆς κατηγορίας αὐτῷ πεπραγμένα, ἐπιστῆσαι δ' ἄξιον δι' ὅλης τῆς πραγματείας, ὡς ὅτι κἂν ἀληθεύειν δοθῇ τῷ συγγραφεῖ τὰ παράδοξα, συνεργείᾳ δαίμονος ἕκαστον αὐτῷ διαπεπρᾶχθαι τούτων σαφῶς δείκνυται. τό τε γὰρ τοῦ λοιμοῦ προαισθέσθαι ἴσως μὲν οὐδὲ περίεργον ἂν δόξειεν, εἰ [καθὼς αὐτὸς]

ἀπὸ λεπτοτάτης καὶ καθαρᾶς διαίτης κατείληπτο,
ὡς αὐτὸς ἔφησεν, ἴσως δὲ καὶ αὐτὸ ἐξ ὁμιλίας δαί-
μονος αὐτῷ προμεμήνυτο. καὶ γὰρ δὴ καὶ τὰ λοιπά,
ὅσα κατὰ πρόγνωσιν διειληφώς τε καὶ προειρηκὼς
εἰσῆκται, εἰ καὶ μυρίοις ἐλέγχοις ἐξ αὐτῆς πάρεστι
τῆς τοῦ Φιλοστράτου γραφῆς εὐθύνειν, ὅμως ἵνα
συγχωρηθείη καὶ τοῦτ' εἶναι ἀληθές, κατὰ περίεργον
μηχανὴν εἴποιμ' ἂν πρὸς δαίμονος αὐτῷ παρέδρου
τινὰ τῶν μελλόντων, οὐδὲ γὰρ πάντα, κατειλῆφθαι.
τοῦτο δὲ παρίστησι σαφὲς τὸ μὴ δι' ὅλου καὶ περὶ
πάντων τὴν πρόγνωσιν αὐτὸν ἀποσώζειν, ἀπορεῖν
457 δὲ ἐν πλείστοις καὶ πυνθάνεσθαι δι' ἄγνοιαν, ὅπερ
οὐκ ἄν, εἰ θείας ἀρετῆς μετῆν αὐτῷ, πεπόνθει. καὶ
αὐτὸ δὲ τὸ παῦσαι τὸν λοιμόν, ὁποῖον εἴληχε τὸ
δρᾶμα, ὅτι φάσμα καὶ οὐδέν τι πλέον ἦν, προδεδή-
λωται. ἀλλὰ καὶ ἡ ψυχὴ Ἀχιλλέως παρὰ τῷ αὐτοῦ
μνήματι τί ἂν διατρίβοι τὰς ἐν μακάρων νήσοις,
ὡς ἂν φήσειέ τις, ἀπολείπουσα διαγωγάς, εἰ μὴ καὶ
τοῦτο δαίμονος ἦν ἐπιφανείας παρουσία; καὶ τοῦ
ἀσελγοῦς δὲ μειρακίου σαφῶς ἔνοικον δαίμονα, καὶ 73
πάλιν, ἣν ἔφησεν ἔμπουσάν τε καὶ λάμιαν ἐμπεπαρ-
ῳνηκέναι τῷ Μενίππῳ, μείζονι τάχ' ἴσως ἐξελή-
λακε δαίμονι, ὁμοίως τε αὖ καὶ τὸν τὰς φρένας παρα-
τραπέντα νεανίαν ὑπὸ τοῦ λυττῶντος κυνὸς αὐτόν
τε τὸν δαιμονῶντα κύνα τῇ αὐτῇ μετήλλαξε μεθόδῳ.
ὅρα δὴ οὖν, ὡς ἔφην, τὴν πᾶσαν αὐτῷ παραδοξο-
ποιίαν, ὡς διὰ δαιμονικῆς ἀπετελεῖτο ὑπουργίας.
τὸ γὰρ τῆς ἀναβιωσάσης κόρης, εἴγ' ἔμπνους ὑπῆρχε
σπινθῆρα ψυχῆς κατὰ τὸν συγγραφέα καὶ ἰκμάδα
ἐπὶ τοῦ προσώπου φέρουσα, περιαιρετέον τῆς θαυ-
ματοποιίας, οὐ γὰρ ἄν, ὡς καὶ πρόσθεν ἔφην, σιωπῇ
τὸ τηλικοῦτο παρεδόθη ἐπ' αὐτῆς Ῥώμης βασιλέως

ἐπιπαρόντος γεγενημένον. μυρία μὲν οὖν καὶ ἄλλα 36
πάρεστιν ἐκ τῶν αὐτῶν ἀναλέξασθαι συγγραμμάτων
τό τε ἐν αὐτοῖς εὐέλεγκτον καὶ ἀσύστατον μυθῶδές
τε καὶ τερατῶδες ἀπευθύνειν. ὅμως, ἐπεί γε οὐδὲ
πολλῆς τὰ κατὰ τὸν ἄνδρα δεῖται σπουδαιολογίας,
οὐχ ὅτι γε ἐν θείοις καὶ παραδόξοις καὶ θαυμασίοις, ἀλλ' οὐδ' ἐν φιλοσόφοις παρά τισι τῶν νῦν
μνήμης ὑπαρχούσης αὐτοῦ τοῖς εἰρημένοις ἀρκεσθέντες μετίωμεν καὶ ἐπὶ τὸ ἕβδομον περὶ αὐτοῦ
σύγγραμμα.

Κατηγορεῖται δῆτα γοητείαν ὁ ἀνήρ. εἶτα Δη- 37
μητρίῳ φιλοσόφῳ ἀποτρέποντι αὐτὸν τῆς ἐπὶ τὴν
Ῥώμην παρόδου μὴ πειθόμενος ἐπαχθῆ τινα καὶ
φορτικὰ περὶ ἑαυτοῦ ὧδέ πως λέγει· „ἐγὼ δὲ γι- 458
γνώσκω μὲν πλεῖστα ἀνθρώπων, ἅτε εἰδὼς πάντα,
οἶδα δὲ ὧν οἶδα τὰ μὲν σπουδαίοις, τὰ δὲ σοφοῖς,
τὰ δὲ ἐμαυτῷ, τὰ δὲ θεοῖς.“ καὶ δὴ ὁ ἐν τούτοις
πάντ' εἰδέναι μεγαλαυχούμενος προϊὼν ἄγνοιάν τινων πρὸς τοῦ λόγου κατηγορεῖται. εἶτα Δάμις αὐτῷ
μεταπλάττεται διὰ θανάτου φόβον τὸν φιλόσοφον
ἐπικρυπτόμενος. ἄκουε δ' οὖν τοῦ συγγραφέως, ἃ
περὶ αὐτοῦ φησιν ἀπολογούμενος· „αἰτία μὲν ἥδε
τοῦ μεταβαλεῖν τὸν Δάμιν τὸ τῶν Πυθαγορείων
σχῆμα,“ οὐ γὰρ κακίᾳ γε αὐτὸ μεθεῖναί φησιν,
„οὐδὲ μεταγνούς, τέχνην δὲ ἐπαινέσας, ἣν ὑπῆλθεν
ἐς τὸ συμφέρον τοῦ καιροῦ.“ ἐπὶ τούτοις ὁ Φιλό- 38
στρατος τέσσαρας αἰτίας τὰς δὴ εὐχερεῖς αὐτῷ πρὸς
ἀπολογίαν νομισθείσας ἐκτίθησιν ἀπὸ πλείστων καὶ
ἄλλων αὐτὰς ὁμολογῶν ἀνειλέχθαι, ὧν ἡ μέν τις
ἦν, τί δῆτα μαθὼν οὐ τὴν αὐτὴν ἅπασιν ἔχοι στολήν, ἡ δέ, τοῦ χάριν οἱ ἄνθρωποι θεὸν αὐτὸν νενομίκασι, τρίτην, πόθεν προείποι Ἐφεσίοις τὸν λοι-

μόν, ἐπὶ ταύταις, τίνι βαδίσας εἰς ἀγρὸν ἀνατέμοι τὸν παῖδα τὸν Ἀρκάδα. πρὸς ταύτας δέ φησι καὶ τὴν ἀπολογίαν αὐτὸν γεγραφέναι. πρότερον δ' ἱστορεῖ δεσμοῖς αὐτὸν παραδοθῆναι καί τι θαυμαστὸν ἐνταῦθα κατεργάσασθαι· τῷ γάρ τοι Δάμιδι μάλα λυπηρῶς, ὡς ἂν ἐπὶ συμφορᾷ τοῦ διδασκάλου, διακειμένῳ αὐτόματον ἐπιδεῖξαι λελυμένον τοῦ δεσμοῦ τὸ σκέλος, εἶτα πάλιν ἀναλαβόντ' αὐτὸν τῆς λύπης ἐνθεῖναι εἰς τὸ πρότερον σχῆμα τὸν πόδα. μετὰ τοῦτο κρινόμενον αὐτὸν ἐπὶ βασιλέως Δομετιανοῦ γράφει [εἶτα] δὴ τῶν ἐγκλημάτων ἀπολυθῆναι καὶ μετὰ τὴν τῶν ἐγκλημάτων λύσιν οὐκ οἶδ' ὅπως ἀκαίρως, μοι δοκεῖν, ἐν τῷ δικαστηρίῳ αὐτὰ δὴ ταῦτα ἀναφωνῆσαι „δός, εἰ βούλει, κἀμοὶ τόπον, εἰ δὲ μή, πέμπε τὸν ληψόμενόν μου τὸ σῶμα, τὴν γὰρ ψυχὴν ἀδύνατον. μᾶλλον δὲ οὐδ' ἂν τὸ σῶμα τοὐμὸν λάβοις·

οὐ γάρ με κτενέεις, ἐπεὶ οὔτοι μόρσιμός εἰμι,"

459 καὶ δὴ ἐπὶ τούτῳ τῷ περιβοήτῳ ῥήματι ἀφανισθῆναι τοῦ δικαστηρίου φησὶν αὐτόν, καὶ ἐν τούτοις τὸ περὶ αὐτοῦ καταστρέφει δρᾶμα.

39 Ὁ μὲν οὖν συγγραφεὺς ἐπὶ τοῦ κατὰ τὸ δεσμωτήριον θαύματος κατὰ φαντασίαν, ὡς ἔοικεν, ὑπὸ τοῦ παρέδρου δαίμονος τῷ Δάμιδι ἑωραμένου ἐπιφέρει λέγων „τότε πρῶτον ὁ Δάμις φησὶν ἀκριβῶς ξυνεῖναι τῆς Ἀπολλωνίου φύσεως, ὅτι θεία τε εἴη
καὶ κρείττων ἀνθρώπου, μὴ γὰρ θύσαντά τι, πῶς 74
γὰρ ἂν ἐν δεσμωτηρίῳ; μηδὲ εὐξάμενον, μηδὲ εἰπόντα τι καταγελάσαι τοῦ δεσμοῦ καὶ ἐναρμόσαντα αὐτῷ τὸ σκέλος τὰ τοῦ δεδεμένου πράττειν." ἐγὼ δὲ οὔποτ' ἂν καταγνοίην βραδυτῆτα τοῦ φοιτητοῦ, εἰ τὸν πάντα βίον συνὼν αὐτῷ καὶ διά τινων περιέργων

ὁρῶν αὐτὸν ἀποτελοῦντα τὰ παράδοξα οὐδέν τι διαφέρειν αὐτὸν ἡγεῖτο τῆς θνητῆς φύσεως, ἀλλ' ἔτι καὶ νῦν μετὰ τοσαύτην θαυματουργίαν τὰ κατ' αὐτὸν ἀγνοεῖ, εἰκότως δ' ἀγωνιᾷ καὶ δέδιε ὡς ὑπὲρ ἀνθρώπου, μή τι πάθοι παρὰ προαίρεσιν. εἰ δὲ δὴ πρῶτον ἄρτι μετὰ τὴν τοσαύτην διατριβήν, ὅτι δὴ θεῖος εἴη καὶ κρείττονος ἀνθρώπου φύσεως, συνίησι, τὴν τούτου συνιδεῖν ἄξιον αἰτίαν, ἣν αὐτὸς ὁ συγγραφεὺς δηλοῖ λέγων „μὴ γὰρ θύσαντά τι, μηδὲ ἐπευξάμενον, μηδέ τι τῶν ἀπορρήτων εἰρηκότα“ τὸ παράδοξον ἰδεῖν αὐτὸν πεποιηκότα. οὐκοῦν τὰ πρότερον διὰ περιέργου μηχανῆς ἐτελεῖτο τῷ ἀνδρί, διὸ μηδὲ καταπλήττεσθαι αὐτά, * μηδὲ θαυμάζειν τὸν Δάμιν, εἰκότως δὲ νῦν τοῦτο πρῶτον πέπονθεν, ὡς ξένου τινὸς ὑπ' αὐτοῦ παρὰ τὰ συνήθη διαπεπραγμένου. πρὸς τὸ δειχθὲν δὲ τοῦ δεσμοῦ φάσμα καὶ τὴν ἀπὸ τοῦ δικαστηρίου ἀναχώρησιν τὰς πρὸς Δομετιανὸν αὐτοῦ τοῦ Ἀπολλωνίου φωνὰς παραθείμην ἄν· δεσμοῖς γάρ τοι αὐτὸν παραδοθῆναι προστάξαντος βασιλέως πάνυ γε ἀκολούθως ὁ Ἀπολλώνιος συνελογίσατο ὡδί πως· „εἰ μὲν γόητά με ἡγῇ, πῶς δήσεις; εἰ δὲ δήσεις, πῶς γόητα εἶναι φήσεις;“ ἀντικρούσει γοῦν αὐτῷ τις ὡδί πως ἐκ τούτων ὁρμώμενος· εἰ μὲν οὐ γόης, πῶς λέλυταί σου τὸ σκέλος; εἰ δὲ λέλυται, πῶς οὐ γόης; καὶ εἰ τῷ ὑπομεῖναι τὸν δεσμὸν οὐ γόης, τῷ μὴ ὑπομεῖναι καὶ κατ' αὐτὸν ὡμολόγηται γόης. καὶ αὖ πάλιν, εἰ ὑπομείνας τὸ δικαστήριον οὐ γόης, 160 τῷ δὲ διαδρᾶναι τοῦτο καὶ τοὺς ἀμφ' αὐτὸν βασιλέα, λέγω καὶ τοὺς ἐν κύκλῳ δορυφόρους, σαφῶς ἀναπέφανται γόης. ὃ δή μοι δοκῶ, συνῃσθημένος ὁ λόγος θεραπεύει τὸ γεγονὸς ὡς δὴ ἄνευ θυσιῶν

καὶ ἐπῳδῶν ἀρρήτῳ τινὶ καὶ ὑπὲρ ἄνθρωπον δυ-
40 νάμει τοῦ παραδόξου πεφηνότος. ἀλλὰ γὰρ οὐκ ἐς μακρὰν αὖθις ὁ τῆς φύσεως παραστήσεται ἔλεγχος· αὐτίκα γάρ τινος ἐπιστάντος αὐτῷ καὶ φήσαντος „ἀφίησί σε, ὦ Ἀπολλώνιε, τουτωνὶ τῶν δεσμῶν ὁ βασιλεὺς καὶ ἐλευθέριον δεσμωτήριον συγχωρεῖ οἰκεῖν“ ὁ κρείττων ἢ ἄνθρωπος καὶ τῶν μελλόντων προγνώστης

κωφοῦ τε ξυνιεὶς καὶ οὐ λαλέοντος ἀκούων

ὑπὸ τῆς ἄγαν, ὡς εἰκός, περιχαρείας ἀποπεσὼν τῆς προγνώσεως πυνθάνεται λέγων „τίς οὖν ὁ μετασκευάσων με ἐντεῦθεν;“ ὁ δὲ „ἐγώ,“ ἔφη „καὶ
41 ἕπου.“ εἶτα καὶ λόγον ἀπολογίας ὁ θειότατος μάλα γε πεφροντισμένως συντάττει, ἀγνοῶν, ὅτι δῆτα εἰς μάτην αὐτῷ σπουδασθήσεται ἡ γραφή. οἴεται μὲν γὰρ ἀκούσεσθαι αὐτοῦ ἀπολογουμένου βασιλέα, καὶ ὡς ἀκουσομένου γε σφόδρα πιθανῶς παρασκευάζεται τὴν ἀπολογίαν, ὁ δὲ ταύτην μὴ ἀναμείνας εἰς οὐ δέον αὐτοῦ τὴν σπουδὴν κατεστήσατο. ἄκουε δὴ οὖν καὶ περὶ τούτων, οἷά φησιν ὁ ἔλεγχος· „ἐπεὶ δὲ καὶ λόγος αὐτῷ συνεγράφη τις ὡς πρὸς ὕδωρ τὴν ἀπολογίαν ἀφήσοντι, ξυνεῖλε δὲ αὐτὸν ὁ τύραννος ἐς ἃς εἴρηκα ἐρωτήσεις, ἀναγεγράφθω καὶ ὁ λόγος.“ ὅρα δή, πῶς τοῦ μέλλοντος πορρωτάτω τυγχάνων ὁ πάντα θειότατος μετὰ πλείστης ὅσης φροντίδος ὡς πρὸς ὕδωρ τὴν ἀπολογίαν ποιησόμενος ἐσπούδαζεν.

461 Ἀλλὰ γὰρ διεξιτητέον καὶ τὴν εἰς μάτην αὐτῷ
42 πεποιημένην ἀπολογίαν, ἅ, ὡς πολλὰ καὶ ἄλλα ἐν ταύτῃ, Δομετιανῷ προσφωνῶν ἀπαυθαδίζεται λέγων, ὡς ἄρα Οὐεσπασιανὸς „σὲ μὲν βασιλέα ἐποίησεν, ὑπ' ἐμοῦ δὲ ἐγένετο.“ βαβαὶ τῆς ἀλαζονείας,

ἣν οὔτι γε ὁ τυχών, ἀλλ' οὐδὲ εἰ φιλόσοφός τις
ἀληθῶς καὶ τὴν ἀνθρωπείαν ὑπεραίρων ἐγεγόνει
φύσιν, ἐτερατεύσατο ἂν μὴ οὐχὶ δίκην ἀνοίας παρὰ
τοῖς ἔμφροσιν ὑποσχών. εἶτα δὲ τῆς κατ' αὐτὸν
ὑποψίας ἑαυτὸν ἀπολυόμενος ταῦτα περὶ γοήτων
75 φησίν· ,,ἀλλὰ τοὺς γόητας ψευδοσόφους φημί, τὰ
γὰρ οὐκ ὄντα εἶναι παρ' αὐτοῖς, καὶ τὰ ὄντα ἄπιστα
εἶναι.“ καταμάθοι δ' οὖν τις ἔκ τε τῆς ὅλης πραγμα-
τείας καὶ τῶν ἐν μέρει δεδηλωμένων, πότερα ἐν
θείοις καὶ φιλοσόφοις ἢ ἐν γόησιν αὐτὸν κατατα-
κτέον, ἐπιστήσας οἷς τε αὐτὸς περὶ γοήτων καὶ ψευ-
δοσόφων εἴρηκε καὶ οἷς δεδήλωκεν ἡ κατ' αὐτὸν
ἱστορία· δρύες τε γὰρ καὶ πτελέαι ἐνάρθρῳ καὶ θήλει
φωνῇ λαλοῦσαι καὶ τρίποδες αὐτόματοι φοιτῶντες
καὶ χάλκεοι θεράποντες διακονούμενοι πίθοι τε ὄμ-
βρων καὶ ἀνέμων καὶ σανδαράκινον ὕδωρ καὶ ὅσα
ἄλλα τοιαῦτα εἴσηκται, παρ' οἷς ἡγεῖτο θεοῖς, οὓς
καὶ οὐκ ὤκνει διδασκάλους ἐπιγράφεσθαι, τίνος ἂν
εἶεν παραστατικὰ ἢ τῶν ,,τὰ οὐκ ὄντα εἶναι καὶ τὰ
ὄντα ἄπιστα εἶναι“ παραδεικνύντων; οὓς αὐτὸς
γόητας ὀνομάζων ψευδοσόφους ὑπάρχειν ἀποφαίνε-
ται. ἤτοι οὖν ἐπὶ τούτοις ὁ θεῖος καὶ ἐνάρετος καὶ
θεοῖς κεχαρισμένος τὸ σοφίας ἀναδησάμενος βρα-
βεῖον αὐτοῦ Πυθαγόρου καὶ τῶν, ὅσοι μετ' ἐκεῖνον,
θειότερος ἀληθῶς καὶ μακρῷ εὐδαιμονέστερος ἂν
κριθείη, ἢ ἔμπαλιν ψευδοσοφίας ἁλοὺς κακοδαιμό-
νων ἀποίσεται τὰ πρωτεῖα.

Πάλιν δ' ἐν τῇ γραφῇ περὶ Μοιρῶν ἰσχύος φι- 43
λοσοφῆσαι αὐτὸν ἐν Ἰωνίᾳ φησὶ διδάσκοντα οὕτως
ἄτρεπτα εἶναι, ἃ κλώθουσιν, ὡς εἰ καὶ βασιλείαν
τῳ ψηφίσαιντο ἑτέρῳ ἤδη ὑπάρχουσαν, οὐδ' ἂν ἀπο-
κτείνειέ τις τοῦτον, ὡς μὴ ἀφαιρεθείη ποτὲ ὑπ'

αὐτοῦ τὸ ἄρχειν, καὶ ἂν ἀναβιῴη ἀποθανὼν ὑπὲρ
τῶν δοξάντων ταῖς Μοίραις. καὶ τούτοις ἐπιλέγει
αὐταῖς συλλαβαῖς „ὅτῳ πέπρωται γενέσθαι τεκτο-
462 νικῷ, οὗτος, κἂν ἀποκοπῇ τὼ χεῖρε, τεκτονικὸς
ἔσται, καὶ ὅτῳ νίκην ἐν Ὀλυμπίᾳ δρόμου ἄρασθαι,
οὗτος [δ'], οὐδ' εἰ πηρωθείη τὸ σκέλος, ἁμαρτήσεται
τῆς νίκης, καὶ ὅτῳ ἔνευσαν Μοῖραι τὸ ἐν τοξικῇ
κράτος, οὗτος, οὐδ' εἰ ἀποβάλοι τὰς ὄψεις, ἐκπε-
σεῖται τοῦ εὐσκόπου.“ τούτοις τὸν ἄρχοντα κολα-
κεύων ἐπιφέρει λέγων „τὰ δὲ τῶν βασιλέων ἔλεγον
ἐς τοὺς Ἀκρισίους δήπου ὁρῶν καὶ τοὺς Λαΐους
Ἀστυάγην τε τὸν Μῆδον καὶ πολλοὺς ἑτέρους εὖ
τίθεσθαι τὰ τοιαῦτα δόξαντας, ὧν οἱ μὲν παῖδας,
οἱ δὲ ἐγγόνους ἀποκτείνειν οἰηθέντες ἀφῃρέθησαν
ὑπ' αὐτῶν τὸ βασιλεύειν ἀναφύντων ἐπ' αὐτοὺς
ἐξ ἀφανοῦς ξὺν τῷ πεπρωμένῳ, καὶ εἰ μὲν ἠγάπων
κολακευτικήν, εἶπον ἂν καὶ τάδε ἐντεθυμῆσθαι, ὅτε
ἀπείληψο μὲν ὑπὸ Βιτελλίου, κατεπίμπρατο δὲ ὁ
ναὸς τοῦ Διὸς περὶ τὰς ὀφρῦς τοῦ ἄστεος, ὁ δ' εὖ
κείσεσθαι τὰ ἑαυτοῦ ἔφασκεν, εἰ μὴ διαφύγοις αὐ-
τόν — καίτοι μειράκιον ἱκανῶς ἦσθα, καὶ οὔπω
οὗτος — ἀλλ' ὅμως, ἐπεὶ Μοίραις ἐδόκει ἕτερα, ὁ
μὲν ἀπώλετο αὐταῖς βουλαῖς, σὺ δὲ τὰ ἐκείνου νῦν
ἔχεις. ἐπεὶ δὲ ἁρμονίᾳ κολακευτικῇ ἄχθομαι, δοκεῖ
γάρ μοι τῶν ἐκρύθμων τε καὶ οὐκ εὐφθόγγων εἶναι,
τετμήσθω μοι ἥδε ἡ νευρὰ καὶ μηδὲν ἡγοῦ τῶν
σῶν ἐντεθυμῆσθαί με.“ διὰ τούτων δὲ ὁμοῦ τὸν
ἄνδρα κόλακα καὶ ψεύστην καὶ πάντα μᾶλλον ἢ φι-
λόσοφον ὁ ὑπὲρ τῆς ἀληθείας παρίστησι λόγος, τοσ-
αῦτα γὰρ πρότερον εἰπὼν κατὰ τοῦ Δομετιανοῦ
κολακεύει νῦν ὁ γεννάδας καὶ καθυποκρίνεται ὡς
οὐδέν τι κατ' αὐτοῦ, μᾶλλον δὲ ὑπὲρ αὐτοῦ τῶν

περὶ Μοιρῶν αὐτῷ καὶ ἀνάγκης ἐν Ἰωνίᾳ κεκινη-
μένων. ἀνάλαβε δῆτα τὴν ἱστορίαν, ὦ συγγραφεῦ,
καὶ τῆς μέθης διανήψας τὰ πρότερόν σοι γραφέντα 463
λαμπρᾷ καὶ φιλαλήθει δίελθε τῇ φωνῇ, μηδὲν ὑπο-
στειλάμενος, ὡς ἐν Ἐφέσῳ διατρίβων „ἀφίστη Δο-
μετιανοῦ τοὺς ἄνδρας καὶ ὑπὲρ τῆς ἁπάντων ἐρ-
ρώννυε σωτηρίας καὶ τὰς μὲν ἐπιστολιμαίους ὁμιλίας
οὐκ ἀσφαλεῖς αὐτοῖς ᾤετο, τῶν δὲ ἑταίρων τοὺς
σωφρονεστάτους ἄλλοτε ἄλλον ἀπολαμβάνων „διά-
κονον“ ἔλεγε „ποιοῦμαί σε ἀπορρήτου λαμπροῦ,
βαδίσαι δέ σε χρὴ ἐς Ῥώμην παρὰ τὸν δεῖνα καὶ
76 τὸν δεῖνα καὶ διαλεχθῆναί οἱ,“ καὶ (ὡς) „διελέγετο
μὲν ὑπὲρ Μοιρῶν καὶ ἀνάγκης καὶ τὸν λόγον διῄει,
ὅτι μηδὲ οἱ τύραννοι τὰ Μοιρῶν οἷοι βιάζεσθαι,“
καὶ ὡς „χαλκῆς εἰκόνος ἱδρυμένης Δομετιανοῦ πρὸς
τῷ Μέλητι ἐπιστρέψας ἐς αὐτὴν τοὺς παρόντας
„ἀνόητε“ εἶπεν „ὡς πολὺ διαμαρτάνεις Μοιρῶν καὶ
ἀνάγκης· ᾧ γὰρ μετὰ σὲ τυραννεῦσαι πέπρωται,
τοῦτον καὶ εἰ ἀποκτείνειας, ἀναβιώσεται.“ ὁ δὴ
μετὰ τοὺς τοιουσδὶ λόγους κολακεύων τὸν τύραννον
καὶ μηδέν τι τούτων ὡς πρὸς αὐτὸν εἰρῆσθαι αὐτῷ
κατειρωνευόμενος πῶς οὐ μοχθηρίας ἁπάσης (ἂν)
καὶ ἀνελευθερίας κριθείη, εἰ μὴ ἄρα ψευδηγόρους
τινὰς καὶ κατηγόρους τοῦ ἀνδρός, οὐχὶ δὲ ἀληθεῖς
συγγραφέας θείη τις τοὺς ταῦτα μνήμῃ παραδεδω-
κότας; καὶ ποῦ τοῦ Φιλαλήθους „οἱ παιδεύσεως μὲν
ἐπὶ πλεῖστον ἥκοντες, τὸ δ' ἀληθὲς τιμῶντες συγ-
γραφεῖς Δάμις τε ὁ φιλόσοφος ὁ καὶ συνδιατρίψας
τῷ δηλουμένῳ καὶ Φιλόστρατος ὁ Ἀθηναῖος,“ ἀφ'
ὧν ταῦτα παρατίθεται, οὓς σαφῶς οὕτως ἐναντιο-
λογοῦντας κομπάζοντάς τε ἀληθῶς καὶ τοῖς μαχο-
μένοις παρισταμένους ψεύστας ἐναργῶς καὶ ἀπαι-

δεύτους καὶ γόητας τῆς ἀληθείας τὸ φέγγος διή-
44 λεγξεν; ἐπὶ πᾶσι τὸν Ἀπολλώνιον ἀπαλλαγέντα τοῦ δικαστηρίου ἐν Λεβαδείᾳ [ἐλθεῖν] ἱστορεῖ βουλόμενον εἰς Τροφωνίου κατελθεῖν μὴ ἐπιτρέπεσθαι πρὸς τῶν ἐπιχωρίων γόητα καὶ τούτων ἡγουμένων αὐτόν. καίτοι ἄξιον ἀπορῆσαι παραθέμενον τὰς ἐν ἀρχῇ τοῦ Φιλοστράτου λέξεις, ἐν αἷς ἀπορῶν, ὅτι δὴ γόητα αὐτὸν ὑπειλήφασιν αὐτὰ δὴ ταῦτα θαυμάζει λέγων Ἐμπεδοκλέα μὲν καὶ Πυθαγόραν καὶ
464 Δημόκριτον τοῖς αὐτοῖς μάγοις ὡμιληκότας οὔπω ὑπῆχθαι τέχνῃ, Πλάτωνά τε παρὰ τῶν ἐν Αἰγύπτῳ ἱερέων τε καὶ προφητῶν πολλὰ παρειληφότα καὶ ταῦτα τοῖς ἰδίοις ἀναμίξαντα λόγοις οὐδαμῶς δόξαι τισὶ μαγεύειν, τουτονὶ δὲ οὔπω γιγνώσκεσθαι παρ' ἀνθρώποις, ὅτι δὴ ἀπὸ τῆς ἀληθινῆς ὁρμῷτο σοφίας, μάγον δὲ αὐτὸν πάλαι τε καὶ εἰσέτι νῦν νενομίσθαι τῷ μάγοις Βαβυλωνίων Ἰνδῶν τε Βραχμᾶσι καὶ τοῖς Αἰγυπτίων Γυμνοῖς ὡμιληκέναι. τί δῆτα οὖν εἰρήσεται πρὸς αὐτόν; ὦ οὗτος, τῷδε τῷ ἀνδρὶ τί τοιοῦτο ἐπεχειρεῖτο, ὡς μόνον γόητα πάλαι τε καὶ εἰσέτι νῦν νενομίσθαι παρὰ τοὺς τηλικούτους ἄνδρας, οἳ τῶν αὐτῶν αὐτῷ, ὡς φής, διδασκάλων πεπειραμένοι διέπρεψαν μὲν καὶ καθ' οὓς ἐγνωρίζοντο χρόνους καὶ εἰς τοὺς μετέπειτα δὲ τῆς σφῶν φιλοσοφίας ἀοίδιμον καταλελοίπασι τὴν ἀρετήν, εἰ μὴ ἄρα πέρα τῶν προσηκόντων ἐγχειρῶν τοῖς εὖ φρονοῦσι φανερὸς καθειστήκει; αὐτίκα τῶν νῦν εἰσιν, οἳ περιέργους μηχανὰς τῇ τοῦ ἀνδρὸς ἀνακειμένας προσηγορίᾳ κατειληφέναι λέγουσιν. ἀλλ' [illegible] τούτοις φίλον προσέχειν τὸν νοῦν. ἀλλ[illegible] περὶ τῆς τελευτῆς τἀνδρὸς ἀκόλουθα το[illegible] συντάττων οὐδὲν ἀληθὲς ἐξέφηνεν εἰδέν[illegible]

γὰρ ἐν Ἐφέσῳ τελευτῆσαι αὐτὸν ἱστορεῖν, τοὺς δὲ
ἐν Λίνδῳ (παρελθόντα) ἐς τὸ ἱερὸν τῆς Ἀθηνᾶς,
ἄλλους δὲ ἐν Κρήτῃ, καὶ τοσαύτην ἄγνοιαν τοῦ περὶ
αὐτὸν τέλους κατασκεδάσας βούλεται αὐτὸν ἐς οὐρα-
νὸν αὐτῷ σώματι χωρῆσαι. ἐσδραμόντος γὰρ ἐς
ἱερόν φησι κλεισθῆναι τὰς πύλας καὶ τινὰ ᾠδὴν
ἀδόκητον παρθένων ἐκπεσεῖν, τὸ δὲ ᾆσμα εἶναι·
„στεῖχε, στεῖχε ἐς οὐρανόν, στεῖχε.“ λέγει δέ, ὡς
μήτε τάφῳ μήτε κενοταφίῳ τοῦ ἀνδρός πω περιτύ-
χοι, καίτοι τῆς γῆς, ὁπόση ἐστίν, (φήσας) ἐπελθεῖν
(πλείστην), καὶ βούλεται αὐτῷ ἡ διάνοια μηδὲ ὅλως
θανάτου τὸν ἄνδρα θιγεῖν, πρότερον μὲν γὰρ ἀμφι-
βάλλων περὶ τοῦ τρόπου, καθ' ὃν ἐτελεύτα, φησὶν 465
„εἴγε ἐτελεύτα,“ ὕστερον δὲ διαρρήδην καὶ ἐς οὐρα-
νὸν αὐτὸν χωρῆσαι φάσκει. ὅθεν ὡς δὴ τοιοῦτον
ὄντα καὶ κατὰ τὸ προοίμιον τῆς [ὅλης] γραφῆς καὶ
καθ' ὅλην τὴν γραφὴν Πυθαγόρου καὶ Ἐμπεδο-
κλέους θειότερόν φησι προσεληλυθέναι φιλοσοφίᾳ.

Ἀλλὰ γὰρ ἐν τούτοις περιγραφομένου τοῦ λόγου 45
βραχέ' ἄττα περὶ Μοιρῶν καὶ εἱμαρμένης φέρε δια-
λάβωμεν, ὅ τι καὶ βούλοιτο δι' ὅλης αὐτῷ τῆς ὑπο-
θέσεως ὁ λόγος τὸ μὲν ἐφ' ἡμῖν ἀναιρῶν, ἀνάγκην
δὲ εἰσάγων καὶ εἱμαρμένην καὶ Μοίρας, διαθροῦν-
77 τες, ταύτῃ γὰρ ἡμῖν ἐντελῶς καὶ ἡ ἐν δόγμασι ψευ-
δοδοξία τἀνδρὸς διευθυνθήσεται. εἰ δὴ οὖν κατὰ
τὸν τῆς ἀληθοῦς φιλοσοφίας λόγον ψυχὴ πᾶσα ἀθά-
νατος, τὸ γὰρ ἀεικίνητον ἀθάνατον, τὸ δ' ἄλλο κι-
νοῦν καὶ ὑφ' ἑτέρου κινούμενον παῦλαν ἔχον κινή-
σεως παῦλαν ἔχει ζωῆς, καὶ αἰτία ἑλομένου, θεὸς
ἀναίτιος, τίς αἱρεῖ λόγος, ἄκουσαν, οὐχὶ δὲ κατὰ
προαίρεσιν, ἀψύχου δίκην σώματος ἔξωθέν ποθεν
κινουμένην καὶ ὡσπερεὶ νευροσπαστουμένην ὧδε

κἀκεῖσε τὴν ἀεικίνητον ἄγεσθαι φύσιν μηδὲν μηδαμῶς ἐξ ἰδίας ὁρμῆς καὶ κινήσεως ἐνεργοῦσαν, μηδὲ εἰς ἑαυτὴν τὴν τῶν δρωμένων ἀναφέρουσαν αἰτίαν ταύτῃ τε μήτε φιλοσοφοῦσαν ἐπαινετέαν τυγχάνειν μήτ' αὖ ψεκτὴν κακίας ἔμπλεων καὶ πονηρίας; τί δῆτα οὖν Εὐφράτῃ λοιδορούμενος καταμέμφῃ, ὦ τᾶν, εἰ μὴ παρ' ἑαυτοῦ, ἀλλ' ἐξ εἱμαρμένης ἐπὶ τὸ κέρδος ἐκδούς, ὡς αὐτὸς ἀξιοῖς, ὠλιγώρει φιλοσοφίας; τί δὲ καὶ γόησιν ἐνυβρίζεις ψευδοσόφους ἀποκαλῶν ὑπὸ Μοιρῶν, ὡς ἡγῇ, καθελκομένους ἐπὶ τὸν κακοδαίμονα βίον; τί δὲ κακίαν ἁπλῶς ὀνομάζεις, καὶ πονηρός τις ἀνθρώπων οὐκ ἐν δίκῃ κρίνεται παρὰ σοὶ τὸν ἐξ ἀνάγκης εἱμαρμένον ἀποπληρῶν ὅρον; καὶ ἔμπαλιν τίνι λόγῳ Πυθαγόραν σεμνολογῶν θαυμαστὸν ἐπιγράφῃ διδάσκαλον, καὶ Μοιρῶν παίγνιον, ἀλλ' οὐκ ἐραστὴν ὄντα φιλοσοφίας οὐκ ἀπολείπεις ἐπαινῶν, Φραώτης δὲ καὶ Ἰάρχας (οἱ) Ἰνδῶν φιλόσοφοι τί μᾶλλον παρὰ σοὶ θεῶν ἀπηνέγκαντο δόξαν μηδέν τι παιδείας ἴδιον, μηδ'
466 ἀρετῆς ἀπενεγκάμενοι κλέος; Νέρωνος δ' ὡσαύτως καὶ Δομετιανοῦ τί οὐχὶ Μοίραις καὶ ἀνάγκῃ τὴν ἀκόλαστον περιάπτεις ἀγερωχίαν πάσης αἰτίας καὶ παντὸς ἐγκλήματος ἐλευθερῶν τοὺς ἄνδρας; ἀλλὰ καὶ εἴ τῳ πέπρωται, ὡς φῄς, δρομικῷ καὶ τοξικῷ καὶ τεκτονικῷ, οὕτω δὴ καὶ εἰ γόητι τὸν τρόπον ὄντι μάγῳ ἀναφανῆναι μιαιφόνῳ τε καὶ πονηρῷ καὶ ἀκολάστῳ, πάντως που ἐξ ἀνάγκης τοιόσδε τις ἀποβήσεται. τί δῆτα οὖν περινοστῶν τοῖς μὴ οἵοις τε τυχεῖν διορθώσεως ἀρετὴν προκηρύττεις; ἢ τί καταμέμφῃ τοῖς τὴν μοῖραν, ἀλλ' οὐ τὴν προαίρεσιν ἀτοπωτάτοις; τί δὲ καί, εἰ αὐτῷ σοι πέπρωτο θείῳ ὄντι τὴν φύσιν ὑπερᾶραι βασιλέων δόξης, εἰς διδα-

σκάλων ἐφοίτας καὶ φιλοσόφων Ἀραβίους τε καὶ Βαβυλωνίων μάγους καὶ σοφοὺς Ἰνδῶν ἐπολυπραγμόνεις; πάντως γάρ που καὶ τῆς τούτων δίχα κοινωνίας τὰ ἐκ Μοιρῶν ἐτελεῖτό σοι. τί δὲ καὶ οἷς νομίζεις θεοῖς τὰ μελιττοῦτα καὶ τὸν λιβανωτὸν εἰς μάτην ῥιπτεῖς, εὐσέβειάν τε ἐπιμορφαζόμενος ἐπ' εὐχὰς τρέπεσθαι τοὺς ἑταίρους παρορμᾷς; αὐτός τε εὐχόμενος τί παρὰ θεῶν αἰτεῖς, ὁπότε καὶ τούτων ὁμολογεῖς τὴν εἱμαρμένην κρατεῖν; καὶ μὴν ἔδει τοὺς ἄλλους θεοὺς παραμειψάμενον Ἀνάγκῃ μόνον καὶ Μοίραις θύειν καὶ τοῦ Διὸς αὐτοῦ μᾶλλον τὴν εἱμαρμένην προτιμᾶν. οὕτω δ' ἄν σοι θεοὶ μὲν οὐκέτ' ἂν ἦσαν καὶ εἰκότως, ἅτε μηδὲ ἀνθρώπους οἷοί τε ὠφελεῖν. ἀλλὰ καὶ (εἰ) πέπρωτο τοὺς Ἐφεσίους ἁλῶναι λοιμῷ πολίτας, τί τἀναντία νομοθετῶν παρακρούῃ τὴν εἱμαρμένην; μᾶλλον δὲ πῶς ὑπερῆρας τὴν Μοῖραν, τρόπαιον ὥσπερ κατ' αὐτῆς ἀράμενος; εἰ δὲ καὶ τῆς Κλωθοῦς ἐπὶ τῇ κόρῃ τὸ νῆμα πέρας εἰλήχει, πόθεν ἐξ ὑπαρχῆς μετὰ θάνατον ἀναδησάμενος τῷ μίτῳ τὸν ἄτρακτον, ζωοποιὸς αὐτῇ παραπέφηνας; ἀλλ' ἴσως Μοῖραι καὶ σὲ αὐτὸν ἐπὶ ταῦτ' ἦγον. οὔτι πω φήσεις κατ' ἀξίαν, πολλοῦ γε καὶ 46 δεῖ, ὃς πρὸ τῆς εἰς τοῦτο τὸ σῶμα παρόδου τῶν ἐν θαλάττῃ καὶ κύμασι διατριβόντων γεγονέναι σεαυτὸν λέγεις, ἀλλ' ἐξ ἀνάγκης, ὡς εἰκὸς καὶ τοῦτο. οὔκουν θαυμάσιος οὔτε τῆς πρώτης γενέσεως καὶ τροφῆς, οὔτε τῆς ἐγκυκλίου παιδείας, οὔτε τῆς ἐν ἀκμῇ σώφρονος ἀγωγῆς, οὔτ' ἀσκήσεως τῆς ἐν φιλοσοφίᾳ, ἣν δ' ἄρα τις Μοιρῶν ἀνάγκη καὶ εἰς Βαβυλωνίους 467 ἐλαύνουσα, ὠθούμενος δ' ὥσπερ καὶ τοῖς Ἰνδῶν ὁμίλεις σοφοῖς, καὶ ἐπὶ τοὺς Αἰγυπτίων δὲ Γυμνοὺς οὐχ ἡ προαίρεσις, οὐδ' ὁ φιλοσοφίας πόθος,

Μοῖρα δὲ ἦγεν ἄγχουσα καὶ ἐπὶ τὰ Γάδειρα καὶ τὰς
Ἡρακλείους στήλας ἑῷόν τε καὶ ἑσπέριον Ὠκεανὸν
ἀλᾶσθαι καὶ αὐταῖς ἀτράκτοις εἰς μάτην ἐξεβιάζετο
περιστρέφεσθαι. εἰ δὲ δὴ μετειληφέναι τι σοφίας 7
αὐτὸν ἐκ τούτων εἴποι τις, Μοῖρα καὶ τούτων αἰτία
καὶ οὐκέτ᾽ ἂν ἐν φιλομαθέσιν ὁ ἀνὴρ καταλεχθείη,
οὐδ᾽ ἂν εὐλόγως θαυμασθείη τῆς οὐ κατὰ γνώμην,
ἀλλὰ κατὰ ἀνάγκην αὐτῷ πορισθείσης φιλοσοφίας.
ἐν ἴσῳ δ᾽ ἂν συγκρινόμενος εἴη κατ᾽ αὐτὸν Πυθα-
γόρας αὐτὸς καί τι τερατῶδες καὶ ἀπερριμμένον ἀν-
δράποδον, Σωκράτης αὐτὸς φιλοσοφίας ὑπεραπο-
θνήσκων καὶ οἱ τοῦτον θανάτου ἄξιον γραψάμενοι,
Διογένης τε καὶ τὰ Ἀθηναίων μειράκια, καὶ ἁπλῶς
εἰπεῖν ὁ σοφώτατος οὐκ ἂν διαφέροι τοῦ ἀφρονε-
στάτου καὶ ὁ ἀδικώτατος τοῦ δικαιοτάτου ὅ τε ἀκο-
λαστότατος τοῦ σωφρονεστάτου καὶ ὁ δειλότατος τοῦ
ἀνδρειοτάτου εἱμαρμένης καὶ Μοιρῶν παιγνίων τού-
47 *των ἁπάντων ἀποδεδειγμένων. ἀλλὰ γὰρ πρὸς ταῦτα*
τῆς ἀληθείας ὁ κῆρυξ ἀναβοήσεται λέγων· ὦ ἄν-
θρωποι, θνητὸν καὶ ἐπίκηρον γένος, ποῖ δὴ φέρεσθε
τὸν τῆς ἀγνωσίας ἄκρατον ἐμπιόντες; λήξατε ποτὲ
καὶ διανήψατε τῆς μέθης καὶ διανοίας ὀρθοῖς ὄμ-
μασι τὸ σεμνὸν τῆς ἀληθείας ἐνοπτρίσασθε πρόσω-
πον. οὐ θέμις ἀλήθειαν πολεμεῖν ἑαυτῇ καὶ μάχε-
σθαι, οὐδὲ δυοῖν ἐναντιωτάτοιν μίαν ὑφεστάναι καὶ
τὴν αὐτὴν αἰτίαν. τῆς τοῦ θεοῦ προνοίας τὰ πάντα
κρατούσης θείοις νόμοις διατέτακται τὸ πᾶν, ἀν-
θρώπων τε ψυχῆς ὅρος αὐτοκράτορά τε καὶ κριτὴν
ἡγεμόνα τε καὶ κύριον αὐτὸν ἑαυτοῦ καθίστησι φυ-
σικοῖς νόμοις καὶ φιλοσόφων δόγμασιν ἐκδιδάσκων,
468 *ὡς ἄρα τῶν ὄντων τὰ μέν ἐστιν ἐφ᾽ ἡμῖν, τὰ δὲ*
οὐκ ἐφ᾽ ἡμῖν, καὶ ἐφ᾽ ἡμῖν μέν, ὅσα γένοιτ᾽ ἂν

κατὰ προαίρεσίν τε καὶ πρᾶξιν, ἃ καὶ φύσει ἐλεύ-
θερα ἀκώλυτα ἀπαρεμπόδιστα τυγχάνει, τὰ δὲ οὐκ
ἐφ' ἡμῖν ἀσθενῆ δοῦλα κωλυτὰ ἀλλότρια, ἃ καὶ
περὶ τὸ σῶμα καὶ τὰ ἐκτὸς ἄψυχά τε ὄντα καὶ ἄλογα
καὶ πάντῃ τῆς ἰδίας τοῦ λογικοῦ ζῴου φύσεως ἀλλο-
τρίαν τὴν ὑπόστασιν ἔχει. τῶν δ' ἐφ' ἡμῖν τὴν ἐπὶ
θάτερα ὁρμὴν ἀρετῆς τε καὶ κακίας ἕκαστος ἐν αὐτῇ
κέκτηται προαιρέσει, καὶ τὸ μὲν τῶν ὅλων δεσπόζον
τε καὶ ἡγεμονοῦν εὐθέως περαίνει κατὰ φύσιν περι-
πορευόμενον, τῷ δ' αἰεὶ συνέπεται δίκη τῶν ἀπο-
λειπομένων τοῦ θείου νόμου τιμωρός, τῶν δ' ἐπὶ
τὰς πράξεις ὁρμῶν οὐ Μοίρας, οὐδὲ εἱμαρμένης,
οὐδ' ἀνάγκης αἰτία· αἰτία ἑλομένου, θεὸς ἀναίτιος.
εἰ δὴ θρασύνοιτό τις τῷ ἐφ' ἡμῖν ἀντιπολεμῶν, μὴ 18
παρακαλυπτέσθω οὗτος· ἀθεότητα ἀναφανδὸν διεξ-
αγορευέτω μὴ πρόνοιαν, μὴ θεόν, μηδέ τι ἄλλο
πλὴν Μοιρῶν καὶ ἀνάγκης ὁμολογῶν, καὶ τὰ ἀκό-
λουθα τούτοις γυμνῇ προσκαταλεγέτω κεφαλῇ, μὴ
σοφόν, μὴ ἄφρονα, μὴ δίκαιον, μὴ ἄδικον, μὴ ἐν-
άρετον, μὴ φαῦλον, μὴ γόητα, μὴ θεῖον ἐν ἀνθρώ-
πων γίνεσθαι φύσει, μὴ φιλοσοφίαν εἶναι, μὴ παι-
δείαν, μηδ' ὅλως τέχνην τινά, μηδὲ ἐπιστήμην, μή
τινα ἄλλον τὴν φύσιν ἀγαθὸν ἢ πονηρὸν ἀποκα-
λείτω, πάντα δὲ συλλήβδην ἀνάγκῃ καὶ Μοιρῶν
ἀτράκτοις περιδινεῖσθαι. ἄθεος δῆτα καὶ δυσσεβὴς
οὗτος ἐν εὐσεβῶν καὶ ἐν φιλοσόφων ἀπογεγράφθω
κριτηρίῳ, εἰ δ' ἐπικαλυπτόμενος ἕτερα δοξάζειν ἐπι-
χειροῖ πρόνοιαν καὶ θεούς, Μοῖραν δ' ἐπὶ τούτοις
καὶ εἱμαρμένην τις ἀνακηρύττοι μαχομένοις καὶ
ἐναντίοις παριστάμενος δόγμασιν, ἐν ἄφροσι δίκην
ἀνοίας παρασχὼν καταγεγράφθω. ταυτὶ μὲν οὖν 469
ταύτῃ. εἰ δ' ἐπὶ τούτοις ἐν φιλοσόφων διατριβαῖς

ἀξιοῖεν ἔτι καταλέγειν τινὲς τὸν ἄνδρα, λελέξεται, ὡς ἄρα εἰ ἀποκαθήρειαν τῆς ἔξωθεν λύμης, ἀτὰρ καὶ τῆς ἀπὸ τῆσδε τῆς γραφῆς ἐπεισκυκλουμένης αὐτῷ σκευῆς, φθόνος πᾶς αὐτοῖς ἐκποδὼν ἂν εἴη, ὅρους δ' εἰ ἀληθείας προϊών τις ʽπὲρ φιλοσόφους ἐκθειάζειν αὐτὸν πειρῷτο, λάθοι ἂν αὐτῷ γόητος ἀτεχνῶς διαβολὴν ἐπεντρίβων, ὡς ταυτὶ τὰ συγγράμματα σοφιστικῶς ἀναπεπλασμένα οὐδὲν πλὴν ἐλέγχου καὶ δεινῆς τἀνδρὸς διαβολῆς παρὰ τοῖς νοῦν ἔχουσιν ἔμοιγε δοκεῖ περιέχειν.

888.9
P571k
v.1

Stanford University Libraries
3 6105 013 382 853

STANFORD UNIVERSITY LIBRARY
Stanford, California

NOV 9 '64
JUN 1986